


1837
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE


1837
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

# SOPHOCLIS

## TRAGŒDIÆ SEPTEM.

# ΣΟΦΟΚΛΗΣ.



# SOPHOCLIS

## TRAGŒDIÆ SEPTEM;

CUM

LECTIONIS VARIETATE

ET

ANNOTATIONIBUS.

A

RICH. FRANC. PHIL. BRUNCK.

LONDINI:

SUMTIBUS G. ET W. B. WHITTAKER;

LACKINGTON, HUGHES, HARDING, MAVOR, ET LEPARD;

ET BALDWIN, CRADOCK, ET JOY.

1822.

# LECTORI MONITUM.

---

Ut intelligat Lector quid in hac Sophoclis editione fuerit præstitum, pauca nobis dicenda sunt. Sciat ergo, quo editio hæcce perfectior prodiret, singulas editiones Brunckianas, *viz.* ann. 1786. in 4to. et in 8vo. et 1788. 8vo. fuisse diligenter collatas, discrepantemque Lectionem textui subjectam, necnon Notas inter se dissidentes ad calcem appositas. Præfatio insuper ex editione principe accessit, Textu, Notisque e postrema editione expressis. In summa, sedulo operam impendimus, ut nihil prætermitteretur quod Sophoclis studiosis adjumento fore videbatur.

Nov. 1814.

# LECTORI

## S. D.

## RICH. FRANC. PHIL. BRUNCK.

---

Sæpenumero miratus sum, in tanta quanta versamur literarum luce, quum excolerentur in dies optimi scriptores antiqui, et obducto situ purgarentur, neglectum jacere Sophoclem, Poëtarum post Homerum præstantissimum, Tragicorum quotquot fuerunt perfectissimum. Nam quod compluries hoc sæculo, maxime vero in Britannia superstites septem Tragœdiæ præla exercuerint, studium quidem illæ repetitæ editiones testantur legendi Sophoclem, sed nihil prorsus effecerunt, quo purus et integer legeretur. Scatent omnes fœdissimis mendis, quarum perpaucæ ne ipsis quidem editoribus suboluerunt, quibusque eluendis pares non erant quicunque interpolatæ recensionis exempla propagarunt. Unus ætate nostra Sophocli operam suam dicaverat, qui eum, proinde ut dignus est, exornare et illustrare poterat, vir doctrinæ et ingenii laude excellens Lud. Casp. Valckenarius, qui ante hos paucos menses exstinctus Musarum alumnis tristissimum reliquit desiderium. Is nescio quo modo a Sophocle sevocatus olim, operam suam aliorsum contulit. Derelictam a summo viro provinciam animose suscepi, non quo existimarem, ea me præstiturum, quæ ab eo exspectare par erat: verum de literis meriturum me optime opinatus sum, si ad Sophoclis intellectum longe plura, quam antea comparata fuerant, subsidia ministrarem, cultuque nitidiore magis allicerem ad illius lectionem doctrinæ studiosos; quo facilius futurum spero, ut quispiam alius me peritior excitetur, qui labore meo adjutus, Tragicum ita expoliat et constituat tan-

dem, ut longa barbarie concreti squaloris nulla relinquatur macula. Interea nova hæc editio ita concinnata est, ut haud multa esse credam, quæ judices æqui in ea desideraturi sint. Quantum a ceteris differat declaraturus, haud longis ambagibus lectorem morabor.

Sophoclem post renatas literas primus edidit Aldus Manutius Romanus anno MDII. ex antiquis et probæ notæ codicibus. Præstantissima omnium hæc editio est, quæ majorem quam ceteræ omnes auctoritatem habet, et plus quam quævis alia fide digna est. Ex ea fere expressæ sunt quæcunque dimidii sæculi intervallo diversis in locis prodierunt, inter quas eminent duæ Florentinæ in officina Juntina excusæ, prior anno MDXXII. altera an. MDXLVII. Postea Adrianus Turnebus codicem Sophoclis nactus a Demetrio Triclinio recensitum, ex eo septem Tragœdias edidit Parisiis anno MDLII. cui editioni tantum favorem conciliavit doctissimi viri existimatio, ut ab ea discedere nefas duxerint Henr. Stephanus, et Gul. Canterus, qui demum Sophocleorum dramatum formam ita constituit, ut eam exhibent vulgares editiones omnes, magistrorum, tironum, literatorum manibus versari solitæ. Verumtamen Triclinii illa interpolatio neutiquam digna erat, quæ sincero textui ab Aldo edito præferretur: pravas lectiones partim intrusit: maxime vero in canticis impudentissima audacia grassatus est, insulsissima quæque inferciens, ut carminum formas, quas animo præceperat, effingeret. Falluntur egregie, qui ad illam Triclinii recensionem factis editionibus utentes, genuinum Sophoclem legere se opinantur. Puritatem lectionis ex Aldina petendam esse semper fassi sunt viri doctiores. Sed in hoc genere pauci sciunt, quid distent æra lupinis.

Quapropter huic editioni Aldinam tanquam fundamentum substruxi; ad eam unice respexi, de reliquis nihil vel parum solicitus. Ubicunque ab ea discessi, mutationis rationem in notis exposui. Codicum fidem plerumque secutus sum: at mendas codicibus qui nunc exstant antiquiores, eruditorum virorum conjecturis, aut meis sustuli. Codicum autem quibus usus sum, syllabus hic est:

A. Membranæ vetustissimæ Bibliothecæ Regiæ, quo ex Memmiana illatæ fuerunt. Iis continentur Sophoclis Tragœdiæ VII. eodem ordine quo in Aldi editione se subsequuntur: Euripidis Hecuba, Orestes, Phœnissæ, Andromacha, Medea, et Hippolytus, quas omnes edidimus: Aristophanis Fabulæ VII. a nobis etiam editæ; ita ut varietas lectionis præstantissimi illius codicis jam omnis opera nostra innotuerit. In catalogo MSS. codd. Græcorum Bibliothecæ Regiæ est 2712.

B. Codex Regius chartaceus, catalogi 2787. quo præter alia continentur Œdipus prior, Trachiniæ, Philoctetes, et Œdipus in Colono.

C. Codex Regius bombycinus, catalogi 2794. continens Ajacem, Electram, et Œdipum priorem.

D. Codex Regius chartaceus, catalogi 2820. præter alia continens Ajacem, Electram et Œdipum priorem.

E. Codex Regius bombycinus, catalogi 2884. præter alia continens Ajacem, Electram, Œdipum priorem, et Antigonam.

Augustanus, e bibliotheca Senatus liberæ civitatis Augustæ Vindelicorum, chartaceus, præter alia continens Ajacem, Antigonam, Œdipum priorem, et Electram. Codicem hunc, ut et Regium E. diligentissime contulit ad Johnsoni editionem Joannes Schweighæuser Græcæ linguæ in hujus civitatis Academia publicus doctor, cujus multiplicem eruditionem nobilitavit Appiani Alexandrini quæ nuper prodiit editio elaboratissima, quod ad exemplum alios Romanæ historiæ Græcos scriptores ejusdem viri solertia in integrum restitutum iri et optamus et ominamur.

Meus, bombycinus, bonæ notæ, continens præter alia Ajacem et Electram.

T. Codex Regius chartaceus, catalogi 2711. nitidissime scriptus, quo continentur septem tragœdiæ juxta Demetrii Triclinii recensionem, cum ejusdem scholiis metricis in omnes, exegeticis vero partim Triclinii, partim veterum enarratorum in Antigonam, Œdipos duos, Trachinias, et

Philoctetam. Longe melior et emendatior est is codex eo quo Turnebus usus est, aliquotque lectiones exhibet e vetustissimis exemplaribus ductas, quæ nuspiam alibi reperiuntur.

Quam multas horum librorum ope mendas eluerim, legenti cuivis apparebit. At plurimæ antiquitus inoleverant, quæ in hos codices traductæ, meam quoque editionem insedissent, nisi excellentium quorumdam ingeniorum acumen caliginem discussisset, qua lectionis veritas tegebatur. Nemo splendidius lumen prætulit, quam eruditus Britannus THOMAS TYRWHITT, quem primariis Criticis accensendum esse demonstrant Emendationes in Euripidem, quibus editionem suam ornavit *Musgravius*. Præstantissimi hujus viri, cujus conveniendi felicitas mihi nunquam obtigit, benevolentiam mihi conciliavit communis Musarum amor, opinioque quam ipse ante annos circiter duodecim de me concepit, futurum ut bonis literis haud spernendam aliquam operam navarem. Postquam Tragicum hunc edere mecum decrevi, conjectorem omnium quos nossem felicissimum per epistolam rogavi, ut, si quid in Sophocle, ut in Euripide, periclitatus fuisset, emendationes suas mecum benigne communicaret. Quod cupiebam ab humanissimo viro facile impetravi: mense Aprili anni MDCCLXXX avulsas ex adversariis suis schedas aliquot mihi misit, quæ in Sophoclem olim commentus fuerat continentes, arbitrioque meo permisit, ut ex iis quæcunque mihi usui futura essent expromerem. Sequenti anno optimus *Valckenarius* ultro mihi misit conjecturas aliquot in Sophoclem, sibi oblatas a disciplinæ suæ alumno, felicissimi ingenii viro, *Erico Huberto van Eldik*, e quibus quædam delibavi, quorum laudem ad auctorem suum retuli.

Latinam versionem ita concinnavi, ut, si Græca legentibus usus veniat eam consulere, Tragici sensum fideliter et dilucide quantum potest expressum reperiant: Græcarum vero literarum rudes Sophoclem si noscere velint, ut eum Latine sincerum legere possint, absque metricarum versio-

num fuco, earumque odio, quæ Græcis e regione apponi solent.

Vale, dulcissime lector, et hæc nostra opera lubens gratusque fruere. Dabam. Argentorati d. Ducembris x. anni MDCCLXXXV.

---

# ΣΟΦΟΚΛΕΟΥΣ ΓΕΝΟΣ ΚΑΙ ΒΙΟΣ.

---

ΣΟΦΟΚΛΗΣ τὸ μὲν γένος ἦν Ἀθηναῖος, υἱὸς δὲ Σοφίλου, ὃς οὔτε, ὡς Ἀριςόξενός φησι, τέκτων ἢ χαλκεὺς ἦν· οὔτε, ὡς Ἴςρος, μαχαιροποιὸς τὴν ἐργασίαν· τυχὸν δὲ ἐκέκτητο δούλους χαλκεῖς καὶ τέκτονας. οὐ γὰρ εἰκὸς τὸν ἔκ του τοιούτου γενόμενον ςρατηγίας ἀξιωθῆναι σὺν Περικλεῖ καὶ Θουκυδίδῃ, τοῖς πρώτοις τῆς πόλεως. ἀλλ' οὐδ' ἂν ὑπὸ τῶν κωμῳδῶν ἄδηκτος ἀφείθη, τῶν οὐδὲ Θεμιςοκλέους ἀποσχομένων. ἀπιςητέον δὲ καὶ τῷ Ἴςρῳ, φάσκοντι αὐτὸν οὐκ Ἀθηναῖον ἀλλὰ Φλιάσιον εἶναι. εἰ δὲ καὶ τὸ ἀνέκαθεν Φλιάσιος ἦν, ἀλλὰ πλὴν Ἴςρου, παρ' οὐδενὶ ἑτέρῳ τοῦτό ἐςιν εὑρεῖν. ἐγένετο οὖν Σοφοκλῆς τὸ γένος Ἀθηναῖος, δήμου Κολώνηθεν, καὶ τῷ βίῳ καὶ τῇ ποιήσει περιφανής. καλῶς τε ἐπαιδεύθη καὶ ἐτράφη ἐν εὐπορίᾳ, καὶ ἐν πολιτείᾳ καὶ ἐν πρεσβείαις ἐξετάζετο. γεννηθῆναι δὲ αὐτόν φασιν ἑβδομηκοςῇ πρώτῃ Ὀλυμπιάδι κατὰ τὸ δεύτερον ἔτος ἐπὶ ἄρχοντος Ἀθήνησι Φιλίππου. ἦν δὲ Αἰσχύλου νεώτερος ἔτη δέκα ἑπτά· Εὐριπίδου δὲ παλαιότερος εἴκοσι τέσσαρα. διεπονήθη δὲ ἐν παισὶ καὶ περὶ παλαίςραν καὶ μουσικὴν, ἐξ ὧν ἀμφοτέρων ἐςεφανώθη, ὥς φησιν Ἴςρος. ἐδιδάχθη δὲ τὴν μουσικὴν παρὰ Λάμπρῳ· καὶ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Ἀθηναίων περὶ τρόπαιον ὄντων, μετὰ λύρας γυμνὸς ἀληλιμμένος τοῖς παιανίζουσι

L. 21. παρὰ Λάμπρῳ. Veteribus Lyricis adnumeratur Lamprus, qui magna fuit in musicis gloria, teste Cornelio Nepote in Epaminondæ vita cap. 2. Socratis etiam fuit magister. Perperam in T. scriptum παρὰ Λαμπρίᾳ, ut Turnebus edidit. In membr. proxime ad verum παρὰ Λάμπῳ. In

τῶν ἐπινικίων ἐξῆρχε. παρ' Αἰσχύλῳ δὲ τὴν τραγῳδίαν ἔμαθε, καὶ πολλὰ ἐκαινούργησεν ἐν τοῖς ἀγῶσι· πρῶτον μὲν καταλύσας τὴν ὑπόκρισιν τοῦ ποιητοῦ, διὰ τὴν ἰδίαν ἰσχνοφωνίαν· πάλαι γὰρ καὶ ὁ ποιητὴς ὑπεκρίνετο· αὐτὸς δὲ καὶ τοὺς χορευτὰς ποιήσας ἀντὶ δώδεκα πεντεκαίδεκα, καὶ τὸν τρίτον ὑποκριτὴν ἐξεῦρε. φασὶ δὲ ὅτι καὶ κιθάραν ἀναλαβὼν ἐν μόνῳ τῷ ΘΑΜΥΡΙΔΙ ποτὲ ἐκιθάρισεν· ὅθεν καὶ ἐν τῇ ποικίλῃ στοᾷ μετὰ κιθάρας αὐτὸν γεγράφθαι. Σάτυρος δέ φησιν ὅτι καὶ τὴν καμπύλην βακτηρίαν αὐτὸς ἐπενόησε. φησὶ δὲ καὶ Ἴστρος τὰς λευκὰς κρηπῖδας αὐτὸν ἐξευρηκέναι, ἃς ὑποδοῦνται οἵ τε ὑποκριταὶ, καὶ οἱ χορευταί· καὶ πρὸς τὰς φύσεις αὐτῶν γράψαι τὰ δράματα· ταῖς δὲ Μούσαις θίασον ἐκ τῶν πεπαιδευμένων συναγαγεῖν. καὶ ἁπλῶς ὡς ἐστὶν εἰπεῖν, τοῦ ἤθους τοσαύτη γέγονε χάρις, ὥστε πάντῃ καὶ πρὸς ἁπάντων αὐτὸν στέργεσθαι. νίκας δὲ ἔλαβεν εἴκοσιν, ὥς φησι Καρύστιος· πολλάκις δὲ καὶ δευτερεῖα ἔλαβε, τρίτα δ' οὐδεπώποτε. καὶ Ἀθηναῖοι δὲ αὐτὸν πεντήκοντα ἑπτὰ ἐτῶν ὄντα στρατηγὸν εἵλοντα, πρὸ τῶν Πελοποννησιακῶν ἔτεσιν ἑπτὰ, ἐν τῷ πρὸς Ἀναίαν πολέμῳ. οὕτω δὲ φιλαθηναιότατος ἦν, ὥστε πολλῶν βασιλέων μεταπεμπομένων αὐτὸν, οὐκ ἠθέλησε τὴν πατρίδα καταλιπεῖν· ἔσχε δὲ καὶ τὴν τοῦ Ἄλωνος ἱερωσύνην, ὃς

meo παρὰ Λαμπτίῳ. In Triclinii recensione lemmati additum: διωρθώθη δὲ παρὰ τοῦ σοφωτάτου Μαγίστρου. Thomas is est. Verum plurimis in locis ejus correctionibus membranarum scripturam prætulimus.

18. πεντήκοντα ἑπτὰ ἐτῶν ὄντα. Sic scribere debuit auctor hujus vitæ, si modo sibi constare voluit. Nam quum in lucem editus fuisset Sophocles an. 2. Ol. lxxi. septimo ante Peloponnesiaci belli exortum anno non plus vel minus quam quinquaginta septem annos natus erat. Enimvero Prætor lectus fuit cum Pericle in bello contra Samios an. 4. Ol. lxxxiv. Nihil magis obnoxium fuit librariorum negligentiæ aut fraudi, quam numerales notæ: in membr. hæ sunt ξθ. id est 69. In T. ξε. id est 65. qui numerus in meo plene scriptus est. ἐν τῷ πρὸς Ἀναίαν πολέμῳ. Sic bene edidit Turnebus. In veteribus libris scriptum πρὸς Ἀναίους, in T. πρὸς Ἀνανίαν. Anæa urbs est Cariæ e regione Sami, cujus frequens mentio in bellorum historia quæ gesserunt Samii.

ἥρως ἦν μετὰ Ἀσκληπιοῦ παρὰ Χείρωνι· ἱδρύθη δὲ ὑπὸ Ἰοφῶντος τοῦ υἱοῦ μετὰ τὴν τελευτήν. γέγονε δὲ καὶ θεοφιλὴς ὁ Σοφοκλῆς, ὡς οὐκ ἄλλος, καθά φησιν Ἱερώνυμος περὶ τῆς χρυσῆς στεφάνης. ταύτης γὰρ ἐξ ἀκροπόλεως κλαπείσης, κατ' ὄναρ Ἡρακλῆς ἐδήλωσε Σοφοκλεῖ λέγων, τὴν οὖσαν οἰκίαν ἐν δεξιᾷ εἰσιόντα ἐρευνῆσαι, ἔνθα ἐκρύπτετο. ἐμήνυσε δ' αὐτὴν τῷ δήμῳ, καὶ τάλαντον ἐδέξατο· τοῦτο γὰρ ἦν προκηρυχθέν. λαβὼν οὖν τὸ τάλαντον, ἱερὸν ἱδρύσατο Μηνυτοῦ Ἡρακλέους. φαίνεται δὲ καὶ παρὰ πολλοῖς ἡ πρὸς τὸν υἱὸν Ἰοφῶντα γενομένη αὐτῷ δίκη ποτέ. ἔχων γὰρ ἐκ μὲν Νικοστράτης Ἰοφῶντα, ἐκ δὲ Θεωρίδος Σικυωνίας Ἀρίστωνα, τὸν ἐκ τούτου γενόμενον παῖδα, Σοφοκλέα τοὔνομα, πλέον ἔστεργε, καί ποτε ἐν δράματι εἰσήγαγε τὸν Ἰοφῶντα αὐτῷ φθονοῦντα, καὶ πρὸς τοὺς φράτορας ἐγκαλοῦντα τῷ πατρί, ὡς ὑπὸ γήρως παραφρονοῦντι· οἱ δὲ τῷ Ἰοφῶντι ἐπετίμησαν. Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν· Εἰ μὲν εἰμὶ Σοφοκλῆς, οὐ παραφρονῶ· εἰ δὲ παραφρονῶ, οὐκ εἰμὶ Σοφοκλῆς· καὶ τότε τὸν Οἰδίποδα παραναγνῶναι. τελευτῆσαι δὲ αὐτὸν Ἴστρος καὶ Νεάνθης φασὶ τοῦτον τὸν τρόπον· Καλλιππίδην ὑποκριτὴν ἀπὸ ἐργασίας ἐξ Ὀποῦντος ἥκοντα παρὰ τοὺς Χόας, πέμψαι αὐτῷ σταφυλήν· τὸν δὲ Σοφοκλέα λαβόντα, καὶ βαλόντα εἰς τὸ στόμα ῥᾶγα ἔτι ὀμφακίζουσαν, ὑπὸ τοῦ ἄγαν γήρως ἀποπνιγέντα τελευτῆσαι. Σάτυρος δέ φησι τὴν Ἀντιγόνην ἀναγιγνώσκοντα, καὶ ἐμπεσόντα περὶ τὰ τέλη νοήματι μακρῷ, καὶ μέσην, ἢ ὑποστιγμὴν πρὸς ἀνάπαυσιν μὴ ἔχοντι, ἄγαν ἀποτείναντα τὴν φωνὴν, σὺν τῇ φωνῇ καὶ τὴν ψυχὴν ἀφεῖναι. οἱ δὲ, ὅτι μετὰ τὴν τοῦ δράματος ἀνάγνωσιν ὅτε νικῶν ἐκηρύχθη, χαρᾷ νικηθεὶς ἐκέλιπε. τῶν δὲ

9. Μηνυτοῦ Ἡρακλέους. Vide Meursii Athenas Atticus l. ii. c. 10.

Pro τὴν οὖσαν οἰκίαν, in membr. scriptum τὴν μὴ οἰκοῦσαν οἰκίαν.

πατρῴων αὐτοῦ τάφων ἐπὶ Δεκέλειαν κειμένων πρὸ ςαδίων τοῦ τείχους ἕνδεκα, καὶ τοῦτον τὸν τόπον ἐπιτετειχικότων Λακεδαιμονίων κατὰ τῶν Ἀθηναίων, ἐπείπερ οὐχ οἷόν τε ἦν αὐτὸν ἐκεῖ θάπτειν, Διόνυσος κατ' ὄναρ ἐπιςὰς Λυσάνδρῳ ἐκέλευσεν ἐπιτρέψαι τεθῆναι τὸν ἄνδρα εἰς τὸν τάφον· ὡς δὲ ὠλιγώρησεν ὁ Λύσανδρος, δεύτερον αὐτῷ ἐπέςη ὁ Διόνυσος τὸ αὐτὸ κελεύων. ὁ δὲ Λύσανδρος πυνθανόμενος παρὰ τῶν φυγάδων τίς εἴη ὁ τελευτήσας, καὶ μαθὼν ὅτι Σοφοκλῆς, κήρυκα πέμψας, ἐδίδου θάπτειν τὸν ἄνδρα. φασὶ δὲ καὶ ὅτι τῷ μνήματι αὐτοῦ σειρῆνα ἐπέςησαν· οἱ δὲ, χελιδόνα χαλκῆν· ἐπιγεγράφθαι δὲ τῷ τάφῳ αὐτοῦ τάδε·

Κρύπτω τῷδε τάφῳ Σοφοκλῆν πρωτεῖα λαβόντα
τῇ τραγικῇ τέχνῃ, σχῆμα τὸ σεμνότατον.

Ἴςρος δέ φησιν, Ἀθηναίους διὰ τὴν τοῦ ἀνδρὸς ἀρετὴν καὶ ψήφισμα πεποιηκέναι, κατ' ἔτος ἕκαςον αὐτῷ θύειν· ἔγραψε δὲ, ὥς φησιν Ἀριςοφάνης, δράματα ἑκατὸν τριάκοντα· τούτων δὲ νοθεύεται δέκα ἑπτά. συνηγωνίζετο δὲ Αἰσχύλῳ καὶ Εὐριπίδῃ, καὶ Χοιρίλῳ, καὶ Ἀριςίᾳ, καὶ ἄλλοις, καὶ Ἰοφῶντι τῷ υἱῷ. τὸ πᾶν μὲν οὖν Ὁμηρικῶς ὠνόμαζε, τούς τε μύθους φέρει κατ' ἴχνος τοῦ ποιητοῦ· καὶ τὴν Ὀδύσσειαν δὲ ἐν πολλοῖς δράμασιν ἀπογράφεται. παρετυμολογεῖ δὲ καθ' Ὅμηρον καὶ τὸ ὄνομα τοῦ Ὀδυσσέως·

Ὀρθῶς δ' Ὀδυσσεύς εἰμ' ἐπώνυμος κακοῖς·
πολλοὶ γὰρ ὠδύσσαντο δυσσεβεῖς ἐμοί.

ἠθοποιεῖ δὲ καὶ ποικίλλει, καὶ τοῖς ἐπινοήμασι τεχνικῶς χρῆται, Ὁμηρικὴν ἐκματτόμενος χάριν· ὅθεν εἰπεῖν φασὶν Ἰωνικόν τινα, μόνον Σοφοκλέα τυγχάνειν Ὁμήρου

25. Senarios hos ex Tragici nostri dramate sumptos opinamur, cui titulum fecit Νίπτρα, vel Ὀδυσσεὺς ἀκανθοπλήξ.

μαθητήν. καὶ ἄλλοι μὲν γὰρ πολλοὶ μεμίμηνταί τινας τῶν πρὸ αὐτῶν, ἢ τῶν καθ' αὑτούς· μόνος δὲ Σοφοκλῆς ἀφ' ἑκάστου τὸ λαμπρὸν ἀπανθίζει· καθὸ καὶ μέλιττα ἐλέγετο. ἤνεγκε δὲ τὰ μικτά· εὐκαιρίαν, γλυκύτητα, τόλμαν, ποικιλίαν. οἶδε δὲ καιρὸν συμμετρῆσαι καὶ πράγματα, ὥστ' ἐκ μικροῦ ἡμιστιχίου, ἢ λέξεως μιᾶς, ὅλον ἠθοποιεῖν πρόσωπον. ἔστι δὲ τοῦτο μέγιστον ἐν τῇ ποιητικῇ, δηλοῦν ἦθος ἢ πάθος. φησὶν οὖν Ἀριστοφάνης, ὅτι κηρὸς ἐπεκαθέζετο τοῖς χείλεσιν αὐτοῦ· ἄλλοι δὲ, Σοφοκλέους, τοῦ μέλιτι τὸ στόμα κεχρισμένου. φησὶ δὲ Ἀριστόξενος, ὡς πρῶτος τῶν Ἀθήνηθεν ποιητῶν τὴν Φρυγίαν μελοποιΐαν εἰς τὰ ἴδια ᾄσματα παρέλαβε, καὶ τῷ διθυραμβικῷ τρόπῳ κατέμιξεν.

6. ἐκ μικροῦ ἡμιστιχίου, ἢ λέξεως μιᾶς. Sic depravatum locum bene restituisse mihi videor. Veterum librorum scriptura est, ἐκ μικροῦ ἡμιστιχίου ἤλιγξεν ὡς μιᾶς ὅλον ἠθοποιεῖν πρόσωπον. Inde vulgatam lectionem temeraria correctione extudit Thomas: ὥστε ἐκ βραχέος κώλου ἤρκεσεν ὅλον ἠθοποιῆσαι τὸ πρόσωπον.

9. κηρός. Latet in hac voce menda. Proclive est reponere κηρίον. Verum non video qui κηρίον melius quam κηρὸς insidere dicatur alicujus labiis. Platonis infantis in ore sederunt *apes*: κειμένου αὐτοῦ, μέλιτται προσελθοῦσαι πεπληρώκασιν αὐτοῦ τὸ στόμα κηρίων μέλιτος. Auctores qui hujus fabulæ meminere laudat Davisius ad Ciceronem de *Divinatione* i. 36. Noti sunt Eupolidis versus in Δήμοις de Pericle, cui

Πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν.

Simile quid fortè de Sophocle dixerat laudatus hoc loco Aristophanes, qui utrum Comicus fuerit, an Grammaticus, non decernam.

## EX ATHENÆI LIB. XIII.

ΙΕΡΩΝΥΜΟΣ ὁ Ῥόδιος ἐν τοῖς ἱςορικοῖς ὑπομνήμασι φησὶν, ὅτι Σοφοκλῆς εὐπρεπῆ παῖδα ἔξω τοῦ τείχους ἀπήγαγε χρησόμενος αὐτῷ. ὁ μὲν οὖν παῖς τὸ ἴδιον ἱμάτιον ἐπὶ τῇ πόᾳ ὑπέςρωσε, τὴν δὲ τοῦ Σοφοκλέους χλανίδα περιεβάλλοντο. μετ' οὖν ὁμιλίαν ὁ παῖς ἁρπάσας τὸ τοῦ Σοφοκλέους χλανίδιον ᾤχετο, καταλιπὼν τῷ Σοφοκλεῖ τὸ ἑαυτοῦ παιδικὸν ἱμάτιον. οἷα δὲ εἰκὸς διαλαληθέντος τοῦ συμβεβηκότος, Εὐριπίδης πυθόμενος καὶ ἐπιτωθάζων τὸ γεγονὸς, καὶ αὐτὸς ποτὲ ἔφη τούτῳ κεχρῆσθαι τῷ παιδὶ, ἀλλὰ μηδὲν προσθεῖναι, τὸν δὲ Σοφοκλέα διὰ τὴν ἀκολασίαν καταφρονηθῆναι. καὶ ὁ Σοφοκλῆς ἀκούσας ἐποίησεν εἰς αὐτὸν τοιοῦτον ἐπίγραμμα, χρησάμενος τῷ περὶ τοῦ Ἡλίου καὶ Βορέου λόγῳ, καί τοι πρὸς μοιχείαν αὐτοῦ παραινιττόμενος.

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦνθ' ἑτέραν
Βορρᾶς ὡμίλησε. σὺ δ' οὐ σοφὸς, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

---

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΙΣ ΣΟΦΟΚΛΗΝ.

### ΣΙΜΩΝΙΔΟΥ.

Ἐσβέσθης, γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

### ΣΙΜΜΙΟΥ ΘΗΒΑΙΟΥ.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα κισσὲ
ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους·

καὶ πεταλὸν πάντη θάλλοι ῥόδον, ἥ τε φιλοῤῥὼξ
ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
εἵνεκεν εὐεπίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
ἤσκησεν Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

## ΔΙΟΣΚΟΡΙΔΟΥ.

α Τύμβος ὅδ' ἔσ', ὤ 'νθρωπε, Σοφοκλέος, ὃν παρὰ Μουσῶν
ἱρὴν παρθεσίην, ἱερὸς ὤν, ἔλαχον·
ὅς με τὸν ἐκ Φλιοῦντος, ἔτι τρίβολον πατέοντα,
πρίνινον, ἐς χρύσεον σχῆμα μεθηρμόσατο,
καὶ λεπτὴν ἐνέδυσεν ἁλουργίδα· τοῦ δὲ θανόντος,
εὔθετον ὀρχηστὴν τῆδ' ἀνέπαυσα πόδα.
β Ὄλβιος, ὡς ἀγαθὴν ἔλαχες στάσιν· ἡ δ' ἐνὶ χερσὶ
κούριμος, ἐκ ποίης ἥδε διδασκαλίης;
α Εἴτε σοι Ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμάρτοις,
εἴτε καὶ Ἠλέκτραν· ἀμφότεραι γὰρ ἄκρον.

## ΕΡΥΚΙΟΥ.

Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις,
σκηνίτης μαλακοὺς κισσὸς ἄλοιτο πόδας·
αἰεί τοι βούπαισι περιστάζοιτο μελίσσαις
τύμβος, Ὑμηττείῳ λειβόμενος μέλιτι,
ὡς ἄν τοι ῥείῃ μὲν ἀέναος Ἀτθίδι δέλτῳ
κηρὸς, ὑπὸ στεφάνοις δ' αἰὲν ἔχῃς πλοκάμους.

### IN DIOSCORIDIS EPIGRAMMA.

Tumulo Sophoclis imposita erat Bacchi statua, quæ manu personam sive larvam κουρίμου παρθένου sustinebat. Bacchus igitur in hoc epigrammate viatorem alloquitur et dicit: *Tumulus hic Sophoclis est, ô homo, quem Musæ mihi sacræ virgines sacro ipsi ac divo, custodiendum mandarunt. Ille me Phliunte profectum, adhuc sentes et rubos inambulantem, et ex acerno stipite properanti falce dedolatum, in aureum habitum reformavit, et delicata purpurea veste induit. Sed postquam morti datus est, saltationum oblitus, agilem et*

*salium pedem quieti dedi, et hic super ejus sepulcro reposui.* Respondet viator: *O felicem te, qui talem stationem sortitus sis! sed unde hæc κούριμος, quam manibus retines, aut ex quo dramate sumpta est?* Ad hæc Bacchus viatori: *Sive tibi Antigonen eam accipere placeat, sive Electram, non erraveris: utraque enim summam inter ejus tragœdias obtinet.* ἡ κούριμος, est ἡ κούριμος παρθένος et erat persona tragica, quam ita Pollux describit: ἡ κούριμος παρθένος ἀντὶ ὄγκου, ἔχει τριχῶν κατεψημένων διάκρισιν, καὶ βραχέα ἐν κύκλῳ περικέκαρται. ὕπωχρος δὲ τὴν χρόαν. ἡ δὲ ἑτέρα κούριμος παρθένος, τὰ ἄλλα ὁμοίως πλὴν τῆς διακρίσεως, καὶ τῶν κύκλῳ βοστρύχων, ὡς ἐκ πολλοῦ δυστυχοῦσα. Tales Antigone et Electra virgines in tragœdiis cognominibus. *E Cl. Salmasii notis in Historiam Augustam* p. 499.

---

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

## ΤΑ ΤΟΥ

# ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.

ΙΕΡΕΥΣ.

ΚΡΕΩΝ.

ΧΟΡΟΣ *ἐκ γερόντων Θηβαίων.*

ΤΕΙΡΕΣΙΑΣ.

ΙΟΚΑΣΤΗ.

ΑΓΓΕΛΟΣ.

ΘΕΡΑΠΩΝ *Λαΐου.*

ΕΞΑΓΓΕΛΟΣ.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ

# ΕΠΙΓΡΑΜΜΑ

### ΕΙΣ ΤΟΝ ΤΥΡΑΝΝΟΝ ΟΙΔΙΠΟΥΝ.

---

ΛΙΠΩΝ Κόρινθον Οἰδίπους, πατρὸς νόθος,
πρὸς τῶν ἁπάντων λοιδορούμενος ξένος,
ἦλθεν πυθέσθαι Πυθικῶν θεσπισμάτων,
ζητῶν ἑαυτὸν, καὶ γένους φυτοσπόρον.
εὑρὼν δὲ τλήμων ἐν στεναῖς ἁμαξιτοῖς,
ἄκων ἔπεφνε Λάϊον γεννήτορα.
Σφιγγὸς δὲ δεινῆς θανάσιμον λύσας μέλος,
ᾔσχυνε μητρὸς ἀγνοουμένης λέχος.
λοιμὸς δὲ Θήβας εἷλε, καὶ νόσος μακρά.
Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,
ὅπως πύθοιτο τοῦ κακοῦ παυστήριον,
ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,
τὸν Λαΐειον ἐκδικηθῆναι φόνον.
ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας,
πόρπαισι δισσὰς ἐξανάλωσεν κόρας·
αὐτὴ δὲ μήτηρ ἀγχόναις διώλετο.

V. 11. Legitur vulgo solœce ὅπως πύθηται. In uno cod. a prima manu πύθοιται. Scripserat auctor ὅπως πύθοιτο, Tragico ipso præeunte v. 71.

V. penult. Aldus e codd. dedit :

δισσαῖς τε χερσὶν ἐξανάλωσεν κόρας.

Turnebus vero juxta Triclinium :

δισσαῖσι χερσὶν ἐξετύφλωσεν κόρας.

In hoc prava est utraque scriptura, quod *geminarum manuum* mentionem inducat, ubi res ipsa *geminos* flagitat *oculos* : ἐξανάλωσε χερσὶ δισσὰς κόρας. Ducem hic

etiam habebat Grammaticus Sophoclem in Antig. 51. διπλᾶς ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί. In uno codice reperi :

κόρας κατησβόλωσεν αὐτὸς ὀμμάτων
πόρπαξι δεινῶς ὑστερηθεὶς τοῦ φάους.

In quibus videor latentem deprehendisse sinceram lectionem :

πόρπαισι δισσὰς ἐξανάλωσεν κόρας.

Hoc scribere debuit Grammaticus ex ipso Dramate, 1268. Euripides Phœniss. 59.

χρυσηλάτοις πόρπησιν αἱμάξας κόρας.

Apud eundem Polymestor in Hecuba, 1155.

ἐμῶν γὰρ ὀμμάτων,
πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας
κεντοῦσιν.

Nihil est igitur, quo in dubium vocari possit πόρπαισι. Quod ad ἐξετύφλωσεν attinet, glossema est a Triclinio inepte genuino verbo substitutum. Vide Valckenarium ad Phœniss. p. 223.

Disquisitionem quæ sequitur de inscriptione Dramatis ad fidem codd. dedi, rejectis putidis nugis recentissimi nescio cujus Græculi. Latinam versionem subjungere inutile duxi. Facile intelliget quicunque primoribus labris Græcum sermonem gustarit, *quosdam fuisse qui ŒDIPUM PRIOREM, non REGEM drama hoc inscripserint, habita ratione tam temporis, quo fuit editum, quam rerum in eo exhibitarum.* Quippe diu ante alterum Œdipum, quem Sophocles extrema in senectute fecit, in scenam inducta fuit hæc fabula ; et Colonum adiit Œdipus longo tempore postquam se ipsum excæcaverat.

---

## ΔΙΑ ΤΙ ΤΥΡΑΝΝΟΣ ΕΠΙΓΕΓΡΑΠΤΑΙ.

---

Ο ΤΥΡΑΝΝΟΣ ΟΙΔΙΠΟΥΣ ἐπὶ διακρίσει θατέρου ἐπιγέγραπται. χαριέντως δὲ ΤΥΡΑΝΝΟΝ ἅπαντες αὐτὸν ἐπέγραφον, ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως, καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, ὥς φησι Δικαίαρχος. εἰσὶ δὲ καὶ οἱ ΠΡΟΤΕΡΟΝ αὐτὸν, οὐ ΤΥΡΑΝΝΟΝ, ἐπιγράφοντες, διὰ τοὺς χρόνους τῶν διδασκαλιῶν, καὶ διὰ τὰ πράγματα· ἀλήτην γὰρ καὶ πηρὸν Οἰδίποδα τὸν ἐπὶ Κολωνῷ εἰς τὰς Ἀθήνας ἀφικνεῖσθαι. ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταὶ, τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς ΤΥΡΑΝΝΟΥΣ προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχεταν, βασιλέα φησὶ, καὶ οὐ τύραννον· (Ὀδ. σ'. 84.)

Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα - - -

προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυῤῥηνῶν· χαλεποὺς γάρ τινας περὶ λῃστείαν τούτους γενέσθαι. ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα, δῆλον. οὔτε γὰρ Ὅμηρος, οὔτε Ἡσίοδος, οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν, τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ, τοὺς τυράννους φησὶ τὸ πρότερον ΑΙΣΥΜΝΗΤΑΣ προσαγορεύεσθαι· εὐφημότερόν γ' ἐκεῖνο τοὔνομα.

## ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ ΛΑΙΩ.

ΛΑΙΕ Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.
δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶ
παιδὸς ἑοῦ χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα.

---

## ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

ΕΣΤΙ δίπουν ἐπὶ γῆς καὶ τέτραπον, οὗ μία φωνή,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

---

## ΛΥΣΙΣ ΤΟΥ ΑΙΝΙΓΜΑΤΟΣ.

ΚΛΥΘΙ, καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὅς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·
γηραλέος δὲ πέλων, τρίτατον πόδα, βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

---

### ΟΙΔΙΠΟΥΣ.

Ὦ ΤΕΚΝΑ, Κάδμου τοῦ πάλαι νέα τροφὴ,
τίνας ποθ' ἕδρας τάσδ' ἐμοὶ θοάζετε,
ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι;
πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων·
ἁ 'γὼ δικαιῶν μὴ παρ' ἀγγέλων, τέκνα,
ἄλλων ἀκούειν, αὐτὸς ὧδ' ἐλήλυθα,
ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.
ἀλλ', ὦ γεραιὲ, φράζ', ἐπεὶ πρέπων ἔφυς
πρὸ τῶνδε φωνεῖν, τίνι τρόπῳ καθέστατε;
δείσαντες, ἢ στέρξαντες; ὡς θέλοντος ἂν
ἐμοῦ προσαρκεῖν πᾶν. δυσάλγητος γὰρ ἂν
εἴην, τοιάνδε μὴ οὐ κατοικτείρων ἕδραν.

V. 2. *τίνας ἕδρας τάσδε θοάζετε;* id est *διὰ τί προσθακεῖτε τάσδε τὰς ἕδρας; τί προσχρήζετε ταύταις ταῖς ἕδραις;* Vide Œd. Col. 1160. 1166.

3. *ἐξεστεμμένοι.* Male interpres, *coronati.* Vertere poterat, *instructi.* Non coronis erant redimiti; sed manibus ferebant ramos oleæ lana obvolutos, qui Græcis *στέμματα* vocantur. Sic Chryses Iliadis initio: *Στέμματ' ἔχων ἐν χερσὶν, ἑκηβόλου Ἀπόλλωνος Χρυσέῳ ἀνὰ σκήπτρῳ.* Infra, 913. rami isti supplicatorii *στέφη* appellantur. Latinis *velamina.* Plautus Amphitr. i. 1. *Velatis manibus orant.* Ad quem locum vide interpretes.

10. *τίνι τρόπῳ, quare, quamobrem?* Vide Marklandum ad Euripidis Supplices, 147.

11. *στέρξαντες.* Sic unus e Regiis codd. quam lectionem agnoscit Scholiastes, male expositam per *παθόντες. στέργειν* hic valet *petere, cupere, orare,* ut Œd. Col. 1094.

12. *δυσάλγητος.* Gallice *insensible.* Vide Fragm. inc. xxxi.

ΙΕΡΕΥΣ.

ἀλλ', ὦ κρατύνων, Οἰδίπους, χώρας ἐμῆς,
ὁρᾷς μὲν ἡμᾶς ἡλίκοι προσήμεθα
βωμοῖσι τοῖς σοῖς· οἱ μὲν οὐδέπω μακρὰν
πτέσθαι σθένοντες· οἱ δὲ σὺν γήρᾳ βαρεῖς
ἱερῆς, ἐγὼ μὲν Ζηνός· οἱ δέ τ' ᾐθέων
λεκτοί· τὸ δ' ἄλλο φῦλον ἐξεστεμμένον
ἀγοραῖσι θακεῖ, πρός τε Παλλάδος διπλοῖς
ναοῖς, ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ.
πόλις γὰρ, ὥσπερ καὐτὸς, εἰσορᾷς ἄγαν
ἤδη σαλεύει, κἀνακουφίσαι κάρα
βυθῶν ἔτ' οὐχ οἵα τε φοινίου σάλου,
φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονὸς,
φθίνουσα δ' ἀγέλαις βουνόμοις, τόκοισί τε
ἀγόνοις γυναικῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
σκήψας ἐλαύνει, λοιμὸς ἔχθιςος, πόλιν,
ὑφ' οὗ κενοῦται δῶμα Καδμεῖον· μέλας δ'

16. *βωμοῖσι τοῖς σοῖς*. Non *aris tibi dicatis*; sed *aris pro foribus tuarum ædium positis*. Veterum hic mos notus. Plautus Curcul. i. 1. 71. Nunc ara Veneris hæc est ante horum fores. Lenonis erat domus, quem consentaneum erat Venerem pro tutelari Dea colere. At plerumque ante ædes Apollinis erant aræ τοῦ Ἀγυιέως. Comicus in Vesp. 875. γεῖτον Ἀγυιεῦ τοῦ 'μοῦ προθύρου. Plautus Bacchid. ii. 1. Saluto te, vicine Apollo, qui ædibus Propinquus nostris accolis, veneroque te. Vide El. 637. 1375. Eurip. Phœniss. 281. 640.

18. *ἱερῆς*. Atticismum a librariis sepæ obliteratum restitui. In Eurip. Supp. 666. legendum e duobus codd. Ἱππεῦσί θ' ἱππῆς ἦσαν ἀνθωπλισμένοι. non, ut vulgo, ἱππεῖς. In Phœnissis, 1236. 1255. optimi codicis auctoritate reposuimus ἀριςῆς. In Aj. 189. recte Turnebus edidit βασιλῆς, quod in v. 390. assumi non debebat: sed in El. 690. 709. Attica forma βραβῆς omnino reponenda erat.—ᾐθέων. Sic scriptum oportuit; non, ut vulgo, ἠϊθέων. Bene Valckenarius in Phœniss. 952. edidit, οὐ γάρ ἐστιν ᾔθεος. Eustath. ad Iliad. σ'. pag. 1166. ὃ γὰρ ἐν ἡλικίᾳ γυναικῶν αἱ παρθένοι, τοῦτο ἐν ἀνδράσιν ἠΐθεοι, οἱ ὡραῖοι, φασὶ, γάμου, καὶ μηδέπω γεγαμηκότες. ὡς δὲ καὶ τρισυλλάβως ᾔθεος λέγεται ὁ ἠΐθεος, προσγραφέντος τοῦ ι, Διονύσιος Αἴλιος φησί. καὶ ἔστι, φασὶν, Ἀττικόν. λέγεται δὲ καὶ ἐπὶ παρθένου τὸ ἠΐθεος, καὶ χρῆσις φέρεται εἰς τοῦτο αὕτη· Εἰ μὴ κόρη δεύσειε τὸ παῖς ᾔθεος.

28. *σκήψας*. gl. ἐπισκήψας, βαρέως ἐμπεσών.

29. *δῶμα Καδμεῖον*. Sic plerique codd. et Scholiastes, ut mox ἄςυ Καδμεῖον. Vulgo utrobique Καδμείων.

Ἅδης στεναγμοῖς καὶ γόοις πλουτίζεται.
θεοῖσι μέν νυν οὐκ ἰσούμενόν σ' ἐγὼ,
οὐδ' οἵδε παῖδες, ἑζόμεσθ' ἐφέστιοι,
ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίου
κρίνοντες, ἔν τε δαιμόνων ξυναλλαγαῖς·
ὅς γ' ἐξέλυσας, ἄστυ Καδμεῖον μολὼν,
σκληρᾶς ἀοιδοῦ δασμὸν, ὃν παρείχομεν,
καὶ ταῦθ' ὑφ' ἡμῶν οὐδὲν ἐξειδὼς πλέον,
οὐδ' ἐκδιδαχθείς· ἀλλὰ προσθήκῃ θεοῦ
λέγῃ νομίζῃ θ' ἡμῖν ὀρθῶσαι βίον.
νῦν τ', ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα,
ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι,
ἀλκήν τιν' εὑρεῖν ἡμῖν, εἴτε του θεῶν
φήμην ἀκούσας, εἴτ' ἀπ' ἀνδρὸς οἶσθά που·
ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς
ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.
ἴθ', ὦ βροτῶν ἄριστ', ἀνόρθωσον πόλιν,
ἴθ', εὐλαβήθηθ'· ὡς σὲ νῦν μὲν ἥδε γῆ
σωτῆρα κλῄζει τῆς πάρος προθυμίας·
ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνώμεθα,
στάντες τ' ἐς ὀρθὸν, καὶ πεσόντες ὕστερον·
ἀλλ' ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν.
ὄρνιθι γὰρ καὶ τὴν τότ' αἰσίῳ τύχην
παρέσχες ἡμῖν, καὶ τανῦν ἴσος γενοῦ.

31. *ἰσούμενόν σε*. gl. *ἴσον. σύναπτε δὲ πρὸς τὸ κρίνοντες.*

33. In *συμφοραῖς βίου* intellige quidquid sponte sua hominibus in vita evenire solet; *ταῖς συντυχίαις, τοῖς συναντήμασι*: in *δαιμόνων ξυναλλαγαῖς*, quidquid numen Deorum invehit præter solitum, quidquid fit Deorum interventu. Posterius minus bene interpretatur auctor veteris glossæ, *καταλλαγαῖς, φιλιώσεσιν*. Infra, 960. Œdipus quærit num Polybus mortuus fuerit *νόσου ξυναλλαγῇ*, *morbi interventu*. In Œd. Col. 410. *ποίας φανείσης ξυναλλαγῆς; cujusnam interventu?* ut recte explicat Scholiastes. Ad *πρῶτον* glossa: *ἤγουν ἐν τῷ εὑρεῖν μηχανὴν καὶ ἀπαλλαγὴν αὐτῶν.*

44. *τοῖσιν ἐμπείροισι*. gl. *τοῖς ἐν πείρᾳ πολλῇ γεγονόσι. τὰς ξυμφορὰς, τὰ τέλη. ζώσας, ἀσφαλεῖς, ἀδιαπτώτους*. Perperam hunc locum accepit Triclinius, cui frustra patrocinatur Toupius Cur. nov. in Suidam. p. 60. *ὡς τοῖς ἐν πείρᾳ*

ὡς, εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν.
ὡς οὐδέν ἐστιν οὔτε πύργος, οὔτε ναῦς,
ἔρημος ἀνδρῶν μὴ ξυνοικούντων ἔσω.
ΟΙ. ὦ παῖδες οἰκτροὶ, γνωτὰ, κοὐκ ἄγνωτά μοι
προσήλθεθ' ἱμείροντες. εὖ γὰρ οἶδ' ὅτι
νοσεῖτε πάντες, καὶ νοσοῦντες, ὡς ἐγὼ
οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ.
τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται
μόνον καθ' αὑτὸν, κοὐδέν' ἄλλον· ἡ δ' ἐμὴ
ψυχὴ πόλιν τε κἀμὲ καί σ' ὁμοῦ στένει.
ὥστ' οὐχ ὕπνῳ γ' εὕδοντά μ' ἐξεγείρετε,
ἀλλ' ἴστε πολλὰ μέν με δακρύσαντα δὴ,
πολλὰς δ' ὁδοὺς ἐλθόντα φροντίδος πλάνοις.
ἣν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην,
ταύτην ἔπραξα. παῖδα γὰρ Μενοικέως
Κρέοντ', ἐμαυτοῦ γαμβρὸν, ἐς τὰ Πυθικὰ

γεγονόσι καὶ συνετοῖς καὶ τὰς -εντυχίας, ἤγουν τὰς ἀποβάσεις τῶν βουλευμάτων, ὁρῶ μάλιστα ζώσας καὶ οὐκ ἀπολλυμένας. Confer notam ad El. 1230.

58. γνωτὰ κοὐκ ἄγνωτα. Sic apud Homerum Iliad ζ'. 333. Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας, οὐδ' ὑπὲρ αἶσαν. ad quem versum Eustathius, p. 645. ἐπιμονὴν ὁ λόγος ἔχει τὴν κατ' ἦθος ἀληθευτικήν. ὅτι ὅμοιον παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ, γνωτὰ κοὐκ ἄγνωτά μοι. καὶ τὸ, ἡδὺς οὐδὲ μητρὶ δυσχερής. καὶ τὸ, οὔτε τι τοῦ μὴ θανεῖν προμηθὴς τό τε μὴ βλέπειν ἑτοίμα. Duo postremo exempla in Electra sunt, 929, 1078. Addere poterat ex Ajace 289. ἄκλητος, οὔθ' ὑπ' ἀγγέλων κληθείς.

60. Hunc locum imitatus est Argonauticorum poeta ii. 631. Αἰεὶ δὲ στονόεσσαν ἐπ' ἤματι νύκτα φυλάσσω, Ἐξότε τὸ πρώτιστον ἐμὴν χάριν ἠγερέθεσθε, Φραζόμενος τὰ ἕκαστα· σὺ δ' εὐμαρέως ἀγορεύεις, Οἶον ἑῆς ψυχῆς ἀλέγων ὕπερ· αὐτὰρ ἔγωγε Εἶο μὲν οὐδ' ἠβαιὸν ἀτύζομαι· ἀμφὶ δὲ τοῖο, Καὶ τοῦ, ὁμῶς καὶ σεῖο, καὶ ἄλλων δείδι' ἑταίρων.

67. πλάνοις. Sic B. et Schol. recte ex Atticorum usu. Eurip. Hippol. 284. φρενῶν πλάνον. Helena, 541, ἐδ' ἀγύμναστον πλάνοις. 783. πόσον χρόνον πόντου 'πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον; Idem in Stobæo Grotii, p. 105. πλάνος τι καρδίᾳ προσίσταται. Vide Œd. Col. 1114. Phil. 758.

70. ἐμαυτοῦ γαμβρόν. Græcis γαμβροὶ appellantur quicunque per nuptias affinitate juncti sunt; generi, soceri, uxoris fratres, sororum mariti: quo postremo sensu, vel etiam generaliori accipiendum in Sarpedonis oratione, qua Hectorem objurgat 'Ιλ. ε'. 473. Φῆς που ἄτερ λαῶν πόλιν ἑξέμεν, ἠδ' ἐπικούρων, Οἶος σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσι. ad quem locum Eu-

ἔπεμψα Φοίβου δώμαθ᾽, ὡς πύθοιθ᾽ ὅ, τι
δρῶν, ἢ τί φωνῶν, τήνδε ῥυσαίμην πόλιν.
καί μ᾽ ἦμαρ ἤδη ξυμμετρούμενον χρόνῳ
λυπεῖ, τί πράσσει. τοῦ γὰρ εἰκότος πέρα,
ἄπεςι πλείω τοῦ καθήκοντος χρόνου.
ὅταν δ᾽ ἵκηται, τηνικαῦτ᾽ ἐγὼ κακὸς
μὴ δρῶν ἂν εἴην πάνθ᾽ ὅσ᾽ ἂν δηλοῖ θεός.
ΙΕ. ἀλλ᾽ εἰς καλὸν σύ τ᾽ εἶπας· οἵδε γ᾽ ἀρτίως
Κρέοντα προςείχοντα σημαίνουσί μοι.
ΟΙ. ὦ ἄναξ Ἄπολλον, εἰ γὰρ ἐν τύχῃ γε τῳς
σωτῆρι βαίη, λαμπρὸς ὥσπερ ὄμματι.
ΙΕ. ἀλλ᾽ εἰκάσαι μὲν, ἡδύς. οὐ γὰρ ἂν κάρα

stathius, p. 572. γαμβροὶ νῦν μὲν, οἱ κοινῶς οὕτω καλούμενοι. ἡ δὲ τραγῳδία ἐν τῷ, κηδεύσας καλοῖς γαμβροῖς, τοὺς πενθεροὺς δηλοῖ, ὡς καὶ αὐτοὺς κατὰ γαμικὸν κτηθέντας συνάλλαγμα. καὶ ὁ παρὰ Σοφοκλεῖ δὲ Οἰδίπους γαμβρὸν ἑαυτοῦ τὸν τῆς Ἰοκάςης ἀδελφὸν Κρέοντα λέγει, ὡς ἐξ ἐπιγαμβρίας συγγενῆ, ἀλλαχοῦ μέντοι κηδεςὴν, κυριολεκτῶν, αὐτὸν λέγει ἐν τῷ, ἄναξ ἐμὸν κήδευμα. Sic nominis πενθερὸς late diffunditur significatio. Vide Lexicon. Sororis maritum notat apud Eurip. Elect. 1295.

78. οἵδε γ᾽—Sic recte B. et Schol. Perperam a librariis mutatum fuit in οἱ δέ τε, quia prius τ᾽ in εἰς καλὸν σύ τ᾽ εἶπας, acceperant pro τε. At valet τοι. ἀλλά τοι καλῶς εἶπας σύ· οἵδε γε ἀρτίως—Istud γε, ut sæpe alias, valet γάρ. Præcedentia enim confirmat.

80. εἰ γὰρ, *utinam*. gl. εἴθε δή. Librorum omnium lectio est ἐν τύχῃ γέ τῳ, quam agnoscit Eustathius p. 1154. et alibi: et retineri poterat. Nihilominus certissima mihi videtur, ut elegantissima est, Marklandi emendatio in nota ad Eurip. Suppl. 1145. τῳς, cui respondet in proximo versu ὥσπερ. Sic in Aj. 840. ὥσπερ—τώς. In Æschyli S. Th. 485. ὡς δ᾽ ὑπέραυχα βάζουσιν—τώς νιν Ζεὺς ἐπίδοι κοταίνων. Ibid. 639. τὼς, sine relato ὡς, cujus vicem sustinent verba τὸν αὐτὸν τρόπον.—σωτὴρ nomen est substantivum pro adjectivo positum, cujus rei apud Poëtas, non Atticos solum, sed quoscunque exempla passim obvia. Vide quæ notavi ad Apollonii βοτῆρα αὔλιον Argon. iv. 1248. ὕβριν ἀνέρα τιμήσουσι legitur in Hesiodi Ἔργοις, 174. Plurima exempla collegit Eustathius ad Odyss. Γ. p. 1484.

82. οὐ γὰρ ἂν κάρα. Coronati enim soli domum redibant, quibus lætæ sortes obtigerant. Quocirca bene in scholio additum ἐπί τινι αἰσίῳ. Quibus vero vel tristia nuntiata fuerant, vel domum repetentibus adversi aliquid acciderat, ii coronas deponebant. Theseus apud Euripidem Hippol. 813. audito uxoris leto:—τί δῆτα τοῖσδ᾽ ἀνέςεμμαι κάρα Πλεκτοῖσι φύλλοις, δυςυχὴς θεωρὸς ὤν; Fabius Pictor legatus a Delphis Romam reversus in senatu dicit apud Livium, xxiii. 11. *Se jussum ab templi antistite, sicut coronatus laurea corona et oraculum adiisset,*

πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης.
ΟΙ. τάχ' εἰσόμεσθα· ξύμμετρος γὰρ ὡς κλύειν.
ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως,
τίν' ἡμὶν ἥκεις τοῦ θεοῦ φήμην φέρων;

ΚΡΕΩΝ.

ἐσθλήν. λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι
κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.
ΟΙ. ἔστιν δὲ ποῖον τοὔπος; οὔτε γὰρ θρασὺς,
οὔτ' οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ.
ΚΡ. εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,
ἕτοιμος εἰπεῖν, εἴτε καὶ στείχειν ἔσω.
ΟΙ. ἐς πάντας αὔδα. τῶνδε γὰρ πλέον φέρω
τὸ πένθος, ἢ καὶ τῆς ἐμῆς ψυχῆς πέρι.
ΚΡ. λέγοιμ' ἂν οἷ' ἤκουσα τοῦ θεοῦ πάρα.
ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς ἄναξ
μίασμα χώρας, ὡς τεθραμμένον χθονὶ
ἐν τῇδ', ἐλαύνειν, μηδ' ἀνήκεστον τρέφειν.
ΟΙ. ποίῳ καθαρμῷ; τίς ὁ τρόπος τῆς ξυμφορᾶς;
ΚΡ. ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν

*et rem divinam fecisset, ita coronatum navim ascendere, nec ante deponere eum, quam Romam pervenisset.*

85. ἐμὸν κήδευμα, pro ἐμὸς κηδεστής. Sic Eurip. Orest. 479. Ὦ χαῖρε καὶ σὺ, Μενέλεως, κήδευμ' ἐμόν. 1237. ὦ ξυγγένεια πατρὸς ἐμοῦ. et Phœniss. 298. ὦ ξυγγένεια τῶν Ἀγήνορος τέκνων. pro ὦ ξυγγενής. Et sic sæpe res pro persona, seu, ut barbare loquuntur, abstractum pro concreto ponitur. Infra, 128. τυραννίδος οὕτω πεσούσης, pro τυράννου οὕτω πεσόντος. De hoc schemate plura ad Antig. 756.

87. τὰ δύσφορ'. Sic codd. omnes, quod diversimode in glossis exponitur: τὰ δοκοῦντα σχέτλια. τὰ δυσχερῆ, ἤγουν ἡ ζήτησις τοῦ φονέως. Sic etiam legit Scholiastes, apud quem τὰ δύσφημα nihil aliud est quam interpretámentum.

95. λέγοιμ' ἂν, *dicam*. Vide ad El. 1491.

101. ὡς τήνδ' αἷμα χειμάζον πόλιν. Optima est docti viri apud Heathium emendatio. Libri omnes τόδ' αἷμα. Verum nondum facta mentio cædis definitæ alicujus personæ: proinde ex indole linguæ dici debuit ὡς αἷμα χειμάζον πόλιν: non vero αἷμα τόδε, quum nihil præcesserit ad quod istud τόδε referri possit. Acute vidit eruditus Britannus τόδε in τήνδε mutandum. Accusativus ὡς αἷμα χειμάζον absolute positus pro genitivo, schema est Atticis scriptoribus perquam familiare. Aristophanes in deperdita fabula:—ἀλλὰ, τὸ στρόφιον λυ-

λύοντας, ὡς τήνδ' αἷμα χειμάζον πόλιν.
ΟΙ. ποίου γὰρ ἀνδρὸς τήνδε μηνύει τύχην;
ΚΡ. ἦν ἡμὶν, ὦ 'ναξ, Λάϊός ποθ' ἡγεμὼν
γῆς τῆσδε, πρίν σε τήνδ' ἀπευθύνειν πόλιν.
ΟΙ. ἔξοιδ' ἀκούων· οὐ γὰρ εἰσεῖδόν γέ πω.
ΚΡ. τούτου θανόντος, νῦν ἐπιστέλλει σαφῶς
τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινάς.
ΟΙ. οἵδ' εἰσὶ ποῦ γῆς; ποῦ τόδ' εὑρεθήσεται
ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας;
ΚΡ. ἐν τῇδ' ἔφασκε γῇ. τὸ δὲ ζητούμενον
ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.
ΟΙ. πότερα δ' ἐν οἴκοις, ἢ 'ν ἀγροῖς ὁ Λάϊος,
ἢ γῆς ἐπ' ἄλλης, τῷδε συμπίπτει φόνῳ;
ΚΡ. θεωρὸς, ὡς ἔφασκεν, ἐκδημῶν, πάλιν
πρὸς οἶκον οὐκ ἔθ' ἵκεθ', ὡς ἀπεστάλη.
ΟΙ. οὐδ' ἄγγελός τις, οὐδὲ συμπράκτωρ ὁδοῦ
κατεῖδ', ὅτου τις ἐκμαθὼν ἐχρήσατ' ἄν;
ΚΡ. θνήσκουσι γὰρ, πλὴν εἷς τις, ὃς φόβῳ φυγὼν,
ὧν εἶδε, πλὴν ἓν, οὐδὲν εἶχ' εἰδὼς φράσαι.
ΟΙ. τὸ ποῖον; ἓν γὰρ πόλλ' ἂν ἐξεύροι μαθεῖν,
ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.
ΚΡ. λῃστὰς ἔφασκε συντυχόντας, οὐ μιᾷ
ῥώμῃ κτανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.
ΟΙ. πῶς οὖν ὁ λῃστὴς, εἴ τι μὴ ξὺν ἀργύρῳ
ἐπράσσετ' ἐνθένδ', ἐς τόδ' ἂν τόλμης ἔβη;
ΚΡ. δοκοῦντα ταῦτ' ἦν· Λαΐου δ' ὀλωλότος
οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγίγνετο.
ΟΙ. κακὸν δὲ ποῖον ἐμποδὼν, τυραννίδος
οὕτω πεσούσης, εἶργε τοῦτ' ἐξειδέναι;

θεν, Τὰ κάρυά μου 'ξίπιπτεν. ubi, sive nominativus, sive accusativus est, positus est pro τοῦ τροφίου λυθέντος. Vide Gregorium de Dial. Att. vii. xxxv. lxxx. Kusterum ad Comici Plutum 277. et quæ notavimus ad Ranas 1437.

110. τὸ ζητούμενον ἁλωτόν. Terent. Heaut. iv. 1. 8. Nihil tam difficile 'st, quin quærendo investigari possiet.

120. ἐξεύροι. gl. ἀντὶ τοῦ μηχανὴν δοίη.

ΚΡ. ἡ ποικιλῳδὸς Σφὶγξ τὰ πρὸς ποσὶ σκοπεῖν,
μεθέντας ἡμᾶς τἀφανῆ, προσήγετο.
ΟΙ. ἀλλ' ἐξ ὑπαρχῆς αὖθις αὔτ' ἐγὼ φανῶ.
ἐπαξίως γὰρ Φοῖβος ἀξίως δὲ σὺ, .
πρὸ τοῦ θανόντος τήνδ' ἔθεσθ' ἐπιστροφήν·
ὥστ' ἐνδίκως ὄψεσθε κἀμὲ σύμμαχον,
γῇ τῇδε τιμωροῦντα, τῷ θεῷ θ' ἅμα.
ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων,
ἀλλ' αὐτὸς αὑτοῦ, τοῦτ' ἀποσκεδῶ μύσος.
ὅστις γὰρ ἦν ἐκεῖνον ὁ κτανὼν, τάχ' ἂν
κἄμ' ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
κείνῳ προσαρκῶν οὖν, ἐμαυτὸν ὠφελῶ.
ἀλλ' ὡς τάχιστα, παῖδες, ὑμεῖς μὲν βάθρων
ἵστασθε, τούσδ' ἄραντες ἱκτῆρας κλάδους·
ἄλλος δὲ Κάδμου λαὸν ὧδ' ἀθροιζέτω,
ὡς πᾶν ἐμοῦ δράσοντος. ἢ γὰρ εὐτυχεῖς
ξὺν τῷ θεῷ φανούμεθ', ἢ πεπτωκότες.
ΙΕ. ὦ παῖδες, ἱστώμεσθα· τῶνδε γὰρ χάριν
καὶ δεῦρ' ἔβημεν, ὧν ὅδ' ἐξαγγέλλεται.
Φοῖβος δ', ὁ πέμψας τάσδε μαντείας, ἅμα
σωτήρ θ' ἵκοιτο, καὶ νόσου παυστήριος.

## ΧΟΡΟΣ.

Ὦ Διὸς ἁδυεπὴς φάτι, τίς ποτε τᾶς πολυχρύσου στροφή.
Πυθῶνος ἀγλαὰς ἔβας

134. πρὸ τοῦ θανόντος. Sic A. D. T. Glossa in primo ὑπὲρ, ὡς πρόμαχος ὑπέρμαχος. Perperam in impressis πρὸς τοῦ.

138. ἀποσκεδῶ. Attica futuri forma pro ἀποσκεδάσω, de qua vide quæ notavi ad Comici Ranas 298. In Vespis, 229.—ἐάν περ ἐγὼ λίθους ἔχω, Πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ. Æschylus Prom. 25. Πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν. ubi σκεδᾷ non præsens est pro futuro, sed purum putum futurum. In Eurip. Phœniss. 616. ἐξελῶν. In Œd. Col. 406. κατασκιῶσι vera futura sunt formæ contractæ, pro ἐξελάσων et κατασκιάσουσι. Nihil apud Atticos Poëtas frequentius.

142. βάθρων ἵστασθε. gl. ἀνίστασθε, ἀνάστητε ἀπὸ τῶν καθιδρῶν. Sedebant enim ad aram pro supplicum more. Vide Œd. Col. 1158.

Θήβας; ἐκτέταμαι φοβερὰν φρένα, δείματι πάλλων,
(Ἰήϊε, Δάλιε, Παιάν.)
ἀμφὶ σοὶ ἁζόμενος, τί μοι ἢ νέον,
ἢ περιτελλομέναις ὥραις πάλιν,
ἐξανύσεις χρέος.
εἰπέ μοι, ὦ χρυσέας τέκνον Ἐλπίδος, ἄμβροτε Φάμα.
πρῶτά σε κεκλομένῳ, θύγατερ Διὸς, ἄμβροτ' Ἀθάνα, ἀντ.
γαιάοχόν τ' ἀδελφεὰν
Ἄρτεμιν, ἃ κυκλόεντ' ἀγορᾶς θρόνον εὐκλέα θάσσει,
καὶ Φοῖβον ἑκαβόλον, ἰὼ
τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι,
εἴ ποτε καὶ προτέρας ἄτας ὕπερ
ὀρνυμένας πόλει,
ἠνύσατ' ἐκτοπίαν φλόγα πήματος, ἔλθετε καὶ νῦν.

153. ἐκτέταμαι. Sic libri omnes. Gl. ἔκνους ἐγενόμην, ἢ μετέωρος. Quod pertinet quidem ad ἐκπέταμαι, quomodo Poëtam scripsisse olim opinatus sum. Sic Antig. 1307. ἀνέπταν φόβῳ. Eurip. Suppl. 89. ὡς φόβος μ' ἀναπτεροῖ. Sed nihil mutandum. ἐκτέταμαι Triclinius recte exponit e veteribus scholiis, quibus integrioribus usus est, quam erant in exemplari a Jano Lascare edito. ΕΚΤΕΤΑΜΑΙ, ἀντὶ τοῦ ἐκπέπληγμαι, παρ' ὅσον οἱ ἐκπλαγέντες ἔκτασιν σώματος καὶ ἀκινησίαν, ἐν ὅσῳ ἐκπλήττονται, πάσχουσι. Eodem sensu ἐκτετάμαι accipiendum videtur, quo παρετάθη apud Comicum in Nubibus, 213. ubi rusticus ait, Eubœam ab Atheniensibus duce Pericle vexatam fuisse: ὑπὸ γὰρ ὑμῶν παρετάθη καὶ Περικλέους. Inest his verbis cruciatus notio.

155. ἁζόμενος. gl. εὐλαβούμενος, φοβούμενος. recte. Hoc sensu ἅζεσθαι est apud Homerum Ἰλ. ξ. 261. Ἅζετο γὰρ, μὴ Νυκτὶ θοῇ ἀποθύμια ἕρδοι. Locum in Aldina editione bene interpunctum non intellexit Johnsonus. Nulla hic est interrogatio, cujus signum post χρέος poni non debuit: ἐκπέπληγμαι φοβούμενος τί ἐξανύσεις.

159. κεκλομένῳ. Sic Aldus et codd. plerique. Si qui κεκλόμενος habent, in iis altera lectio quam sequimur, superscripta. Refertur ad proximum μοι. προφάνητέ μοι κεκλομένῳ. Eustathius, p. 714. extrema κεκλόμενος tuetur: ἢ γὰρ καὶ ἐκεῖ λείπει τὸ εἰμὶ, ἢ τὸ κεκλόμενος ἀντὶ τοῦ κέκλομαι εἴληπται. Has ratione quodvis sermonis vitium defendi possit.

161. εὔκλεα. Male vulgo εὐκλεᾶ. Utraque forma proba est: sed posteriorem hic loci respuit metri lex. Vide Eustathium, p. 1516. initio. At Scholiastes Εὔκλεα nominativum esse censet pro Εὔκλεια, quo nomine Diana apud Bœotos et horum vicinos Platæenses culta fuit. Vide Plutarch. in Aristide, p. 317.

ὢ πόποι, ἀνάριθμα γὰρ
φέρω πήματα·
νοσεῖ δ' ἐμοὶ πρόπας στόλος,
οὐδ' ἔνι φροντίδος ἔγχος,
ᾧ τις ἀλέξεται. οὔτε γὰρ
ἔκγονα κλυτᾶς χθονὸς
αὔξεται, οὔτε τόκοισιν
ἰηΐων καμάτων ἀνέχουσι γυναῖκες·
ἄλλον δ' ἂν ἄλλῳ προσίδοις,
ἅπερ εὔπτερον ὄρνιν,
κρεῖσσον ἀμαιμακέτου πυρὸς ὄρμενον ἀκτὰν
πρὸς ἑσπέρου θεοῦ,
ὧν πόλις ἀνάριθμος ὄλλυται.
νηλέα δὲ γένεθλα
πρὸς πέδῳ θανατηφόρῳ
κεῖται ἀνοίκτως·
ἐν δ' ἄλοχοι, πολιαί τ' ἐπὶ ματέρες,
ἀϋτὰν παραβώμιον
ἄλλοθεν ἄλλαι λυγρῶν πόνων
ἱκτῆρες ἐπιστοναχοῦσι.

167. ὢ πόποι. gl. ἀντὶ τοῦ φεῦ. διὰ μέσου.

170. οὐδ' ἔνι φροντίδος ἔγχος. gl. οὐδ' ἔνεστι μηχανῆς, ἐπινοίας δύναμις. Scholiastes legisse videtur ut est apud Suidam in ἔγχος, οὐδὲ τῷ φροντίδος ἔγχος.

172. ἔκγονα κλυτᾶς χθόνος. In uno cod. reperi κλυτὰ χθονὸς, quod haud deterius est. Cum his Sophocleis P. Victorius Var. Lect. xv. 20. Pacuvii verba ex Duloreste comparat, a Nonio servata: *Nec grandiri frugum fetum posse, nec mitescere.* Nempe arbitrabantur olim Deos hominibus iratos ob aliquod impium facinus, fructibus terræ obesse, fetusque animantium perdere, donec placarentur, expiato scelere.

174. ἰηΐων. gl. θρηνητικῶν. Eurip. Phœniss. 1046. ἰάλεμοι ἐστέναζον οἴκοις ἰήϊον βοὰν, ἰήϊον μέλος.—ἀνέχουσι. gl. ἄνεσιν ἔχουσιν, ἀναπαύονται.

180. νηλέα. Neutrum plurale adverbii vice. Gl. νηλέως. νηλέα δὲ καὶ ἀνοίκτως ἐκ παραλλήλου.

184. ἀϋτὰν παραβώμιον. Aldus ἀκτὰν παραβώμιον, ut alii codd. habent: in aliis divisim παρὰ βώμιον. Menda est in ἀκτὰν, quam egregia conjectura sustulit Musgravius ad Eurip. Heracl. 44.

186. ἐπιστοναχοῦσι. Perperam vulgo ἐπιστονάχουσι. Legitimæ formæ sunt στονάχω et στοναχέω.

παιὰν δὲ λάμπει στονόεσσά τε γῆρυς ὅμαυλος·
ὧν ὕπερ, ὦ χρυσέα θύγατερ Διὸς
εὐῶπα, πέμψον ἀλκὰν,
Ἄρεά τε τὸν μαλερὸν,
ὃς νῦν ἄχαλκος ἀσπίδων
φλέγει με περιβόητος ἀντιάζων,
παλίσσυτον δράμημα νωτίσαι
πάτρας ἄπουρον, εἴτ' ἐς μέγαν
θάλαμον Ἀμφιτρίτας,
εἴτ' ἐς τὸν ἀπόξενον ὅρμον
Θρήκιον κλύδωνα·
τέλει γὰρ ἤν τι νὺξ ἀφῇ,
τοῦτ' ἐπ' ἦμαρ ἔρχεται·
τὸν, ὦ πυρφόρων ἀστραπᾶν
κράτη νέμων, ὦ Ζεῦ πάτερ,
ὑπὸ σῷ φθίσον κεραυνῷ.
Λύκει' ἄναξ, τά τε σὰ χρυσοστρόφων
ἀπ' ἀγκυλῶν βέλεα θέλοιμ' ἂν
ἀδάμαστ' ἐνδατεῖσθαι,
ἀρωγὰ προσταθέντα,
τάς τε πυρφόρους Ἀρτέμιδος

187. ὅμαυλος. gl. συμμιγής.

189. εὐῶπα. vocativus a recto εὐώπης, quod nescio an feminino genere uspiam occurrat. Tritum est εὐῶπις in pulchritudinis laude. At si eadem significatione adhibeatur qua ὀξυωπὴς, ὀξυδερκὴς, quæ hujus loci aliena non est, favet analogia receptæ lectioni.

191. ἄχαλκος ἀσπίδων. gl: ἄοπλος σωματικῶν ὅπλων. Sic in El. 36. ἄσκευον ἀσπίδων καὶ στρατοῦ. In Aj. 321. ἀψόφητος ὀξέων κωκυμάτων. Eurip. Phœniss. ἄσπιστος φαρέων λευκῶν. ad quem locum vide Valckenarium, pag. 115.

193. παλίσσυτον δράμημα νωτίσαι. gl. παλινδρομῆσαι. Supplendum est δός; quod in glossa etiam notatum. Est autem hæc ellipsis in precibus maxime solemnis. Vide Comicum Thesmoph. 286. Ran. 886. quo quidem intellecto liquet copulam τε in v. 190. neutiquam delendam esse.

194. πάτρας ἄπουρον. gl. τῆς πατρίδος τῆς ἐμῆς δηλαδὴ μακράν. Sic membr. et tres alii codd. cum Aldina editione; optime sane. Altera lectio ἔπουρον plane mendosa est.

204. ἀγκυλῶν. Genitivus pluralis nominis ἀγκύλη. Glossa in membr. τὰ νευρὰ λέγει.

αἴγλας, ξὺν αἷς Λύκει' ὄρεα
διάσσει· τὸν χρυσομίτραν
τε κικλήσκω, τᾶσδ' ἐπώνυμον
γᾶς, οἰνῶπα Βάκχον εὔϊον,
Μαινάδων ὁμόστολον,
πελασθῆναι, φλέγοντ'
ἀγλαῶπι πεύκᾳ,
ἐπὶ τὸν ἀπότιμον ἐν θεοῖς θεόν.

ΟΙ. Αἰτεῖς· ἃ δ' αἰτεῖς, τἄμ' ἐὰν θέλῃς ἔπη
κλύων δέχεσθαι, τῇ νόσῳ θ' ὑπηρετεῖν,
ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν·
ἃ 'γὼ ξένος μὲν τοῦ λόγου τοῦδ' ἐξερῶ,
ξένος δὲ τοῦ πραχθέντος. οὐ γὰρ ἂν μακρὰν
ἴχνευον αὐτὸς, μὴ οὐκ ἔχων τι σύμβολον.
νῦν δ', ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ,
ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε.
ὅστις ποθ' ὑμῶν Λάϊον τὸν Λαβδάκου
κάτοιδεν, ἀνδρὸς ἐκ τίνος διώλετο,
τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί·
κεἰ μὲν φοβεῖται, τοὐπίκλημ' ὑπεξελὼν
αὐτὸς καθ' αὑτοῦ· πείσεται γὰρ ἄλλο μὲν
ἀστεργὲς οὐδέν· γῆς δ' ἄπεισιν ἀβλαβής.
εἰ δ' αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς
τὸν αὐτόχειρα, μὴ σιωπάτω· τὸ γὰρ
κέρδος τελῶ 'γὼ, χ' ἡ χάρις προσκείσεται.

212. Μαινάδων ὁμόστολον. Sic liquido in duobus codicibus. Mendose reliqui, μονόστολον. Glossæ: ὁμοδίαιτον. συνόμιλον, συνοδοιπόρον.

221. μὴ οὐκ in unam syllabam coalescunt, quod tironibus etiam notum. In B. scriptum μὴ ὀκ, supra, 13. μὴ ὀ; et sic ubicunque simili elisioni locus est; quemadmodum et scribi et efferri volebat Marklandus. Glossa: ἐπεὶ οὐκ ἔχω τι σημεῖον.

227. ἐπίκλημα, κατέγκλημα, κατηγορία. Sic infra, 529. Passim ἐπικαλεῖν pro ἐγκαλεῖν occurrit.

228. Post αὐτὸς καθ' αὑτοῦ supplendum σημαινέτω, λεγέτω ὅμως, quod ex serie orationis intelligitur. Sic etiam in glossa.

229. ἄπεισιν. gl. ἀπελεύσεται.

232. τελῶ. gl. τελέσω, δώσω. Forma

εἰ δ' αὖ σιωπήσεσθε, καί τις ἢ φίλου
δείσας ἀπώσει τοὔπος, ἢ χ' αὑτοῦ, τόδε,
ἃ 'κ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.
τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον, ὅςις ἐςὶ, γῆς
τῆσδ', ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω,
μήτ' εἰσδέχεσθαι, μήτε προσφωνεῖν τινὰ,
μήτ' ἐν θεῶν εὐχαῖσι μήτε θύμασι
κοινὸν ποιεῖσθαι, μήτε χέρνιβας νέμειν·
ὠθεῖν δ' ἀπ' οἴκων πάντας, ὡς μιάσματος
τοῦδ' ἡμὶν ὄντος, ὡς τὸ Πυθικὸν θεοῦ
μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.
ἐγὼ μὲν οὖν τοιόσδε τῷ τε δαίμονι
τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω.
κατεύχομαι δὲ τὸν δεδρακότ', εἴτε τις
εἷς ὢν λέληθεν, εἴτε πλειόνων μέτα,
κακὸν κακῶς νιν ἄμοιρον ἐκτρῖψαι βίον.
ἐπεύχομαι δ', οἴκοισιν εἰ ξυνέςιος
ἐν τοῖς ἐμοῖς γένοιτο μὴ οὐ ξυνειδότος,
παθεῖν, ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην.
ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω τελεῖν,
ὑπέρ τ' ἐμαυτοῦ, τοῦ θεοῦ τε, τῆσδέ τε
γῆς, ὧδ' ἀκάρπως κἀθέως ἐφθαρμένης.

futuri Attica, de qua supra ad v. 138. Sic infra, 418. ἱλῷ, ἱλάσω.

234. ἀπώσει. Enotatam ex uno e Britannis codd. probam lectionem reperi in T. et Augustano. Reliqui cum impressis solœce ἀπώσῃ.

235. ἐκ τῶνδε. μετὰ ταῦτα, *dehinc, postea*. Sophocli valde frequentatum. Alciphron Epist. 33. ἐκ τοσαύτης συνηθείας, *post tantam familiaritatem*.

240. Quid sit χέρνιβας νέμειν docebit Athenæus, cujus hæc sunt verba, lib. ix. p. 409. "Εςι δὲ ΧΕΡΝΙΨ ὕδωρ, εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες, ἐφ' ᾧ τὴν θυσίαν ἐπετέλουν· καὶ τούτῳ περιῤῥαίνοντες τοὺς παρόντας ἥγνιζον.

250. γένοιτο μὴ οὐ ξυνειδότος. Sic optime Marklandus ad Eurip. Suppl. 390. Vulgo legitur prorsus absurde ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοῦ συνειδότος. At nulla causa erat, cur quidquam imprecaretur interfectori, quem ipse comperisset secum domi suæ habitare: illum statim expellere poterat, aut quovis supplicio multare. Quod sequitur παθεῖν, ad interfectorem spectat, si quis forte in Œdipi domo nescientis versetur; non ad ipsum Œdipum, ut inepte somniarunt interpretes.

οὐδ᾽, εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον,
ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾷν,
ἀνδρός γ᾽ ἀρίστου βασιλέως τ᾽ ὀλωλότος,
ἀλλ᾽ ἐξερευνᾷν· νῦν δέ γ᾽ ἐπικυρῶ τ᾽ ἐγὼ,
ἔχων μὲν ἀρχὰς, ἃς ἐκεῖνος εἶχε πρὶν,
ἔχων δὲ λέκτρα, καὶ γυναῖχ᾽ ὁμόσπορον,
κοινῶν τε παίδων κοίν᾽ ἂν, εἰ κείνῳ γένος
μὴ ᾽δυστύχησεν ἦν ἂν ἐκπεφυκότα.
νῦν δ᾽ ἐς τὸ κείνου κρᾶτ᾽ ἐνήλαθ᾽ ἡ τύχη.
ἀνθ᾽ ὧν ἐγὼ τοῦδ᾽, ὡσπερεὶ τοῦ ᾽μοῦ πατρὸς,
ὑπερμαχοῦμαι, κἀπὶ πάντ᾽ ἀφίξομαι,
ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν,
τῷ Λαβδακείῳ παιδὶ, Πολυδώρου τε, καὶ
τοῦ πρόσθε Κάδμου, τοῦ πάλαι τ᾽ Ἀγήνορος.

258. νῦν δέ γ᾽ ἐπικυρῶ τ᾽ ἐγώ. Sic liquido scriptum in D. Ceteri codd. ut Aldus, νῦν δ᾽ ἐπικυρῶ τ᾽ ἐγὼ, labante versu. Haud male emendaverat Heathius, νῦν δ᾽ ἄρ᾽ ἐπικυρῶ—

261. Sunt quibus phrasis horum versuum intricatior videri possit. Sensus est: *Si liberos reliquisset Laius, esset illis genus commune cum liberis meis; fratres essent illi liberorum meorum.* εἰ κείνῳ γένος εὐτύχησεν, κοινῶν παίδων κοινὰ ἦν ἂν ἐκπεφυκότα γένη. Sophocli familiare est κοινὸς usurpare pro ἀδελφὸς, quod Scholiaste observatum ad 1. Antigonæ versum, et Hesychio in voce.

264. τοῦδ᾽ ὡσπερεὶ τοῦ ᾽μοῦ πατρός. Sic recte eruditus Britannus. Codd. et Aldus τάδ᾽.

267. τῷ Λαβδακείῳ παιδὶ, Πολυδώρου τε. Hoc exemplo bis utitur Eustathius ad illustrandas similes apud Homerum constructiones. Ἰλ. β΄. 54. Νεστορέῃ παρὰ νηῒ Πυλοιγενέος βασιλῆος. et ι΄. 741. Ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου. ad quem versum ita commentatur, p. 601. τὸ Γοργείη κεφαλὴ δεινοῖο πελώρου, ὅμοιόν ἐστι τῷ Νεστορέῃ παρὰ νηῒ Πυλοιγενέος βασιλῆος. ὡς γὰρ ἐκεῖνο τῇ τοῦ κτητικοῦ ἀναλύσει εὐοδοῦται εἰς σύνταξιν, οὕτω καὶ τοῦτο. τὸ γὰρ Νεστορέῃ ἀναλυθὲν εἰς τὸ, τῇ τοῦ Νέστορος, εὖ ἔχει πρὸς τὸ εἰπεῖν, παρὰ τῇ Νέστορος βασιλῆος νηΐ. οὕτω δὲ καὶ τὸ, Γοργείη κεφαλὴ δεινοῖο πελώρου, λέγει κατ᾽ ἀνάλυσιν ὅτι ἡ κεφαλὴ τῆς Γοργοῦς, τοῦ δεινοῦ πελώρου. ὁμοίως καὶ τὸ (Antig. 1135.) Θηβαίας ἐπισκοποῦντ᾽ ἀγυιὰς, τὰν ἐκ πασᾶν τιμᾷς, μεταποιηθὲν ἀναλυτικῶς εὐοδοῦται εἰς τὸ, τὰς τῆς Θήβης ἀγυιὰς, ἣν ἐπέκεινα πασῶν πόλεων τιμᾷς. ἐκεῖνο μέν τοι καὶ ἄλλως καθίσταται. δύναται γὰρ εἶναι τὸ Θηβαίας, ἀντὶ τοῦ Θήβης, ἵνα ᾖ ὥσπερ σελήνη σεληναία, οὕτω καὶ Θήβη Θηβαία, αὐτὴ ἡ Θήβη. ὅμοιον δὲ πρὸς τὸ Γοργείη κεφαλὴ δεινοῖο πελώρου, καὶ ἐκ τῶν Σοφοκλέους τὸ, Λαβδακείῳ παιδὶ Πολυδώρου τε καὶ Κάδμου καὶ Ἀγήνορος· καὶ ἐκεῖ γὰρ εὔοδος ἡ σύνταξις δι᾽ ἀναλύσεως τοῦ Λαβδακείῳ παιδὶ, ἵνα ᾖ τῷ παιδὶ τοῦ Λαβδάκου, καὶ τῶν ἑξῆς.

καὶ ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς
μήτ' ἄροτον αὐτοῖς γῆν ἀνιέναι τινὰ,
μήτ' οὖν γυναικῶν παῖδας· ἀλλὰ τῷ πότμῳ
τῷ νῦν φθερεῖσθαι, κἄτι τοῦδ' ἐχθίονι.
ὑμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις, ὅσοις
τάδ' ἔς' ἀρέσκονθ', ἥ τε σύμμαχος Δίκη,
χ' οἱ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.
ΧΟ. Ὥσπερ μ' ἀραῖον ἔλαβες, ὧδ', ἄναξ, ἐρῶ.
οὔτ' ἔκτανον γὰρ, οὔτε τὸν κτανόντ' ἔχω
δεῖξαι. τὸ δὲ ζήτημα, τοῦ πέμψαντος ἦν

271. μήτ' οὖν γυναικῶν παῖδας. Est cui hic legendum esse videtur γυναῖκα vel γυναῖκας. Sed fallitur. θεοὺς cohæret cum εὔχομαι, non vero cum ἀνιέναι, Deos precor, a Diis peto, μήτε γῆν ἀνιέναι αὐτοῖς ἄροτόν τινα, μήτε γυναικῶν παῖδας. Verbum ἀνιέναι mulierum partubus seorsum applicari non posset, qui e terra non gignuntur. Sed nihil frequentius schemate, quo verbum uni rei proprium pluribus adhibetur. Extrinsecus aliud verbum ex analogia assumendum, quod fetu mulierum conveniat, αὔξειν, τρέφειν, siquidem terra παμβῶτις, κουροτρόφος appellatur. Homerus Odyss. γ'. 289. —λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦε Κύματά τε τροφόεντα. ad quem locum Eustathius, p. 1468. ἐν τῷ, ἀϋτμένα χεύας κύματά τε τροφόεντα, οὐ προσυπακουστέον ἀπὸ κοινοῦ τὸ χεύας καὶ ἐπὶ τῶν κυμάτων, ἀλλ' ἐξ ἀναλόγου νοητέον τὸ ἐγείρας, ἢ κορυφώσας. οὕτω καὶ ἐπὶ τοῦ, σῖτον καὶ οἶον ἔσθων, ἡ ἀκολουθία τὴν τοῦ πίνειν μετοχὴν ἔξωθεν τῷ οἴνῳ κομίζει, ὡς τοῦ ἔσθων τῷ σίτῳ προσαρμόζοντος· τοιούτου δὲ σχήματος καὶ τὸ, καπνὸν ἐλεύσσομεν καὶ φθογγήν. φθογγὴ γὰρ οὐ λεύσσεται πάντως, ἀλλ' ἐξακούεται. ὡς χρῆναι νοεῖν ἐντελῶς, ὅτι καπνὸν ἐλεύσσομεν καὶ φθογγὴν ἠκούομεν, εἰ καὶ σεσίγηται τὸ τῆς ἀκοῆς ἀφελῶς ἢ γοργῶς. Hujus idiotismi, cujus tamen exempla apud utriusque linguæ scriptores passim obvia, ignoratio vel doctis fraudi fuit. Cave credas quidpiam deesse in hac phrasi Æschinis contra Timarchum: μὴ γὰρ ὑπ' ἐμοῦ λεγόμενον, ἀλλὰ γιγνόμενον τὸ πρᾶγμα νομίσηθ' ὁρᾷν. Ad quem locum Reiskius, p. 161. *Post* λεγόμενον *videtur* ἀκούειν *deesse*. Nugatur: non magis ibi deest, quam in hoc Æschyli versu, Prom. 21. Ἵν' οὔτε φωνὴν, οὔτε του μορφὴν βροτῶν Ὄψει. Plura de hoc schemate dicemus ad El. 435.

276. ὥσπερ μ' ἀραῖον ἔλαβες. Eustathius, p. 1809. legit ὥσπερ μ' ἀραῖον εἷλες, exponitque ὥσπερ με εἷλες διὰ τῆς ἀρᾶς.

277. ἔχω. gl. δύναμαι.

278. τὸ δὲ ζήτημα. Nominativus solutus; non vero qui vice genitivi est, et Latinorum ablativo absoluto respondet; sed per *Quod attinet* explicandus. Vide Valckenarium ad Phœniss. p. 102. Aliter hic locus expediri etiam potest, sublata distinctione post ζήτημα, ut constructio sit: ἦν δὲ τοῦ πέμψαντος Φοίβου τόδε τὸ ζήτημα, εἰπεῖν, ὅστις εἴργασταί ποτε. Vel adhuc, transposita sequenti distinctione, ἦν δὲ τοῦ πέμψαντος Φοίβου τὸ ζήτημα, εἰπεῖν, ὅστις ποτε εἴργασται τόδε. Prima ratio omnium videtur optima.

Φοίβου τόδ' εἰπεῖν, ὅςις εἴργασαί ποτε.
ΟΙ. δίκαι' ἔλεξας. ἀλλ' ἀναγκάσαι θεοὺς
ἂν ᾽ν μὴ θέλωσιν οὐδ' ἂν εἷς δύναιτ' ἀνήρ.
ΧΟ. τὰ δεύτερ' ἐκ τῶνδ' ἂν λέγοιμ', ἅ μοι δοκεῖ.
ΟΙ. εἰ καὶ τρίτ' ἐςὶ, μὴ παρῇς τὸ μὴ οὐ φράσαι.
ΧΟ. ἄνακτ' ἄνακτι ταὔθ' ὁρῶντ' ἐπίςαμαι
μάλιςα Φοίβῳ Τειρεσίαν, παρ' οὗ τις ἂν
σκοπῶν τάδ', ὦ 'ναξ, ἐκμάθοι σαφέςατα.
ΟΙ. ἀλλ' οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ' ἐπραξάμην.
ἔπεμψα γὰρ, Κρέοντος εἰπόντος, διπλοῦς
πομπούς· πάλαι δὲ μὴ παρὼν θαυμάζεται.
ΧΟ. καὶ μὴν τά γ' ἄλλα κωφὰ καὶ παλαί' ἔπη.
ΟΙ. τὰ ποῖα ταῦτα; πάντα γὰρ σκοπῶ λόγον.
ΧΟ. θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.
ΟΙ. ἤκουσα κἀγώ· τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ.
ΧΟ. ἀλλ' εἴ τι μὲν δὴ δείματός γ' ἔχει μέρος,
τὰς σὰς ἀκούων οὐ μενεῖ τοιάσδ' ἀράς.
ΟΙ. ᾧ μή 'ςι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ.
ΧΟ. ἀλλ' οὐξελέγξων αὐτόν ἐςιν· οἵδε γὰρ
τὸν θεῖον ἤδη μάντιν ὧδ' ἄγουσιν, ᾧ
τἀληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ.
ΟΙ. ὦ πάντα νωμῶν, Τειρεσία, διδακτά τε,
ἄῤῥητά τ', οὐράνιά τε, καὶ χθονοςιβῆ,
πόλιν μὲν, εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ' ὅμως
οἵᾳ νόσῳ ξύνεςιν· ἧς σε προςάτην
σωτῆρά τ', ὦ 'ναξ, μοῦνον ἐξευρίσκομεν.

281. οὐδ' ἂν εἷς δύναιτ' ἀνήρ. Sic duo codd. recte, ut jam legendum esse monuerat Kœnius ad libellum de Dialectis, p. 23. Ceteri codd. ut impressi, solœce, οὐδὲ εἷς δύναιτ'—Initio versus male codd. et impressi ἂν: quæ frequens est in libris menda. Vide Marklandum ad Suppl. 364.

284. ταὔθ' ὁρῶντ'. Id est τὰ αὐτὰ, ut recte scriptum et expositum reperi in uno cod. Perperam vulgo ταῦθ'.

286. σκοπῶν. gl. ζητῶν, ἐρευνῶν. et 291. σκοπῶ, ἐξετάζω.

290. κωφά. gl. ἀνυπόστατα—παλαιά, σαθρά.

295. Glossa: τὰς σὰς ἀκούων τοιάσδε κατάρας οὐχ ὑπομενεῖ σιγῇ φυλάττων.

297. οὐξελέγξων. gl. ὁ φανερώσων αὐτόν. Aldus οὐξελέγχων, ut est in B. T. Ceteri futurum habent.

Φοῖβος γὰρ, εἰ καὶ μὴ ̓κλυες τῶνδ' ἀγγέλων,
πέμψασιν ἡμῖν ἀντέπεμψεν, ἔκλυσιν
μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος,
εἰ τοὺς κτανόντας Λάϊον, μαθόντες εὖ,
κτείναιμεν, ἢ γῆς φυγάδας ἐκπεμψαίμεθα.
σὺ δ' οὖν, φθονήσας μήτ' ἀπ' οἰωνῶν φάτιν,
μήτ' εἴ τιν' ἄλλην μαντικῆς ἔχεις ὁδὸν,
ῥῦσαι σεαυτὸν καὶ πόλιν, ῥῦσαι δ' ἐμὲ,
ῥῦσαι δὲ πᾶν μίασμα τοῦ τεθνηκότος.
ἐν σοὶ γάρ ἐσμεν· ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν
ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνων.

ΤΕΙΡΕΣΙΑΣ.

φεῦ, φεῦ· φρονεῖν ὡς δεινὸν, ἔνθα μὴ τέλη
λύει φρονοῦντι. ταῦτα γὰρ καλῶς ἐγὼ
εἰδὼς διώλεσ'· οὐ γὰρ ἂν δεῦρ' ἱκόμην.

ΟΙ. τί δ' ἔστιν; ὡς ἄθυμος εἰσελήλυθας.

ΤΕΙ. ἄφες μ' ἐς οἴκους· ῥᾷστα γὰρ τὸ σόν τε σὺ,
κἀγὼ διοίσω τοὐμὸν, ἢν ἐμοὶ πίθη.

ΟΙ. οὔτ' ἔννομ' εἶπας, οὔτε προσφιλὲς πόλει
τῇδ', ἥ σ' ἔθρεψε, τήνδ' ἀποστερῶν φάτιν.

ΤΕΙ. ὁρῶ γὰρ οὐδὲ σοὶ τὸ σὸν φώνημ' ἰὸν
πρὸς καιρόν· ὡς οὖν μηδ' ἐγὼ ταυτὸν πάθω.

ΧΟ. μὴ, πρὸς θεῶν, φρονῶν γ' ἀποστραφῇς, ἐπεὶ
πάντες σὲ προσκυνοῦμεν οἵδ' ἱκτήριοι.

305. *εἰ καὶ μὴ ̓κλυες.* Sic recte Valckenarius ad Phœniss. pag. 320. quod confirmat codd. glossa, *μὴ ἤκουσας*, tametsi in iis etiam scriptum *μὴ κλύεις*.

310. *σὺ δ' οὖν.* Sic Aldus et codd. omnes. Perperam Triclinius *οὖν* mutavit in *οὐ*, putans forte negationem cum *φθονήσας* requiri, quæ jam adest in geminato *μήτε*.

311. *μαντικῆς ὁδόν.* gl. *μέθοδον.* Frequens usus nominis *ὁδὸς* pro *modo, ratione.* Vide indicem nostrum in Aristophanem, Euripidem, Hec. 734. Phœn. 922. Hippol. 291. 394. Heracl. 237.

314. *ἐν σοί ἐσμεν, in te summus.* id est, *in te omnis posita est spes nostra.*

318. *διώλεσα.* gl. *ἐπελαθόμην.* recte. Ut *σώζειν* sæpe adhibetur pro *tenere memoria*, sic *διολλύειν* adhibetur pro *oblivisci*. Vide quæ notavi ad Eurip. Bacchas 782. et Hippol. 391. Nimis facete locum hunc vertit Johnsonus. *οὐ γὰρ ἂν δεῦρ' ἱκόμην, alioquin huc non venissem:* nempe *εἰ ἐσωζόμην αὐτά:*

ΤΕΙ. πάντες γὰρ οὐ φρονεῖτ᾽· ἐγὼ δ᾽ οὐ μή ποτε
τἄμ᾽ ἐξενείπω, μὴ τὰ σὰ ᾽κφήνω κακά.
ΟΙ. τί φῄς; ξυνειδὼς οὐ φράσεις, ἀλλ᾽ ἐννοεῖς
ἡμᾶς προδοῦναι, καὶ καταφθεῖραι πόλιν;
ΤΕΙ. ἐγὼ οὔτ᾽ ἐμαυτὸν, οὔτε σ᾽ ἀλγυνῶ. τί ταῦτ᾽
ἄλλως ἐλέγχεις; οὐ γὰρ ἂν πύθοιό μου.
ΟΙ. οὐκ, ὦ κακῶν κάκιστε, καὶ γὰρ ἂν πέτρου
φύσιν σύ γ᾽ ὀργάνειας, ἐξερεῖς ποτέ;

εἰ μὴ ἐπιλαθέμην. Qui popularem suum merito castigat Jo. Burton, eo non fuit perspicacior. Locus hic, si quis alius, sanus est.

328. ἐγὼ δ᾽ οὐ μή ποτε τἄμ᾽ ἐξενείπω. Sic ex indole linguæ legendum est. Vulgata lectione nihil mendosius: ἐγὼ δ᾽ οὐ μήποτε τἄμ᾽ ὡς ἂν εἴπω. Ex his apud omnes constat nullum sensum elici posse, in quibus nulla quidem est legitimæ constructionis forma. οὐ μὴ cum futuro indicativi vel aoristo 2 subjunctivi construitur. Perspicuus est sensus: οὐ μή ποτε εἴπω τἀμὰ, ἤγουν τὴν ἐμὴν μαντείαν, ὡς ἂν μὴ ἐκφανήσω, ἤγουν φανερὰ ποιήσω τὰ σὰ κακά. Sic recte glossa: unde non aliter scripsisse Tragicum liquet, ac edidimus, οὐ μή ποτε τἄμ᾽ ἐξενείπω. Bicompositi verbi, librariorum errore perquam solemni, exciderant præpositiones. ἐνίπω apud Tragicos frequens est, quo in verbo liquida geminari solet, metri lege plerumque id flagitante. Eustathius ad Odyss. p. 1381. τὸ δὲ ἔννεπε πλεονασμὸν ἔχει τοῦ ἑνὸς ν. καὶ δῆλον ἐξ ὧν πολλαχοῦ τὸ ἐνίπω δι᾽ ἑνὸς ν ἐκφέρεται, ἀπὸ τῆς ἐν προθέσεως καὶ τοῦ ἔπω, ἐξ οὗ καὶ τὸ ἔπος. Verbo ἐξενίπω usi sunt Pindarus Olymp. viii. 26. Apollonius i. 764. Dionysius Perieg. 556. Apud Eurip. Bacchis, 1255. occurrit aliud bicompositum ἐξυπεπειν haud magis apud Tragicos obvium quam ἐξενίπειν. utrumque legitimum est et extra omnem suspicionem. Admoveri huc potest Scholiastæ observatio ad alterius Œdipi v. 1648. Ἴδιον αὐτῷ τὸ πολλαῖς κεχρῆσθαι ταῖς προσθέσεσι.

332. ἐγὼ οὔτ᾽ ἐμαυτόν. Sic præter Athenæum, l. x. p. 453. unus e nostris codd. indubie, et alter a prima manu. Reliqui ἐγώ τ᾽ ἐμαυτὸν, cum glossa, ἀπὸ κοινοῦ τὸ οὐ. Passim occurrit ἐγὼ οὐ dissyllabum, ut Œd. Col. 939. Antig. 458. apud Comicum Lys. 284. 876. Ran. 33. Vesp. 416. Equit. 340. Cujusvis etiam vocis ω finale cum sequente οὐ in unam syllabam coalescit, ut in Lysistr. 1171. Οὐ τὰ σιὼ, οὐχὶ πάντα γ᾽, ὦ λυσσάνια. Similiter ω ει coalescunt, ut in Philoct. 585. ἐγώ εἰμ᾽ Ἀτρείδαις δυσμενής. et Vesp. 1224. Ἐγὼ εἴσομαι. καὶ δὴ γάρ εἰμ᾽ ἐγὼ Κλέων.

335. ὀργάνειας. gl. εἰς ὀργὴν κινήσειας. Sic libri omnes, adstipulante Eustathio ad Iliad. p. 792. ὀργῶ ὀργαίνω, οἷον, οὐ γὰρ ὀργαίνειν καλὸν, παρὰ Σοφοκλεῖ (Trach. 552.) παρ᾽ ᾧ καὶ τὸ, καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ᾽ ὀργάνειας. Hemsterhusio, viro summo, legendum videbatur ὀργάσειας, ab ὀργάζειν, *quamlibet materiam subigere, macerare, mollire.* Conjecturam protulit Rhunkenius ad Timæi lexicon, p. 129. elegantem quidem, nec tamen usquequaque certam. Similis hyperbole apud Plautum occurrit, Pænulo i. 2.

ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανεῖ;
ΤΕΙ. ὀργὴν ἐμέμψω τὴν ἐμήν· τὴν σὴν δ' ὁμοῦ
ναίουσαν οὐ κατεῖδες, ἀλλ' ἐμὲ ψέγεις.
ΟΙ. τίς γὰρ τοιαῦτ' ἂν οὐκ ἂν ὀργίζοιτ' ἔπη
κλύων, ἃ νῦν σὺ τήνδ' ἀτιμάζεις πόλιν;
ΤΕΙ. ἥξει γὰρ αὐτά, κἂν ἐγὼ σιγῇ στέγω.
ΟΙ. οὐκοῦν ἅ γ' ἥξει καὶ σὲ χρὴ λέγειν ἐμοί.
ΤΕΙ. οὐκ ἂν πέρα φράσαιμι. πρὸς τάδ', εἰ θέλεις,
θυμοῦ δι' ὀργῆς, ἥτις ἀγριωτάτη.
ΟΙ. καὶ μὴν παρήσω γ' οὐδέν, ὡς ὀργῆς ἔχω,
ἅπερ ξυνίημ'. ἴσθι γὰρ δοκῶν ἐμοὶ
καὶ ξυμφυτεῦσαι τοὔργον, εἰργάσθαι θ', ὅσον
μὴ χερσὶ καίνων· εἰ δ' ἐτύγχανες βλέπων,
καὶ τοὔργον ἂν σου τοῦτ' ἔφην εἶναι μόνου.
ΤΕΙ. ἄληθες; ἐννέπω σε τῷ κηρύγματι,

77.* Nam illa mulier lapidem silicem subigere, ut se amet, potest.

336. ἄτεγκτος. gl. σκληρὸς, ἀμείλικτος.. ἀτελεύτητος, ἄπρακτος, ἀκαμπής. Eustathius, p. 441. ἀτελεύτητος παρὰ Σοφοκλεῖ, καὶ τὸν μὴ τελευτὴν ἐπάγοντα τοῖς ζητουμένοις δηλοῖ ἐν τῷ, ἄτεγκτος κἀτελεύτητος ΦΑΝΕΙ. Et sic quidem apud eum legitur φανεῖ, non φανῇ. Qua occasione monebo Atticam terminationem secundæ personæ passivæ et mediæ formæ me ubique in futuris reposuisse; nec forte doctiorum reprehensionem effugero, quod idem in reliquis temporibus non fecerim, ut in Aristophane. Quod ad futura attinet, haud pauca supersunt in impressis nostris libris hujus Atticismi vestigia, librariorum inconstantia, quibus cordi fuisse videtur nulli parcere. Infra, 1295. εἰσόψει. El. 381. πρόσόψει. Trach. 199. ὄψει. Eurip. Androm. 708. φθερεῖ. Bacchis, 782. σώσει. et alia permulta. In Aj. 195. D. præsens στηρίζει exhibet. In Eurip. Iphig. T. 483. λυπεῖ scriptum olim fuisse pro λυπῇ Marklandus evicit. Vide Valckenarium ad Phœniss. p. 216.

337. τὴν σὴν δ' ὁμοῦ ναίουσαν. Argutatur Eustathius ad Iliad. p. 755. ambiguum hic statuens esse sensum, quo aliud Tiresias innuit ac dicere videtur. δοκεῖ μὲν λέγειν ὁ Τειρεσίας, ὅτι τὴν σὴν ὀργὴν οὐ κατεῖδες, τὴν σύμφυτόν σοι. ἀληθῶς δὲ λέγει, ὅτι τὴν σὴν ἄλοχον οὐκ οἶδας, ἤγουν τὴν μητέρα σου, ᾗ συμβιοῖς. ὅπερ ὀκνήσας ἐκφῆναι, εἶπε τὸ ὁμοῦ ναίουσαν, ὃ ταυτόν ἐστι τῷ ὁμευνέτιν.

341. ἥξει. gl. παραγενήσεται, φανήσεται.

345. ὡς ὀργῆς ἔχω. gl. ὡς διάκειμαι ἕνεκα ὀργῆς. alia: ὡς δυνατός εἰμι ὀργίζεσθαι. Neutraliter adhiberi ἔχω cum genitivo ostendi ad Comici Lysistr. 173.

350. ἄληθες; gl. εἰρωνικόν. Vide quæ notavimus ad Comici Ran. 840.

ᾧπερ προεῖπας, ἐμμένειν, κἀφ' ἡμέρας
τῆς νῦν προσαυδᾶν μήτε τούσδε, μήτ' ἐμὲ,
ὡς ὄντι γῆς τῆσδ' ἀνοσίῳ μιάστορι.

ΟΙ. οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα; καί που τοῦτο φεύξεσθαι δοκεῖς;

ΤΕΙ. πέφευγα· τἀληθὲς γὰρ ἰσχύον τρέφω.

ΟΙ. πρὸς τοῦ διδαχθείς; οὐ γὰρ ἔκ γε τῆς τέχνης.

ΤΕΙ. πρὸς σοῦ. σὺ γάρ μ' ἄκοντα προὐτρέψω λέγειν.

ΟΙ. ποῖον λόγον; λέγ' αὖθις, ὡς μᾶλλον μάθω.

ΤΕΙ. οὐχὶ ξυνῆκας πρόσθεν; ἢ 'κπειρᾷ λόγων;

ΟΙ. οὐχ ὥστε γ' εἰπεῖν γνωστόν· ἀλλ' αὖθις φράσον.

ΤΕΙ. φονέα σε φημὶ τἀνδρὸς, οὗ ζητεῖς κυρεῖν.

ΟΙ. ἀλλ' οὔ τι χαίρων δίς γε πημονὰς ἐρεῖς.

ΤΕΙ. εἴπω τί δῆτα κἄλλ', ἵν' ὀργίζῃ πλέον;

ΟΙ. ὅσον γε χρῄζεις· ὡς μάτην εἰρήσεται.

ΤΕΙ. λεληθέναι σε φημὶ σὺν τοῖς φιλτάτοις

351. ᾧπερ προεῖπας. Sic omnino legendum. Supra, 223. ὑμῖν προφωνῶ. Mendose in libris προσεῖπας, frequenti librariorum errore in verbis cum πρὸ et πρὸς compositis. Sic in Eurip. Hippol. 499. προσῆγον pro προῆγον male scriptum fuit: in Comici Concion. 31. προσιόντων pro προϊόντων.

355. καί που. Sic scribendum. Encliticum hic est που, non adverbium loci *quo*, ut male vertit Johnson.

358. προὐτρέψω. gl. παρεκίνησας.

360. ἢ 'κπειρᾷ λόγων; Aldus et codd. ἢ 'κπειρᾷ λέγειν; Glossa in aliis, δοκιμάζεις καὶ ἐνοχλεῖς. In D. εἰς πεῖραν λόγων προτρέπῃ. In hoc cod. legisse videtur λέγων nescio quis olim, qui margini adscripsit, *an* λέγειν; Corruptam esse lectionem constat, unde nullus exoritur sensus. Heathius conjecit ἢ 'κπειρῶν λέγεις, vel ἢ 'κπειρᾷς λέγων. Neutrum mihi placet: nec fere magis, quod dedi, etsi illis probabilius sit: *aut sermonemne meum tentas?* id est, *experirisne an iterum eadem tibi sim dicturus?* Nullus dubito, quin Sophocles scripserit plano et perspicuo sensu: Οὐχὶ ξυνῆκας; πρὸς τί μ' ἐκπειρᾷ πάλιν;

361. οὐχ ὥστε γ' εἰπεῖν γνωστόν. Ad priorem partem interrogationis respondet Œdipus, οὐχὶ ξυνῆκας; scilicet ξυνῆκα μὲν, ἀλλ' οὐχ οὕτως, ὥστε εἰπεῖν ἐγνωσμένον, ὅπερ ξυνῆκα. Ineptissime vertit Johnson.

362. οὗ refertur ad φονέα, licet proxime præcedat τἀνδρός. Qua ex vocum structura suboritur aliquid ambiguitatis. Mallem fere legi: φονέα σε φημὶ τοῦτον, οὗ ζητεῖς κυρεῖν. Sic infra, 449. τὸν ἄνδρα τοῦτον, ὃν πάλαι ζητεῖς.

363. πημονάς. gl. λοιδορίας.

365. ὡς μάτην. gl. ἐπεὶ ἀκαίρως.

366. σὺν τοῖς φιλτάτοις. Plurali

αἴσχισθ' ὁμιλοῦντ', οὐδ' ὁρᾷν ἵν' εἶ κακοῦ.
OI. ἦ καὶ γεγηθὼς ταῦτ' ἀεὶ λέξειν δοκεῖς;
TEI. εἴπερ τί γ' ἐςὶ τῆς ἀληθείας σθένος.
OI. ἀλλ' ἔςι, πλήν σοι. σοὶ δὲ τοῦτ' οὐκ ἔς', ἐπεὶ
τυφλὸς τά τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ.
TEI. σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἃ σοὶ
οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα.
OI. μιᾶς τρέφῃ πρὸς νυκτὸς, ὥςε μήτ' ἐμὲ,
μήτ' ἄλλον, ὅςις φῶς ὁρᾷ, βλάψαι ποτ' ἄν.
TEI. οὐ γάρ σε μοῖρα πρός γ' ἐμοῦ πεσεῖν, ἐπεὶ
ἱκανὸς Ἀπόλλων, ᾧ τάδ' ἐκπρᾶξαι μέλει.
OI. Κρέοντος, ἢ σοῦ ταῦτα τἀξευρήματα;
TEI. Κρέων γε σοὶ πῆμ' οὐδέν· ἀλλ' αὐτὸς σὺ σοί.
OI. ὦ πλοῦτε, καὶ τυραννὶ, καὶ τέχνη τέχνης

numero unam matrem innuit. Sic infra, 1184. Œdipus ait: ξὺν οἷς τ' οὐ χρῆν μ' ὁμιλῶν, οὕς τ' ἐμ' οὐκ ἔδει κτανών: quorum hoc ad solum patrem, superius ad solam matrem refertur. Est hoc schema Tragicis valde usitatum, de quo videndus Gatakerus opp. tom. i. p. 351.

374. *μιᾶς τρέφῃ πρὸς νυκτός*. id est, *μία σε νὺξ τρέφει*. gl. *διόλου ἐν τῷ σκότει διατρίβεις*, qui verus est horum verborum sensus. Nemo ignorat quantum frequentet Sophocles verbum *τρέφειν* sensu *τοῦ ἔχειν*, qua de re videndi Casaubonus ad Athen. p. 549. et Valckenarius ad Hippol. 364. Quæ sequuntur, eorum vera est expositio in scholiis priore loco proposita; altera nauci non est. Male Aldus *βλέψαι*, errore typothetæ, ut videtur: nam hoc in nullo cod. reperi, ne quidem in T. qui *βλάψαι* recte habet. Planum, ut opinor, et facilem sensum reddidi; unde ad id quod Œdipus dixit, nemo jam non intelligit, quid Tiresias respondere debuerit. Sequentium versuum absurda sententia est, tam in Græcis, uti vulgo leguntur, quam in Johnsoni versione. Nempe Tiresias plane contrarium dicit illius, quod dicere debuit: *οὐ γάρ με μοῖρα πρός γε σοῦ πεσεῖν*. Immo *οὐ γάρ σε μοῖρα πρός γ' ἐμοῦ πεσεῖν*. In istis *γὰρ* refertur ad suppressam sententiæ partem, facile supplendam: *οὐδ' ἄν σε βλάψαιμ'· οὐ γάρ μοῖρά ἐςι σὲ πρὸς ἐμοῦ πεσεῖν.* Facile, imperitis describentibus librariis, pronomina commutari potuerunt. *τάδ' ἐκπρᾶξαι*. gl. *τάδε τιμωρῆσαι*. Quid vero? *Scelus, cujus auctorem investigas, quodque te ipsum patrasse ignoras.* Obscure loquitur Tiresias, ita ut quod is cogitet, non statim assequi possit Œdipus: sed nobis, qui legimus, perspicua est sententia modo ulcus lectionis sanetur. Jam olim vitium inolevit, quod ne subodorati quidem sunt veteres critici: recentiores autem interpretes prorsus cæcutierunt.

ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται,
εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις
δωρητὸν, οὐκ αἰτητὸν, εἰσεχείρισε,
ταύτης Κρέων ὁ πιστὸς, οὐξ ἀρχῆς φίλος,
λάθρα μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,
ὑφεὶς μάγον τοιόνδε μηχανοῤῥάφον,
δόλιον, ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσι
μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
ἐπεὶ, φέρ' εἰπὲ, ποῦ σὺ μάντις εἶ σαφής;
πῶς οὐχ', ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων,
ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;
καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοῦ 'πιόντος ἦν
ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει·
ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προὐφάνης ἔχων,
οὔτ' ἐκ θεῶν του γνωτόν· ἀλλ' ἐγὼ μολὼν,
ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν,
γνώμῃ κυρήσας, οὐδ' ἀπ' οἰωνῶν μαθών·
ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
παραστατήσειν τοῖς Κρεοντείοις πέλας.
κλαίων δοκεῖς μοι καὶ σὺ, χὠ ξυνθεὶς τάδε,
ἀγηλατήσειν· εἰ δὲ μὴ 'δόκεις γέρων

386. τὸ ΥΠΕΛΘΩΝ ἀπὸ μεταφορᾶς τῶν παλαιόντων λέγεται, ὅταν τοὺς ἀντιπάλους ὑπέρχωνται λαθόντες, ἵνα εὐχειρώτους οὕτω ποιήσαντες καταστρέψωσι.

390. ἐπεὶ, *alioqui, si secus est.* gl. εἰ δὲ μὴ, ἄγε εἰπέ.

391. ῥαψῳδὸς κύων. Dirissima quæque monstra *canes* appellant Græci poëtæ. Eurip. Herc. fur. 1275. Τήν τ' ἀμφίκρανον καὶ παλιμβλαστῆ κύνα Ὕδραν φονεύσας. Harpyias Apollonius ii. 289. appellat μεγάλοιο Διὸς κύνας. Erinnyes in Electra, 1387. μετάδρομοι κακῶν πανουργημάτων ἄφυκτοι κύνες.

402. ἀγηλατήσειν. gl. ἐμὲ δηλονότι, ὃν λέγεις φονέα εἶναι. Plerisque in codd. ut in Aldina edit. tenui spiritu notatur. At melius asperatur. Eustathius ad Odyss. λ'. p. 1704. τὸ ἁγηλατεῖν παρὰ Σοφοκλεῖ. ἐκεῖνο μέντοι καὶ δασύνεται παρὰ τὸ ἄγος. Sequentibus haud leniora audit Tiresias a Pentheo apud Eurip. in Bacchis, 254. Εἰ μή σε γῆρας πολιὸν ἐξερύετο, Κάθησ' ἂν ἐν Βάκχαισι δέσμιος μέσαις Τελετὰς πονηρὰς εἰσάγων.

εἶναι, παθὼν ἔγνως ἂν οἷά περ φρονεῖς.
ΧΟ. ἡμῖν μὲν εἰκάζουσι καὶ τὰ τοῦδ' ἔπη
ὀργῇ λελέχθαι καὶ τὰ σ', Οἰδίπου, δοκεῖ.
δεῖ δ' οὐ τοιούτων, ἀλλ' ὅπως τὰ τοῦ θεοῦ
μαντεῖ' ἄριστα λύσομεν, τόδε σκοπεῖν.
ΤΕΙ. εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
ἴσ' ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ.
οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ·
ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι.
λέγω δ', ἐπειδὴ καὶ τυφλόν μ' ὠνείδισας,
σὺ, καὶ δεδορκὼς, οὐ βλέπεις ἵν' εἶ κακοῦ,
οὐδ' ἔνθα ναίεις, οὐδ' ὅτων οἰκεῖς μέτα.
ἆρ' οἶσθ' ἀφ' ὧν εἶ; καὶ λέληθας ἐχθρὸς ὢν
τοῖς σοῖσιν αὐτοῦ νέρθε, κἀπὶ γῆς ἄνω.
καί σ' ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς
ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρὰ,
βλέποντα νῦν μὲν ὀρθ', ἔπειτα δὲ σκότον.
βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμήν;
ποῖος Κιθαιρὼν οὐχὶ σύμφωνος τάχα,
ὅταν καταίσθῃ τὸν ὑμέναιον, ὃν δόμοις
ἄνορμον εἰσέπλευσας, εὐπλοίας τυχών;
ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνῃ κακῶν,
ὅσ' ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.
πρὸς ταῦτα καὶ Κρέοντα καὶ τοὐμὸν στόμα

411. Vide P. Victorii Var. Lect. vii. 22.

413. σὺ, καὶ δεδορκὼς, οὐ βλέπεις ἵν' εἶ κακοῦ. Vulgo σὺ κ. δέδορκας κοὐ βλέπεις. In uno cod. reperi σὺ καὶ δεδορκὼς κοὐ βλέπεις. Unde lectionem concinnavi quam dedi, altera, ni fallor, meliorem. Sic in Aj. 85. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.

418. δεινόπους. gl. φοβερὰ τῇ ἐπιδημίαν.

425. ὅσ' ἐξισώσει. Sic recte Marklandus ad Suppl. 594. Vulgo ἅ σ' ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις. Intelligerem quidem ἅ σ' ἐξισώσει τοῖς σοῖς τέκνοις. Verum ἅ σ' ἐξισώσει σοι absurdum mihi videtur. ἐξισώσει hic neutrum est, ut παρισώσῃ apud Comicum in Vespis, 565.

426. τοὐμὸν στόμα. gl. τοὺς ἐμοὺς λόγους. στόμα apud Tragicos sæpissime *sermonem* significat. Sic infra, 671. τὸ σὸν ἐποικτείρω στόμα ἐλεεινόν. id est, τοὺς σοὺς λόγους ἐλέους ἀξίους.

προπηλάκιζε. σοῦ γὰρ οὐκ ἔςι βροτῶν
κάκιον ὅςις ἐκτριϐήσεταί ποτε.
ΟΙ. ἦ ταῦτα δῆτ' ἀνεκτὰ πρὸς τούτου κλύειν;
οὐκ εἰς ὄλεθρον; οὐχὶ θᾶσσον; οὐ πάλιν
ἄψορρος οἴκων τῶνδ' ἀποςραφεὶς ἄπει;
ΤΕΙ. οὐδ' ἱκόμην ἔγωγ' ἄν, εἰ σὺ μὴ 'κάλεις.
ΟΙ. οὐ γάρ τι σ' ᾔδη μῶρα φωνήσοντ', ἐπεὶ
σχολῇ σ' ἂν οἴκους τοὺς ἐμοὺς ἐςειλάμην.
ΤΕΙ. ἡμεῖς τοιοίδ' ἔφυμεν, ὡς μέν σοι δοκεῖ,
μῶροι· γονεῦσι δ', οἵ σ' ἔφυσαν, ἔμφρονες.
ΟΙ. ποίοισι; μεῖνον. τίς δ' ἔμ' ἐκφύει βροτῶν;
ΤΕΙ. ἥδ' ἡμέρα φύσει σε, καὶ διαφθερεῖ.
ΟΙ. ὡς πάντ' ἄγαν αἰνικτὰ κἀσαφῆ λέγεις.
ΤΕΙ. οὔκουν σὺ ταῦτ' ἄριςος εὑρίσκειν ἔφυς;
ΟΙ. τοιαῦτ' ὀνείδιζ', οἷς ἔμ' εὑρήσεις μέγαν.
ΤΕΙ. αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν.
ΟΙ. ἀλλ' εἰ πόλιν τήνδ' ἐξέσωσ', οὔ μοι μέλει.
ΤΕΙ. ἄπειμι τοίνυν· καὶ σὺ παῖ κόμιζ' ἐμέ.
ΟΙ. κομιζέτω δῆθ'· ὡς παρὼν τά γ' ἐμποδὼν

433. ᾔδη. Sic E. a prima manu. Reliqui codd. et Aldus contra Atticorum morem, ᾔδειν. Vide doctos viros, quos laudavimus ad Comici Nub. 329. Attica hæc forma sæpe a librariis, sæpius ab editoribus obliterata fuit. In Œd. Col. 944. ubi Aldus ad codd. fidem ediderat ᾔδη, Turnebus reposuit ᾔδειν. In Trach. 988. Aldus edidit ἐξῄδης, quod Turnebus etiam mutavit in ἐξῄδεις. Nos genuinam formam constanter retinemus.

434. ἐςειλάμην. gl. μετεςειλάμην. Simplex pro composito. ςέλλειν et ςέλλεσθαι hoc sensu frequentat Sophocles. Vide infra, 860. Œd. Col. 298. Antig. 165. Phil. 60. 495.

436. ἔμφρονες. gl. φρόνιμοι. Sic codd. omnes veteres et Aldus. Triclinius inepte scripsit εὔφρονες, quod Turnebus prætulit, et ex ejus editione in subsequentes permanavit.

438. φύσει σε. gl. δείξει σε, ὅθεν ἐγεννήθης.

439. ἄγαν αἰνικτά. Sic Aldus et codd. omnes ante Triclinium, qui γε inseruit imperite. Ultima in ἄγαν longa est. Vide quæ notavimus ad Comici Nubes 199. et 1120.

442. τύχη. gl. αὕτη ἡ εὐδαιμόνησις.

445. τά γ' ἐμποδὼν ὀχλεῖς. Minus bene Aldus et Turnebus cum plerisque codd. σύ γ' ἐμποδών. In E. superscripta nostra lectio: γρ. τάγ'. et hoc unicum B. in textu exhibet. τὰ ἐμποδὼν, τὰ ἐν ποσὶ, τὰ προκείμενα, ut recte explicat Thomas M. excitato versu ex Eurip. Phœniss. 718. Ἃ δ'

ὀχλεῖς, συθείς τ' ἂν, οὐκ ἂν ἀλγύναις πλέον.
ΤΕΙ. εἰπὼν ἄπειμ', ὧν οὕνεκ' ἦλθον, οὐ τὸ σὸν
δείσας πρόσωπον. οὐ γάρ ἐσθ' ὅπου μ' ὀλεῖς.
λέγω δέ σοι τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
ζητεῖς ἀπειλῶν, κἀνακηρύσσων φόνον
τὸν Λαΐειον, οὗτός ἐστιν ἐνθάδε,
ξένος λόγῳ μέτοικος, εἶτα δ' ἐγγενὴς
φανήσεται Θηβαῖος· οὐδ' ἡσθήσεται
τῇ ξυμφορᾷ. τυφλὸς γὰρ ἐκ δεδορκότος,
καὶ πτωχὸς ἀντὶ πλουσίου, ξένην ἔπι,
σκήπτρῳ προδεικνὺς, γαῖαν ἐμπορεύσεται.
φανήσεται δὲ παισὶ τοῖς αὑτοῦ ξυνὼν
ἀδελφὸς αὐτὸς καὶ πατὴρ, κἀξ ἧς ἔφυ
γυναικὸς, υἱὸς καὶ πόσις, καὶ τοῦ πατρὸς
ὁμόσπορός τε καὶ φονεύς. καὶ ταῦτ', ἰὼν
ἔσω, λογίζου· κἂν λάβῃς μ' ἐψευσμένον,
φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν.

## ΧΟΡΟΣ.

Τίς, ὅντιν' ἁ θεσπιέπεια — στροφὴ α'.
Δελφὶς εἶπε πέτρα
ἄῤῥητ' ἀῤῥήτων τελέσαντα
φοινίαισι χερσίν;
ὥρα νιν * ἀελλάδων ἵππων

* ἀελλοπόδων edd. 1, 2.

ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων. ὀχλεῖς. gl. ταράττεις. συθεὶς, πορευθείς.

448. πρόσωπον. gl. ἀξίωμα.—οὐ γάρ ἐσθ' ὅπου, ut Aj. 1069. ad quem locum vide scholia minora. Sic codd. omnes, nec ulla est ratio cur mutetur ὅπου in ὅπως.

456. σκήπτρῳ προδεικνύς. Intellige τῇ βακτηρίᾳ προδεικνὺς ἑαυτῷ τὴν ὁδόν. Ineptissime hæc verba interpretatur Scholiastes—ἐμπορεύσεται. gl. ἀντὶ τοῦ πορεύσεται. Compositum hoc pro simplici frequentat Sophocles. Vide El. 405. Fr. Inc. liv. Inde ἔμπορος *viator*, Œd. Col. 25. 303. et ξυνέμπορος Trach. 318. ἔμπορος occurrit etiam hoc sensu apud Eurip. Alcest. 1020.

457. ξυνών. gl. συνυπάρχων. ὢν ἅμα ἀδελφὸς καὶ πατήρ.

460. ὁμόσπορος. gl. ὁμόγαμος.

465. ἄῤῥητ' ἀῤῥήτων, *maxime infanda:* ut in El. 849. δειλαία δειλαίων *miserrima:* et alicubi ἔσχατ' ἐσχάτων κακὰ, *mala plusquam maxima.*

467. ὥρα νιν ἀελλάδων ἵππων. Sic omnino scribendus hic versus, ut cum

σθεναρώτερον φυγᾷ πόδα νωμᾶν.
ἔνοπλος γὰρ ἐπ' αὐτὸν ἐπενθρώσκει
πυρὶ καὶ στεροπαῖς ὁ Διὸς γενέτας·
δειναὶ δ' ἅμ' ἕπονται
Κῆρες ἀπλάκητοι.
ἔλαμψε γὰρ τοῦ νιφόεντος — ἀντιστρ. α'.
ἀρτίως φανεῖσα
φάμα Παρνασοῦ, τὸν ἄδηλον
ἄνδρα πάντ' ἰχνεύειν.
φοιτᾷ γὰρ * ὑπ' ἀγρίαν ὕλαν,
ἀνά τ' ἄντρα καὶ πέτρας, ὡς ταῦρος,
μέλεος μελέῳ ποδὶ χηρεύων,
τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων
μαντεῖα· τὰ δ' αἰεὶ
ζῶντα περιποτᾶται.
δεινὰ μὲν οὖν δεινὰ ταράσσει — στροφὴ β'.
σοφὸς οἰωνοθέτας,
οὔτε δοκοῦντ', οὔτ' ἀποφάσκονθ'·
ὅ τι λέξω δ' ἀπορῶ.
πέτομαι δ' ἐλπίσιν,
οὔτ' ἐνθάδ' ὁρῶν, οὔτ' ὀπίσω.
τί γὰρ ἢ Λαβδακίδαις, ἢ τῷ
Πολύβου νεῖκος ἔκειτ',
οὔτε πάροιθέν ποτ' ἔγωγ'

* ὑπαί τ' ἀγρίαν edd. 1. 2.

antistrophico congruat, φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν. Quod vulgo legitur ἀελλοπόδων ἵππων metrica ratio vitiosum esse arguit. Vera lectio, quam reponimus, Hesychii auctoritate nititur, cujus glossam in Lexico nostro Sophocleo vide. Interpretem Hesychii nihil moror, qui metrorum vel imperitus, vel incuriosus, quid illorum lex requireret, haud observavit. In antistrophico versu codd. omnes, ut Aldus, habent ὑπ' ἀγρίαν solus Triclinii recensionem exhibens, ὑπαὶ ἀγρίαν. cum glossa: ὑπαὶ, διὰ τὸ μέτρον. Quod Turnebus dedit, nescio unde, ὑπὲρ ἀγρίαν, ipse sibi habeat. (a)

472. ἀπλάκητοι. Codd. veteres omnes, ut Aldus, ἀναμπλάκητοι. Triclinius et Scholiastes ἀναπλάκητοι. Ad metri rationem legendum omnino ἀπλάκητοι, quæ vox exstat Trach. 120.

οὔτε τανῦν πω ἔμαθον, πρὸς ὅτου
χρησάμενος δὴ βασάνῳ,
ἐπὶ τὰν ἐπίδαμον
φάτιν εἶμ' Οἰδιπόδα,
Λαβδακίδαις ἐπίκουρος
ἀδήλων θανάτων.
ἀλλ' ὁ μὲν οὖν Ζεὺς, ὅ τ' Ἀπόλλων ἀντιστρ. β'.
ξυνετοὶ, καὶ τὰ βροτῶν
εἰδότες· ἀνδρῶν δ' ὅτι μάντις
πλέον ἢ 'γὼ φέρεται,
κρίσις οὐκ ἔστιν ἀ-
ληθής· σοφίᾳ δ' ἂν σοφίαν
παραμείψειεν ἀνήρ· ἀλλ' οὔ-
ποτ' ἔγωγ' ἂν, πρὶν ἴδοιμ'
ὀρθὸν ἔπος, μεμφομένων
ἂν καταφαίην. φανερὰ γὰρ ἐπ' αὐ-
τῷ πτερόεσσ' ἦλθε κόρα
ποτὲ, καὶ σοφὸς ὤφθη,
βασάνῳ θ' ἡδύπολις.
τῷ ἀπ' ἐμᾶς φρενὸς οὔποτ'
ὀφλήσει κακίαν.

**ΚΡ.** Ἄνδρες πολῖται, δείν' ἔπη πεπυσμένος
κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν,
πάρειμ' ἀτλητῶν. εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
ταῖς νῦν νομίζει πρός γ' ἐμοῦ πεπονθέναι

492. Aldus et codd. omnes veteres, ἔμαθον πρὸς ὅτου δὴ βασάνῳ, omissa voce, quæ ad versus integritatem requiritur. Eam in veteribus scholiis deprehendere mihi visus sum. Versus Χρησάμενος δὴ βασάνῳ examussim antistrophico congruit, Τῷ πτερόεσσ' ἦλθε κόρα. Eurip. Ion. 361. Ποίῳ τόδ' ἔγνω χρωμένη τεκμηρίῳ; Verbum rei aptissimum est, quod e textu in commentarium migrasse opinor. In fine præc. v. male Aldus cum plerisque codd. ἔγωγε. Recte scriptum elisa ultima vocali ἔγωγ' in C.

506. μεμφομένων ἂν καταφαίην. id est οὐκ ἂν καταφαίην τῶν μεμφομένων τὸν μάντιν. *Non contradicerem illis, qui vatem incusarint, flocci fecerint.* Hesych. καταφάναι, κατειπεῖν.

516. Aldus et codd. plerique πρός τ' ἐμοῦ, quod glossatoribus et Triclinio valet πρός τι ἐμοῦ. id est, εἰ νομίζει

λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον,
οὔ τοι βίου μοι τοῦ μακραίωνος πόθος,
φέροντι τήνδε βάξιν. οὐ γὰρ εἰς ἁπλοῦν
ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει,
ἀλλ' ἐς μέγιστον, εἰ κακὸς μὲν ἐν πόλει,
κακὸς δὲ πρὸς σοῦ καὶ φίλων κεκλήσομαι.
ΧΟ. ἀλλ' ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ' ἂν
ὀργῇ βιασθὲν μᾶλλον, ἢ γνώμῃ φρενῶν.
ΚΡ. πρὸς τοῦ δ' ἐφάνθη, ταῖς ἐμαῖς γνώμαις ὅτι
πεισθεὶς ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγει;
ΧΟ. ηὐδᾶτο μὲν τάδ'· οἶδα δ' οὐ γνώμῃ τίνι.
ΚΡ. ἐξ ὀμμάτων ὀρθῶν δὲ κἀξ ὀρθῆς φρενὸς
κατηγορεῖτο τοὐπίκλημα τοῦτ' ἐμοῦ;
ΧΟ. οὐκ οἶδ'· ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες, οὐχ ὁρῶ.
αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ.
ΟΙ. οὗτος σὺ, πῶς δεῦρ' ἦλθες; ἢ τοσόνδ' ἔχεις
τόλμης πρόσωπον, ὥστε τὰς ἐμὰς στέγας
ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς,
λῃστής τ' ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
φέρ' εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
ἰδών τιν' ἐν ἐμοὶ, ταῦτ' ἐβουλεύσω ποιεῖν;
ἢ τοὔργον ὡς οὐ γνωρίσοιμί σου τόδε
δόλῳ προσέρπον, κοὐκ ἀλεξοίμην μαθών;
ἆρ' οὐχὶ μωρόν ἐστι τοὐγχείρημά σου,

πεπονθέναι τι πρὸς ἐμοῦ. Sed præterquam quod indefinitum τι non sic collocari solet, nunquam, nisi me memoria fallit, eliditur. In T. scriptum a prima manu πρός γ' ἐμοῦ, ut Turnebus edidit, quod verum est. Locutionem φέρειν εἴς τι illustrat Marklandus ad Suppl. 295. Gl. φέρει. ἀφορᾷ, ἔρχεται.

533. τοσόνδ' ἔχεις τόλμης πρόσωπον. ἤγουν ὧδε θρασὺς καὶ ἀναιδὴς εἶ.

534. τοῦδε τἀνδρός. id est ἐμοῦ. Sæpe ἀνὴρ ὅδε nihil aliud valet quam *ego* δεικτικῶς, ut apud Latinos Comicos *hic homo*. Sic in Trach. 305. Deianira se ipsam indicat his verbis, τῆσδέ γε ζώσης ἔτι, *me adhuc vivente*.

538. ἢ ὡς οὐ γνωρίσοιμι. Ista non amplius ad verbum ἰδὼν referri possunt, sed aliud ea analogia assumendum est, ὑπολαβὼν, ἐλπίζων.

539. κοὐκ ἀλεξοίμην μαθών. ἤγουν καὶ, εἰ μάθοιμι, οὐ δυνηθείην ἀποσοβῆσαι, ἀμύνεσθαι.

ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα
θηρᾶν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;
ΚΡ. οἶσθ' ὡς ποίησον; ἀντὶ τῶν εἰρημένων
ἴσ' ἀντάκουσον, κᾆτα κρῖν' αὐτὸς μαθών.
ΟΙ. λέγειν σὺ δεινός· μανθάνειν δ' ἐγὼ κακὸς
σοῦ. δυσμενῆ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοί.
ΚΡ. τοῦτ' αὐτὸ νῦν μου πρῶτ', ἄκουσον ὡς ἐρῶ.
ΟΙ. τοῦτ' αὐτὸ μή μοι φράζ', ὅπως οὐκ εἶ κακός.
ΚΡ. εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς.
ΟΙ. εἴ τοι νομίζεις ἄνδρα συγγενῆ κακῶς
δρῶν, οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.
ΚΡ. ξύμφημί σοι ταῦτ' ἔνδικ' εἰρῆσθαι· τὸ δὲ
πάθημ', ὁποῖον φῂς παθεῖν, δίδασκ' ἐμέ.
ΟΙ. ἔπειθες, ἢ οὐκ ἔπειθες, ὡς χρείη μ' ἐπὶ
τὸν σεμνόμαντιν ἄνδρα πέμψασθαί τινα;
ΚΡ. καὶ νῦν ἔθ' ὡὐτός εἰμι τῷ βουλεύματι.
ΟΙ. πόσον τίν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον---
ΚΡ. δέδρακε ποῖον ἔργον; οὐ γὰρ ἐννοῶ.
ΟΙ. ἄφαντος ἔρρει θανασίμῳ χειρώματι;

543. οἶσθ' ὡς ποίησον. Perperam Aldus et codd. ποιήσων. Jamdudum ποίησον scribendum monuit Canterus Nov. Lect. viii. 5. ubi aliam emendationem superioris versus 533. proponit, merito explosam. Atticis Poëtis familiaris hæc formula. Vide Eurip. Hec. 225. Helen. 323. 1253. Heracl. 452. Ion. 1039. maxime vero Kœnium ad Corinthum de Dial. Att. §. 2. quem si adiisset nuperus metaphrastes Gallicus, didicisset formulam istam οἶσθ' ὡς ποίησον inepte reddi his verbis, *fac sicut noveris*: sed accipiendam pro ποίησον, οἶσθ' ὡς, *fac, scin' quomodo?*

555. ὡς χρείη. Aldus ὡς χρεία. Cod. August. ὡς χρή. Reliqui omnes ὡς χρεῖ' ἦ, quæ omnes scripturæ perinde mendosæ sunt. Vide Dawesii Miscell. Crit. p. 332. et quæ notavimus ad Comici Lysistr. 113.

557. ἔθ' ὡὐτός εἰμι. Codd. et Aldus ἔτ' αὐτός. gl. ὁ αὐτός. Bene quidem ad sensum: sed αὐτὸς absque articulo non valet *idem*, quod falso contendit Abreschius Diluc. Thucyd. p. 737. ὁ αὐτὸς Attice scribitur ὡὐτὸς, ut ὁ ἀνὴρ ὡνήρ. et sic emendate codd. et Aldus exhibent in Phil. 521. Τότ' οὐκ ἔθ' ὡὐτὸς τοῖς λόγοις τούτοις φανῇς. Vide Valckenarium ad Phœniss. p. 340.

ΚΡ. μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.
ΟΙ. τότ' οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;
ΚΡ. σοφός γ' ὁμοίως, κἀξ ἴσου τιμώμενος.
ΟΙ. ἐμνήσατ' οὖν ἐμοῦ τι τῷ τότ' ἐν χρόνῳ;
ΚΡ. οὔκουν· ἐμοῦ γ' ἑστῶτος οὐδαμοῦ πέλας.
ΟΙ. ἀλλ' οὐκ ἔρευναν τοῦ θανόντος ἔσχετε;
ΚΡ. παρέσχομεν. πῶς δ' οὐχί; κοὐκ ἠκούσαμεν.
ΟΙ. πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;
ΚΡ. οὐκ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ, σιγᾷν φιλῶ.
ΟΙ. τὸ σὸν δέ γ' οἶσθα, καὶ λέγοις ἂν εὖ φρονῶν.
ΚΡ. ποῖον τόδ'; εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι.
ΟΙ. ὁθ' οὕνεκ', εἰ μή σοι ξυνῆλθε, τὰς ἐμὰς
οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.
ΚΡ. εἰ μὲν λέγει τάδ', αὐτὸς οἶσθ'· ἐγὼ δέ σου
μαθεῖν δικαιῶ ταὔθ', ἅπερ κἀμοῦ σὺ νῦν.
ΟΙ. ἐκμάνθαν'· οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.
ΚΡ. τί δῆτ'; ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;
ΟΙ. ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς.
ΚΡ. ἄρχεις δ' ἐκείνῃ ταὐτὰ, γῆς ἴσον νέμων;
ΟΙ. ἃ ἂν ᾖ θέλουσα, πάντ' ἐμοῦ κομίζεται.
ΚΡ. οὔκουν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος;
ΟΙ. ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνῃ φίλος.
ΚΡ. οὐκ, εἰ διδοίης γ', ὡς ἐγὼ, σαυτῷ λόγον.
σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς
ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον, ἢ
ἄτρεστον εὕδοντ', εἰ τά γ' αὔθ' ἕξει κράτη.

561. μακροὶ παλαιοί τ'. gl. ἐπὶ πολὺ διήκοντες καὶ πάλαι ἀρξάμενοι.

566. ἔρευναν ἴσχετε. gl. ζήτησιν ἐποιήσατε.

570. τὸ σὸν δέ γ'. Si recte in membr. ut Turnebus edidit. At Aldus et quidam codd. τοσόνδε γ', cum glossa τοσοῦτον.

574. εἰ μὲν λέγει τάδ' ὁ μάντις, αὐτὸς σὺ οἶδας. Seq. v. ταὔθ', id est κατὰ τὰ αὐτά. Vulgo male rursus exhibetur ταῦθ', ut supra, 284.

583. εἰ διδοίης σαυτῷ λόγον, ἤγουν σκέψιν καὶ διαγνωστικὴν κρίσιν, ὡς ἐγὼ, δηλονότι ἐμαυτῷ δίδωμι. ἤγουν σκέψαι, ὡς ἐγὼ σκέπτομαι. Sic bene in scholiis a Triclinio concinnatis exponitur hic versus, quem Johnsonus verterat pessime. Euripides Med. 871. Ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην. (b)

ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἱμείρων ἔφυν
τύραννος εἶναι μᾶλλον, ἢ τύραννα δρᾷν,
οὔτ' ἄλλος ὅςις σωφρονεῖν ἐπίςαται.
νῦν μὲν γὰρ ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω·
εἰ δ' αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων.
πῶς δῆτ' ἐμοὶ τυραννὶς ἡδίων ἔχειν
ἀρχῆς ἀλύπου καὶ δυναςείας ἔφυ;
οὔπω τοσοῦτον ἠπατημένος κυρῶ,
ὥς' ἄλλα χρῄζειν, ἢ τὰ σὺν κέρδει καλά.
νῦν πᾶσι χαίρω, νῦν με πᾶς ἀσπάζεται·
νῦν οἱ σέθεν χρῄζοντες ἐκκαλοῦσί με.
τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι.
πῶς δῆτ' ἐγὼ κεῖν' ἂν λάβοιμ', ἀφεὶς τάδε;
οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.
ἀλλ' οὔτ' ἐραςὴς τῆσδε τῆς γνώμης ἔφυν,

587. Haud dissimili argumento Hippolytus apud Euripidem patri crimen purgat, cujus a noverca falso insimulatus fuerat: Ἀλλ' ὡς τυραννεῖν ἡδὺ τοῖσι σώφροσιν. Ἥκιςά γ', εἰ μὴ τὰς φρένας διέφθορε Θνητῶν, ὅσοισιν ἀνδάνει, μοναρχία. Ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς Πρῶτος θέλοιμ' ἂν· ἐν πόλει δὲ δεύτερος Ξὺν τοῖς ἀρίςοις εὐτυχεῖν ἀεὶ φίλοις. Πράσσειν γὰρ εὖ πάρεςι. κίνδυνος δ' ἀπὼν Κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.

588. τύραννα δρᾷν. gl. βασιλικὰ ποιεῖν, καὶ μὴ βασιλεὺς εἶναι, ὥσπερ αὐτὸς ἔχω νῦν. Primitivum pro possessivo, ut alicubi dixit Noster, σὺ γὰρ γέροντα βουλεύσεις. Hæc etiam nimis absurde vertit Johnsonus. Vide P. Victorii Var. Lect. vi. 4.

598. τὸ γὰρ τυχεῖν ἅπαντα, ἐςὶν αὐτοῖς ἐνταῦθα, ἤγουν ἐν ἐμοί. *omnia quæ cupiunt ut consequantur, in me positum esse intelligunt.* τυγχάνω cum quarto casu construitur. Vide quæ notavimus ad Eurip. Med. 759. Exempla passim obvia.

601. ἐραςὴς τῆσδε τῆς γνώμης. Sic libri omnes. Eruditos Britannos nuper incessit libido litem huic lectioni obmovere, postquam iis in mentem venit, a Creontis sententia et scopo alienum esse dicere, se hujus consilii ἐραςὴν non esse, quum negare debuisset se illius esse πλάςην vel ῥάπτην. Verum quod ad sensum, perinde est. Nam qui dicit se nullo alicujus rei amore teneri, is certe significat, se nihil inceptare, quo rem illam consequatur. Tum phrasis elegantior est, inque primis Sophoclea. Frequentat enim Noster verbum ἐρᾷν, nomen ἔρως, *pro cupere, optare, cujusvis rei cupiditate.* Vide Œd. Col. 436. 512. Aj. 967. Phil. 651. 660. Temerariæ sunt istæ conjecturæ. Voces τῆσδε τῆς γνώμης, quas glossa exponit τούτου τοῦ λογισμοῦ, non spectant crimen Creonti objectum communicati cum Tiresia consilii conferendæ in Œdipum noxæ cædis Laïi; sed regnandi

οὔτ' ἂν μετ' ἄλλου δρῶντος ἂν τλαίην ποτέ.
καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν, Πυθώδ' ἰὼν
πεύθου, τὰ χρησθέντ' εἰ σαφῶς ἤγγειλά σοι·
τοῦτ' ἄλλ', ἐάν με τῷ τερασκόπῳ λάβῃς
κοινῇ τι βουλεύσαντα, μή μ' ἁπλῇ κτάνῃς
ψήφῳ, διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ, λαβών.
γνώμῃ δ' ἀδήλῳ μή με χωρὶς αἰτιῶ.
οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν, οὔτε τοὺς χρηστοὺς, κακούς.
φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν, ἴσον λέγω,
καὶ τὸν παρ' αὑτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
ἀλλ' ἐν χρόνῳ γνώσει τάδ' ἀσφαλῶς· ἐπεὶ
χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος·
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.

ΧΟ. καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν,
ἄναξ. φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς.

ΟΙ. ὅταν ταχύς τις οὑπιβουλεύων λάθρα
χωρῇ, ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν.
εἰ δ' ἡσυχάζων προσμενῶ, τὰ τοῦδε μὲν
πεπραγμέν' ἔσται, τἀμὰ δ' ἡμαρτημένα.

ΚΡ. τί δῆτα χρῄζεις; ἦ με γῆς ἔξω βαλεῖν;

ΟΙ. ἥκιστα. θνήσκειν, οὐ φυγεῖν σε βούλομαι.

ΚΡ. ὅταν προδείξῃς, οἷόν ἐστι τὸ φθονεῖν,

ambitionem. Infra, v. 664. ubi Chorus ait, φρόνησιν εἰ τάνδ' ἔχω, eodem sensu dicere posset, ταύτης τῆς γνώμης εἰ ἐραστὴς ἔφυν. Hic autem Creon dicere poterat, ἀλλ' οὔτι τήνδε τὴν φρόνησιν ἔχω. Eodem redeunt diversæ illæ loquutiones.

605. Impressi: ταῦτ' ἀλλ' ἐάν με—In hac scriptura ταῦτ' ad τὰ χρησθέντα refertur. In membr. scriptum τοῦτ' ἀλλ' ἐάν με—gl. συνδεσμὸς ἀντὶ συνδεσμοῦ. In C. τοῦτ' ἀλλ'—cum eadem glossa. In D. ταῦτ' ἀλλ'—gl. ταῦτα δέ. συνδεσμὸς ἀντὶ συνδεσμοῦ. Ex his quod verum est me selegisse opinor. Ad τοῦτο μὲν, quod præcessit, refertur τοῦτο ἄλλο. Sic in Antig. 167. post τοῦτο μὲν sequitur τοῦτ' αὖθις. In Philoct. 1346. nude εἶτα.

608. χωρίς. gl. μακρὰν ὄντα αἰτίας. Alia, μάτην.

609. μάτην. gl. ἀνεξετάστως.

624. οἷόν ἐστι τὸ φθονεῖν. Optime non exponit glossa in B. οἷός ἐστιν ὁ ἐμὸς πρὸς σὲ φθόνος. *quum primum ostende-*

ΟΙ. ὡς οὐχ ὑπείξων οὐδὲ πισεύσων λέγεις;
ΚΡ. οὐ γὰρ φρονοῦντά σ' εὖ βλέπω.
ΟΙ. τὸ γοῦν ἐμόν.
ΚΡ. ἀλλ' ἐξ ἴσου δεῖ κἀμόν.
ΟΙ. ἀλλ' ἔφυς κακός.
ΚΡ. εἰ δὲ ξυνιεῖς μηδέν;
ΟΙ. ἀρκτέον γ' ὅμως.
ΚΡ. οὔ τοι κακῶς γ' ἄρχοντος . . . .
ΟΙ. ὦ πόλις, πόλις.
ΚΡ. κἀμοὶ πόλεως μέτεσι τῆσδ', οὐ σοὶ μόνῳ.
ΧΟ. παύσασθ' ἄνακτες· καιρίαν δ' ὑμῖν ὁρῶ

*ris, quæ mea sit erga te invidia.* Sic vertere debebam.

626. τὸ γοῦν ἐμόν. Glossa supplet, συμφέρον εὖ φρονῶ. 'Αλλὰ καὶ τὸ ἐμὸν συμφέρον ἐξίσου δεῖ φρονεῖν σε.

628. ξυνιεῖς. In quatuor codd. ut in Aldina edit. ξυνίεις, tono perperam notato. ἰεῖς secunda est præsentis: ἴεις imperfecti. Antiqua forma est ἱέω, ut τιθέω, a librariis sæpe obliterata. In D. T. scriptum ξυνίης forma vulgari, ut Turnebus edidit. Legitur apud Homerum, 'Ιλ. κ'. 121. Πολλάκι γὰρ μεθιεῖ τε καὶ οὐκ ἐθέλει πονέεσθαι. ζ'. 523. 'Αλλὰ ἑκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις—Librarii cujusdam levitas intrusit μεθίης in Odyss. δ'. 372. ubi ad superiorum normam scribendum: 'Ηὲ ἑκὼν μεθιεῖς, καὶ τέρπεαι ἄλγεα πάσχων. Iliad. ι'. 880. 'Αλλ' ἀνιεῖς, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον. In omnibus istis locis tonus etiam perperam notatus. Áccurata scriptura est in Hesychii glossa: συνιεῖ, νοεῖ. At duo tempora confundit in glossa, μεθίει, ἀμελεῖ, ἀφῆκεν. a ξυνιέω præsens est imperativi ξυνίει Homero frequentatum. Formam agnoscit auctor Etymol. M. p. 612. l. 7. συνιῶ οὖν. καὶ ὁ παρατατικὸς, συνίουν. ὁ δὲ δεύτερος ἀόριστος, σύνιον καὶ ξύνιον. Pertinet observatio ad Homeri versum Il. α'. 273. Καὶ μέν μευ βουλέων ξύνιον, πείθοντό τε μύθῳ. El. 596. ἢ πᾶσαν ἱεῖς γλῶσσαν. Ibi tres codd. et Aldus ἵεις: relinqui ἵης. 1347. οὐχὶ ξυνιεῖς. Quatuor codd. et Aldus ξυνίεις. Eadem varietas aliis in locis deprehenditur: nos ubicunque rectam scribendi normam sequimur. Ridicule Eustathius cum alibi, tum p. 1500. l. 52. ἵεις, μεθίεις, τίθεις de tempore præsenti dici ait κατὰ ἐναλλαγὴν χρόνου. In Æschyli versu quem citat Scholiastes ad Œd. C. 791. codex T. sinceram scripturam exhibet ἐγκαθιεῖ, ut demum excudi curavimus.

629. Creontis sermonem abrumpit Œdipus: sententiam ille absoluturus erat, ὑπεικτέον, vel simile quid.

630. In tribus codd. μέτεστι τῆσδ'· οὐχὶ σοὶ—In T. emendate Κἀμοὶ πόλεως μέτεστιν, οὐχὶ σοὶ μόνῳ. Hanc lectionem in margine edit. Turnebi jam notatam Aldinæ præferri debuisse agnosco. Longe melius meo judicio πόλεως absolute, quam πόλεως τῆσδε.

631. ὑμῖν. Sic Aldus et codd. veteres. Turnebus e Triclinio ἡμῖν.

τήνδ' ἐκ δόμων στείχουσαν Ἰοκάστην, μεθ' ἧς
τὸ νῦν παρεστὼς νεῖκος εὖ θέσθαι χρεών.

## ΙΟΚΑΣΤΗ.

τί τὴν ἄβουλον, ὦ ταλαίπωροι, στάσιν
γλώσσης ἐπήρατ', οὐδ' ἐπαισχύνεσθε, γῆς
οὕτω νοσούσης, ἴδια κινοῦντες κακά;
οὐκ εἶ σύ τ' οἴκους, σύ τε, Κρέων, κατὰ στέγας,
καὶ μὴ τὸ μηδὲν ἄλγος εἰς μέγ' οἴσετε;
ΚΡ. ὅμαιμε, δεινά μ' Οἰδίπους ὁ σὸς πόσις
δρᾶσαι δικαιοῖ, δυοῖν ἀποκρίνας κακοῖν,
ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.
ΟΙ. ξύμφημι· δρῶντα γάρ νιν, ὦ γύναι, κακῶς
εἴληφα τοὐμὸν σῶμα σὺν τέχνῃ κακῇ.
ΚΡ. μή νῦν ὀναίμην, ἀλλ' ἀραῖος, εἴ σέ τι
δέδρακ', ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.
ΙΟ. ὦ πρὸς θεῶν πίστευσον, Οἰδίπους, τάδε,
μάλιστα μὲν τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν,
ἔπειτα κἀμὲ, τούσδε θ', οἳ πάρεισί σοι.
ΧΟ. πιθοῦ θελήσας φρονήσας τ', στροφὴ α'.
ἄναξ, λίσσομαι.
ΟΙ. τί σοι θέλεις δῆτ' εἰκάθω;
ΧΟ. τὸν οὔτε πρὶν νήπιον,
νῦν τ' ἐν ὅρκῳ μέγαν,

637. εἶ. gl. πορεύσῃ. Aldinam lectionem hujus versus, quam exhibuimus, confirmant codd. optimi et vetustissimi.

640. δυοῖν ἀποκρίνας κακοῖν. Utrum e duobus malis rex elegerit, non dicit Creon: sed boni ominis, ut videtur, gratia, obscure significat, quod supra Œdipus aperte dixit: θνήσκειν, οὐ φυγεῖν σε βούλομαι. Absolutus est sermo, nec quidquam extrinsecus supplendum. Ceterum observanda rara synalœphe in δυοῖν, quod hic monosyllabum est.

643. τοὐμὸν σῶμα, id est με. Eurip. Alcest. 647. Οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατήρ. id est ἐμὸς πατήρ. Ad quem locum alia citantur ex Heracl. exempla.

653. ἐν ὅρκῳ μέγαν. Magna erat apud veteres jurisjurandi religio, quique ea se obstrinxisset, nefas erat illi fidem negare. Apud Euripidem Hippolyto, qui Deos innocentiæ suæ te-

καταίδεσαι.
ΟΙ. οἶσθ' οὖν ἃ χρῄζεις;
ΧΟ. οἶδα.
ΟΙ. φράζε δὴ τί φῄς.
ΧΟ. τὸν ἐναγῆ φίλον μή ποτ' ἐν αἰτίᾳ
σὺν ἀφανεῖ λόγῳ ἄτιμον βαλεῖν.
ΟΙ. εὖ νῦν ἐπίστω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ
ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.
ΧΟ. οὐ τὸν πάντων θεῶν στροφὴ β'.
θεὸν πρόμον Ἅλιον·
ἐπεὶ ἄθεος, ἄφιλος,
ὅ τι πύματον ὀλοίμαν,
φρόνησιν εἰ τάνδ' ἔχω.
ἀλλά μοι δυσμόρῳ
γᾶ φθίνουσα τρύχει ψυ-
χὰν, καὶ τάδ' εἰ κακοῖς
κακὰ προσάψει τοῖς πάλαι τὰ πρὸς σφῷν.
ΟΙ. ὅδ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
ἢ γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ.

stes advocaverat, Chorus ait v. 1047. Ἀρκοῦσαν εἶπας αἰτίας ἀποστροφὴν, Ὅρκους παρασχὼν, πίστιν οὐ σμικρὰν, θεῶν. Qui juranti non adhibebat fidem, is vel deorum numen nullum esse credere videbatur. Hinc argute meretrix apud Alciphronem, p. 144. οὐ λέγομεν θεοὺς οὐκ εἶναι, ἀλλὰ πιστεύομεν ὀμνύουσι τοῖς ἐρασταῖς ὅτι φιλοῦσιν ἡμᾶς.

656. τὸν ἐναγῆ. gl. ἐνταῦθα τὸν καθαρόν φησιν. Alia, ἐναγὴς, ὁ θαυμαστός. —σὺν ἀφανεῖ λόγῳ. gl. σὺν ἀνεξετάστῳ ὑπολήψει. Importune insertam a Triclinio particulam γε nullus agnoscit veterum codd. βαλεῖν. Aldus et veteres codd. ἐκβαλεῖν, quod compositum retinent etiam in expositione hujus loci vulgata scholia. At Suidas, qui ea descripsit in ἐναγὴς, simplex habet βαλεῖν, quod metri ratio verum esse arguit. Legisse videtur antiquus interpres λόγων ἄτιμον ἐκβαλεῖν, quod minime procedit. Constructio est, ἐμβαλεῖν αἰτίᾳ σὺν ἀφανεῖ λόγῳ ἄτιμον.

660. οὐ τὸν—pro οὐ μὰ τὸν—Sæpissime μὰ sic supprimitur, ut infra, 1088. Antig. 758. El. 1063. Eurip. Ion. 888, Ἀλλ' οὐ, τὸ Διὸς πολύαστρον ἕδος, Οὐκ ἔτι κρύψω λέχος.

661. Vox θεὸν in Aldina et veteribus aliquot codd. perperam omissa est. Agnoscunt eam alii præter T.

668. κακὰ προσάψει. Sic Aldus et codd. omnes veteres. Glossæ: συναφθήσεται. συνελεύσεται. Inepte Triclinius προσψαύσει. Digestus est autem hic versus in membr. ut eum exhibui: trimeter est iambicus catal. Nihil hîc vidit metrorum scrutator Heathius.

σθεναρώτερον φυγᾷ πόδα νωμᾶν.
ἔνοπλος γὰρ ἐπ᾽ αὐτὸν ἐπενθρώσκει
πυρὶ καὶ στεροπαῖς ὁ Διὸς γενέτας·
δειναὶ δ᾽ ἅμ᾽ ἕπονται
Κῆρες ἀπλάκητοι.
ἔλαμψε γὰρ τοῦ νιφόεντος ἀντιστρ. α΄.
ἀρτίως φανεῖσα
φάμα Παρνασοῦ, τὸν ἄδηλον
ἄνδρα πάντ᾽ ἰχνεύειν.
φοιτᾷ γὰρ * ὑπ᾽ ἀγρίαν ὕλαν,
ἀνά τ᾽ ἄντρα καὶ πέτρας, ὡς ταῦρος,
μέλεος μελέῳ ποδὶ χηρεύων,
τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων
μαντεῖα· τὰ δ᾽ αἰεὶ
ζῶντα περιποτᾶται.
δεινὰ μὲν οὖν δεινὰ ταράσσει στροφὴ β΄.
σοφὸς οἰωνοθέτας,
οὔτε δοκοῦντ᾽, οὔτ᾽ ἀποφάσκονθ᾽·
ὅ τι λέξω δ᾽ ἀπορῶ.
πέτομαι δ᾽ ἐλπίσιν,
οὔτ᾽ ἐνθάδ᾽ ὁρῶν, οὔτ᾽ ὀπίσω.
τί γὰρ ἢ Λαβδακίδαις, ἢ τῷ
Πολύβου νεῖκος ἔκειτ᾽,
οὔτε πάροιθέν ποτ᾽ ἔγωγ᾽

* ὑπαί τ᾽ ἀγρίαν edd. 1. 2.

antistrophico congruat, φοιτᾷ γὰρ ὑπ᾽ ἀγρίαν ὕλαν. Quod vulgo legitur ἀιλλοπέδων ἵππων metrica ratio vitiosum esse arguit. Vera lectio, quam reponimus, Hesychii auctoritate nititur, cujus glossam in Lexico nostro Sophocleo vide. Interpretem Hesychii nihil moror, qui metrorum vel imperitus, vel incuriosus, quid illorum lex requireret, haud observavit. In antistrophico versu codd. omnes, ut Aldus, habent ὑπ᾽ ἀγρίαν solus Triclinii recensionem exhibens, ὑπαὶ ἀγρίαν. cum glossa: ὑπαὶ, διὰ τὸ μέτρον. Quod Turnebus dedit, nescio unde, ὑπὲρ ἀγρίαν, ipse sibi habeat. (a)

472. ἀπλάκητοι. Codd. veteres omnes, ut Aldus, ἀναμπλάκητοι. Triclinius et Scholiastes ἀναπλάκητοι. Ad metri rationem legendum omnino ἀπλάκητοι, quæ vox exstat Trach. 120.

οὔτε τανῦν πω εμαθον, πρὸς ὅτου
χρησάμενος δὴ βασάνῳ,
ἐπὶ τὰν ἐπίδαμον
φάτιν εἶμ' Οἰδιπόδα,
Λαβδακίδαις ἐπίκουρος
ἀδήλων θανάτων.
ἀλλ' ὁ μὲν οὖν Ζεὺς, ὅ τ' Ἀπόλλων ἀντιστρ. β΄.
ξυνετοὶ, καὶ τὰ βροτῶν
εἰδότες· ἀνδρῶν δ' ὅτι μάντις
πλέον ἢ 'γὼ φέρεται,
κρίσις οὐκ ἔστιν ἀ-
ληθής· σοφίᾳ δ' ἂν σοφίαν
παραμείψειεν ἀνήρ· ἀλλ' οὔ
ποτ' ἔγωγ' ἂν, πρὶν ἴδοιμ'
ὀρθὸν ἔπος, μεμφομένων
ἂν καταφαίην. φανερὰ γὰρ ἐπ' αὐ-
τῷ πτερόεσσ' ἦλθε κόρα
ποτὲ, καὶ σοφὸς ὤφθη,
βασάνῳ θ' ἡδύπολις.
τῷ ἀπ' ἐμᾶς φρενὸς οὔποτ'
ὀφλήσει κακίαν.

**ΚΡ.** Ἄνδρες πολῖται, δείν' ἔπη πεπυσμένος
κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν,
πάρειμ' ἀτλητῶν. εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
ταῖς νῦν νομίζει πρός γ' ἐμοῦ πεπονθέναι

492. Aldus et codd. omnes veteres, ἔμαθον πρὸς ὅτου δὴ βασάνῳ, omissa voce, quæ ad versus integritatem requiritur. Eam in veteribus scholiis deprehendere mihi visus sum. Versus Χρησάμενος δὴ βασάνῳ examussim antistrophico congruit, Τῷ πτερόεσσ' ἦλθε κόρα. Eurip. Ion. 361. Ποίῳ τοῦτ' ἔγνω χρωμένη τεκμηρίῳ; Verbum rei aptissimum est, quod e textu in commentarium migrasse opinor. In fine præc. v. male Aldus cum plerisque codd. ἔγωγε. Recte scriptum elisa ultima vocali ἔγωγ' in C.

506. μεμφομένων ἂν καταφαίην. id est οὐκ ἂν καταφαίην τῶν μεμφομένων τὸν μάντιν. *Non contradicerem illis, qui vatem incusarint, flocci fecerint.* Hesych. καταφάναι, κατειπεῖν.

516. Aldus et codd. plerique πρός τ' ἐμοῦ, quod glossatoribus et Triclinio valet πρός τι ἐμοῦ. id est, εἰ νομίζει

λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον,
οὔ τοι βίου μοι τοῦ μακραίωνος πόθος,
φέροντι τήνδε βάξιν. οὐ γὰρ εἰς ἁπλοῦν
ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει,
ἀλλ' ἐς μέγιστον, εἰ κακὸς μὲν ἐν πόλει,
κακὸς δὲ πρὸς σοῦ καὶ φίλων κεκλήσομαι.

**ΧΟ.** ἀλλ' ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ' ἂν
ὀργῇ βιασθὲν μᾶλλον, ἢ γνώμῃ φρενῶν.

**ΚΡ.** πρὸς τοῦ δ' ἐφάνθη, ταῖς ἐμαῖς γνώμαις ὅτι
πεισθεὶς ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγει;

**ΧΟ.** ηὐδᾶτο μὲν τάδ'· οἶδα δ' οὐ γνώμῃ τίνι.

**ΚΡ.** ἐξ ὀμμάτων ὀρθῶν δὲ κἀξ ὀρθῆς φρενὸς,
κατηγορεῖτο τοὐπίκλημα τοῦτ' ἐμοῦ;

**ΧΟ.** οὐκ οἶδ'· ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες, οὐχ ὁρῶ.
αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ.

**ΟΙ.** οὗτος σὺ, πῶς δεῦρ' ἦλθες; ἢ τοσόνδ' ἔχεις
τόλμης πρόσωπον, ὥστε τὰς ἐμὰς στέγας
ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς,
λῃστής τ' ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
φέρ' εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
ἰδών τιν' ἐν ἐμοὶ, ταῦτ' ἐβουλεύσω ποιεῖν;
ἢ τοὔργον ὡς οὐ γνωρίσοιμί σου τόδε
δόλῳ προσέρπον, κοὐκ ἀλεξοίμην μαθών;
ἆρ' οὐχὶ μῶρόν ἐστι τοὐγχείρημά σου,

πεπονθέναι τι πρὸς ἐμοῦ. Sed præterquam quod indefinitum τι non sic collocari solet, nunquam, nisi me memoria fallit, eliditur. In T. scriptum a prima manu πρός γ' ἐμοῦ, ut Turnebus edidit, quod verum est. Locutionem φέρειν εἴς τι illustrat Marklandus ad Suppl. 295. Gl. φέρει. ἀφορᾷ, ἔρχεται.

533. τοσόνδ' ἔχεις τόλμης πρόσωπον. ἤγουν ὧδε θρασὺς καὶ ἀναιδὴς εἶ.

534. τοῦδε τἀνδρός. id est ἐμοῦ. Sæpe ἀνὴρ ὅδε nihil aliud valet quam *ego* δεικτικῶς, ut apud Latinos Comicos *hic homo*. Sic in Trach. 305. Deianira se ipsam indicat his verbis, τῆσδέ γε ζώσης ἔτι, *me adhuc vivente*.

538. ἢ ὡς οὐ γνωρίσοιμι. Ista non amplius ad verbum ἰδὼν referri possunt, sed aliud ea analogia assumendum est, ὑπολαβὼν, ἐλπίζων.

539. κοὐκ ἀλεξοίμην μαθών. ἤγουν καὶ, εἰ μάθοιμι, οὐ δυνηθείην ἀποσοβῆσαι, ἀμύνεσθαι.

ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα
θηρᾷν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;
**ΚΡ.** οἶσθ' ὡς ποίησον; ἀντὶ τῶν εἰρημένων
ἴσ' ἀντάκουσον, κᾆτα κρῖν' αὐτὸς μαθών.
**ΟΙ.** λέγειν σὺ δεινός· μανθάνειν δ' ἐγὼ κακὸς
σοῦ. δυσμενῆ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοί.
**ΚΡ.** τοῦτ' αὐτὸ νῦν μου πρῶτ', ἄκουσον ὡς ἐρῶ.
**ΟΙ.** τοῦτ' αὐτὸ μή μοι φράζ', ὅπως οὐκ εἶ κακός.
**ΚΡ.** εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
εἶναί τι τοῦ νοῦ χωρὶς, οὐκ ὀρθῶς φρονεῖς.
**ΟΙ.** εἴ τοι νομίζεις ἄνδρα συγγενῆ κακῶς
δρῶν, οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.
**ΚΡ.** ξύμφημί σοι ταῦτ' ἔνδικ' εἰρῆσθαι· τὸ δὲ
πάθημ', ὁποῖον φῂς παθεῖν, δίδασκ' ἐμέ.
**ΟΙ.** ἔπειθες, ἢ οὐκ ἔπειθες, ὡς χρείη μ' ἐπὶ
τὸν σεμνόμαντιν ἄνδρα πέμψασθαί τινα;
**ΚΡ.** καὶ νῦν ἔθ' ὡὐτός εἰμι τῷ βουλεύματι.
**ΟΙ.** πόσον τίν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον—
**ΚΡ.** δέδρακε ποῖον ἔργον; οὐ γὰρ ἐννοῶ.
**ΟΙ.** ἄφαντος ἔρρει θανασίμῳ χειρώματι;

543. οἶσθ' ὡς ποίησον. Perperam Aldus et codd. ποιήσων. Jamdudum ποίησον scribendum monuit Canterus Nov. Lect. viii. 5. ubi aliam emendationem superioris versus 533. proponit, merito explosam. Atticis Poëtis familiaris hæc formula. Vide Eurip. Hec. 225. Helen. 323. 1253. Heracl. 452. Ion. 1039. maxime vero Kœnium ad Corinthum de Dial. Att. §. 2. quem si adiisset nuperus metaphrastes Gallicus, didicisset formulam istam οἶσθ' ὡς ποίησον inepte reddi his verbis, *fac sicut noveris:* sed accipiendam pro ποίησον, οἶσθ' ὡς, *fac, scin' quomodo?*

555. ὡς χρείη. Aldus ὡς χρεία. Cod. August. ὡς χρή. Reliqui omnes ὡς χρεῖ' ἦ, quæ omnes scripturæ perinde mendosæ sunt. Vide Dawesii Miscell. Crit. p. 332. et quæ notavimus ad Comici Lysistr. 113.

557. ἔθ' ὡὐτός εἰμι. Codd. et Aldus ἔτ' αὐτός. gl. ὁ αὐτός. Bene quidem ad sensum: sed αὐτὸς absque articulo non valet *idem*, quod falso contendit Abreschius Diluc. Thucyd. p. 737. ὁ αὐτὸς Attice scribitur ὡὐτὸς, ut ὁ ἀνὴρ ὡνήρ. et sic emendate codd. et Aldus exhibent in Phil. 521. Τότ' οὐκ ἔθ' ὡὐτὸς τοῖς λόγοις τούτοις φανῇς. Vide Valckenarium ad Phœniss. p. 340.

ΚΡ. μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.
ΟΙ. τότ' οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;
ΚΡ. σοφός γ' ὁμοίως, κἀξ ἴσου τιμώμενος.
ΟΙ. ἐμνήσατ' οὖν ἐμοῦ τι τῷ τότ' ἐν χρόνῳ;
ΚΡ. οὔκουν· ἐμοῦ γ' ἑστῶτος οὐδαμοῦ πέλας.
ΟΙ. ἀλλ' οὐκ ἔρευναν τοῦ θανόντος ἔσχετε;
ΚΡ. παρέσχομεν. πῶς δ' οὐχί; κοὐκ ἠκούσαμεν.
ΟΙ. πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;
ΚΡ. οὐκ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ, σιγᾶν φιλῶ.
ΟΙ. τὸ σὸν δέ γ' οἶσθα, καὶ λέγοις ἂν εὖ φρονῶν.
ΚΡ. ποῖον τόδ'; εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι.
ΟΙ. ὅθ' οὕνεκ', εἰ μή σοι ξυνῆλθε, τὰς ἐμὰς
οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.
ΚΡ. εἰ μὲν λέγει τάδ', αὐτὸς οἶσθ'· ἐγὼ δέ σου
μαθεῖν δικαιῶ ταῦθ', ἅπερ κἀμοῦ σὺ νῦν.
ΟΙ. ἐκμάνθαν'· οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.
ΚΡ. τί δῆτ'; ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;
ΟΙ. ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς.
ΚΡ. ἄρχεις δ' ἐκείνῃ ταὐτὰ, γῆς ἴσον νέμων;
ΟΙ. ἃ ἂν ᾖ θέλουσα, πάντ' ἐμοῦ κομίζεται.
ΚΡ. οὔκουν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος;
ΟΙ. ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνῃ φίλος.
ΚΡ. οὐκ, εἰ διδοίης γ', ὡς ἐγὼ, σαυτῷ λόγον.
σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς
ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον, ἢ
ἄτρεστον εὕδοντ', εἰ τά γ' αὔθ' ἕξει κράτη.

561. μακροὶ παλαιοί τ'. gl. ἐπὶ πολὺ διήκοντες καὶ πάλαι ἀρξάμενοι.

566. ἔρευναν ἴσχετε. gl. ζήτησιν ἐποιήσατε.

570. τὸ σὸν δέ γ'. Si recte in membr. ut Turnebus edidit. At Aldus et quidam codd. τοσόνδε γ', cum glossa τοσοῦτον.

574. εἰ μὲν λέγει τάδ' ὁ μάντις, αὐτὸς σὺ οἶδας. Seq. v. ταῦθ', id est κατὰ τὰ αὐτά. Vulgo male rursus exhibetur ταῦθ', ut supra, 284.

583. εἰ διδοίης σαυτῷ λόγον, ἤγουν σκέψιν καὶ διαγνωστικὴν κρίσιν, ὡς ἐγὼ, δηλονότι ἐμαυτῷ δίδωμι. ἤγουν σκέψαι, ὡς ἐγὼ σκέπτομαι. Sic bene in scholiis a Triclinio concinnatis exponitur hic versus, quem Johnsonus verterat pessime. Euripides Med. 871. Ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην. (b)

ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἱμείρων ἔφυν
τύραννος εἶναι μᾶλλον, ἢ τύραννα δρᾷν,
οὔτ' ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται.
νῦν μὲν γὰρ ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω·
εἰ δ' αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων.
πῶς δῆτ' ἐμοὶ τυραννὶς ἡδίων ἔχειν
ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ;
οὔπω τοσοῦτον ἠπατημένος κυρῶ,
ὥστ' ἄλλα χρῄζειν, ἢ τὰ σὺν κέρδει καλά.
νῦν πᾶσι χαίρω, νῦν με πᾶς ἀσπάζεται·
νῦν οἱ σέθεν χρῄζοντες ἐκκαλοῦσί με.
τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι.
πῶς δῆτ' ἐγὼ κεῖν' ἂν λάβοιμ', ἀφεὶς τάδε;
οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.
ἀλλ' οὔτ' ἐραστὴς τῆσδε τῆς γνώμης ἔφυν,

587. Haud dissimili argumento Hippolytus apud Euripidem patri crimen purgat, cujus a noverca falso insimulatus fuerat: Ἀλλ' ὡς τυραννεῖν ἡδὺ τοῖσι σώφροσιν. Ἥκιστά γ', εἰ μὴ τὰς φρένας διέφθορε Θνητῶν, ὅσοισιν ἁνδάνει, μοναρχία. Ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς Πρῶτος θέλοιμ' ἂν· ἐν πόλει δὲ δεύτερος Ξὺν τοῖς ἀρίστοις εὐτυχεῖν ἀεὶ φίλοις. Πράσσειν γὰρ εὖ πάρεστι. κίνδυνος δ' ἀπὼν Κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.

588. τύραννα δρᾷν. gl. βασιλικὰ ποιεῖν, καὶ μὴ βασιλεὺς εἶναι, ὥσπερ αὐτὸς ἔχω νῦν. Primitivum pro possessivo, ut alicubi dixit Noster, σὺ γὰρ γέροντα βουλεύσεις. Hæc etiam nimis absurde vertit Johnsonus. Vide P. Victorii Var. Lect. vi. 4.

598. τὸ γὰρ τυχεῖν ἅπαντα, ἐστὶν αὐτοῖς ἐνταῦθα, ἤγουν ἐν ἐμοί. *omnia quæ cupiunt ut consequantur, in me positum esse intelligunt.* τυγχάνω cum quarto casu construitur. Vide quæ notavimus ad Eurip. Med. 759. Exempla passim obvia.

601. ἐραστὴς τῆσδε τῆς γνώμης. Sic libri omnes. Eruditos Britannos nuper incessit libido litem huic lectioni obmovere, postquam iis in mentem venit, a Creontis sententia et scopo alienum esse dicere, se hujus consilii ἐραστὴν non esse, quum negare debuisset se illius esse πλάστην vel ῥάπτην. Verum quod ad sensum, perinde est. Nam qui dicit se nullo alicujus rei amore teneri, is certe significat, se nihil inceptare, quo rem illam consequatur. Tum phrasis elegantior est, inque primis Sophoclea. Frequentat enim Noster verbum ἐρᾷν, nomen ἔρως, *pro cupere, optare, cujusvis rei cupiditate.* Vide Œd. Col. 436. 512. Aj. 967. Phil. 651. 660. Temerariæ sunt istæ conjecturæ. Voces τῆσδε τῆς γνώμης, quas glossa exponit τούτου τοῦ λογισμοῦ, non spectant crimen Creonti objectum communicati cum Tiresia consilii conferendæ in Œdipum noxæ cædis Laïi; sed regnandi

οὔτ' ἂν μετ' ἄλλου δρῶντος ἂν τλαίην ποτέ.
καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν, Πυθώδ' ἰὼν
πεύθου, τὰ χρησθέντ' εἰ σαφῶς ἤγγειλά σοι·
τοῦτ' ἄλλ', ἐάν με τῷ τερασκόπῳ λάβῃς
κοινῇ τι βουλεύσαντα, μή μ' ἁπλῇ κτάνῃς
ψήφῳ, διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ, λαβών.
γνώμῃ δ' ἀδήλῳ μή με χωρὶς αἰτιῶ.
οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν, οὔτε τοὺς χρηστοὺς, κακούς.
φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν, ἴσον λέγω,
καὶ τὸν παρ' αὑτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
ἀλλ' ἐν χρόνῳ γνώσει τάδ' ἀσφαλῶς· ἐπεὶ
χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος·
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.

**ΧΟ.** καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν,
ἄναξ. φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς.

**ΟΙ.** ὅταν ταχύς τις οὑπιβουλεύων λάθρα
χωρῇ, ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν.
εἰ δ' ἡσυχάζων προσμενῶ, τὰ τοῦδε μὲν
πεπραγμέν' ἔσται, τἀμὰ δ' ἡμαρτημένα.

**ΚΡ.** τί δῆτα χρῄζεις; ἦ με γῆς ἔξω βαλεῖν;

**ΟΙ.** ἥκιστα. θνήσκειν, οὐ φυγεῖν σε βούλομαι.

**ΚΡ.** ὅταν προδείξῃς, οἷόν ἐστι τὸ φθονεῖν,

ambitionem. Infra, v. 664. ubi Chorus ait, φρόνησιν εἰ τάνδ' ἔχω, eodem sensu dicere posset, ταύτης τῆς γνώμης εἰ ἐραστὴς ἔφυν. Hic autem Creon dicere poterat, ἀλλ' οὔτε τήνδε τὴν φρόνησιν ἔχω. Eodem redeunt diversæ illæ loquutiones.

605. Impressi: ταῦτ' ἀλλ' ἐάν με—In hac scriptura ταῦτ' ad τὰ χρησθέντα refertur. In membr. scriptum τοῦτ' ἀλλ' ἐάν με—gl. συνδεσμὸς ἀντὶ συνδεσμοῦ. In C. τοῦτ' ἀλλ'—cum eadem glossa. In D. ταῦτ' ἀλλ'—gl. ταῦτα δέ. συνδεσμὸς ἀντὶ συνδεσμοῦ. Ex his quod verum est me selegisse opinor. Ad τοῦτο μὲν, quod præcessit, refertur τοῦτο ἄλλο. Sic in Antig. 167. post τοῦτο μὲν sequitur τοῦτ' αὖθις. In Philoct. 1346. nude εἶτα.

608. χωρίς. gl. μακρὰν ὄντα αἰτίας. Alia, μάτην.

609. μάτην. gl. ἀνεξετάστως.

624. οἷόν ἐστι τὸ φθονεῖν. Optime non exponit glossa in B. οἷός ἐστιν ὁ ἐμὸς πρὸς σὲ φθόνος. quum primum ostende-

ΟΙ. ὡς οὐχ ὑπείξων οὐδὲ πιϛεύσων λέγεις;
ΚΡ. οὐ γὰρ φρονοῦντά σ' εὖ βλέπω.
ΟΙ. τὸ γοῦν ἐμόν.
ΚΡ. ἀλλ' ἐξ ἴσου δεῖ κἀμόν.
ΟΙ. ἀλλ' ἔφυς κακός.
ΚΡ. εἰ δὲ ξυνιεῖς μηδέν;
ΟΙ. ἀρκτέον γ' ὅμως.
ΚΡ. οὔ τοι κακῶς γ' ἄρχοντος . . . .
ΟΙ. ὦ πόλις, πόλις.
ΚΡ. κἀμοὶ πόλεως μέτεϛι τῆσδ', οὐ σοὶ μόνῳ.
ΧΟ. παύσασθ' ἄνακτες· καιρίαν δ' ὑμῖν ὁρῶ

*ris, quæ mea sit erga te invidia.* Sic vertere debebam.

626. τὸ γοῦν ἐμόν. Glossa supplet, συμφέρον εὖ φρονῶ. Ἀλλὰ καὶ τὸ ἐμὸν συμφέρον ἐξίσου δεῖ φρονεῖν σε.

628. ξυνιεῖς. In quatuor codd. ut in Aldina edit. ξυνίεις, tono perperam notato. ἰεῖς secunda est præsentis: ἵεις imperfecti. Antiqua forma est ἱέω, ut τιθέω, a librariis sæpe obliterata. In D. T. scriptum ξυνίης forma vulgari, ut Turnebus edidit. Legitur apud Homerum, Ἰλ. κ'. 121. Πολλάκι γὰρ μεθιεῖ τε καὶ οὐκ ἐθέλει πονέεσθαι. ζ'. 523. Ἀλλὰ ἑκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις—Librarii cujusdam levitas intrusit μεθίης in Odyss. δ'. 372. ubi ad superiorum normam scribendum: Ἦε ἑκὼν μεθιεῖς, καὶ τέρπεαι ἄλγεα πάσχων. Iliad. ε'. 880. Ἀλλ' ἀνιεῖς, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον. In omnibus istis locis tonus etiam perperam notatus. Accurata scriptura est in Hesychii glossa: συνιεῖ, νοεῖ. At duo tempora confundit in glossa, μεθίει, ἀμελεῖ, ἀφῆκεν. a ξυνιέω præsens est imperativi ξυνίει Homero frequentatum. Formam agnoscit auctor Etymol. M. p. 612. l. 7. συνιῶ οὖν. καὶ ὁ παρατατικὸς, συνίουν. ὁ δὲ δεύτερος ἀόριστος, σύνιον καὶ ξύνιον. Pertinet observatio ad Homeri versum Il. α'. 273. Καὶ μέν μευ βουλέων ξύνιον, πείθοντό τε μύθῳ. El. 596. ἢ πᾶσαν ἱεῖς γλῶσσαν. Ibi tres codd. et Aldus ἵεις: relinqui ἵης. 1347. οὐχὶ ξυνιεῖς. Quatuor codd. et Aldus ξυνίεις. Eadem varietas aliis in locis deprehenditur: nos ubicunque rectam scribendi normam sequimur. Ridicule Eustathius cum alibi, tum p. 1500. l. 52. ἵεις, μεθίεις, τίθεις de tempore præsenti dici ait κατὰ ἐναλλαγὴν χρόνου. In Æschyli versu quem citat Scholiastes ad Œd. C. 791. codex T. sinceram scripturam exhibet ἐγκαθιεῖ, ut demum excudi curavimus.

629. Creontis sermonem abrumpit Œdipus: sententiam ille absoluturus erat, ὑπεικτέον, vel simile quid.

630. In tribus codd. μέτεϛι τῆσδ'· οὐχὶ σοὶ—In T. emendate Κἀμοὶ πόλεως μέτεϛιν, οὐχὶ σοὶ μόνῳ. Hanc lectionem in margine edit. Turnebi jam notatam Aldinæ præferri debuisse agnosco. Longe melius meo judicio πόλεως absolute, quam πόλεως τῆσδε.

631. ὑμῖν. Sic Aldus et codd. veteres. Turnebus e Triclinio ἡμῖν.

τήνδ' ἐκ δόμων ϛείχουσαν Ἰοκάϛην, μεθ' ἧς
τὸ νῦν παρεϛὼς νεῖκος εὖ θέσθαι χρεών.

## ΙΟΚΑΣΤΗ.

τί τὴν ἄβουλον, ὦ ταλαίπωροι, ϛάσιν
γλώσσης ἐπήρατ', οὐδ' ἐπαισχύνεσθε, γῆς
οὕτω νοσούσης, ἴδια κινοῦντες κακά;
οὐκ εἶ σύ τ' οἴκους, σύ τε, Κρέων, κατὰ ϛέγας,
καὶ μὴ τὸ μηδὲν ἄλγος εἰς μέγ' οἴσετε;

ΚΡ. ὅμαιμε, δεινά μ' Οἰδίπους ὁ σὸς πόσις
δρᾶσαι δικαιοῖ, δυοῖν ἀποκρίνας κακοῖν,
ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.

ΟΙ. ξύμφημι· δρῶντα γάρ νιν, ὦ γύναι, κακῶς
εἴληφα τοὐμὸν σῶμα σὺν τέχνῃ κακῇ.

ΚΡ. μὴ νῦν ὀναίμην, ἀλλ' ἀραῖος, εἴ σέ τι
δέδρακ', ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.

ΙΟ. ὦ πρὸς θεῶν πίϛευσον, Οἰδίπους, τάδε,
μάλιϛα μὲν τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν,
ἔπειτα κἀμὲ, τούσδε θ', οἳ πάρεισί σοι.

ΧΟ. πιθοῦ θελήσας φρονήσας τ', ϛροφὴ α'.
ἄναξ, λίσσομαι.

ΟΙ. τί σοι θέλεις δῆτ' εἰκάθω;

ΧΟ. τὸν οὔτε πρὶν νήπιον,
νῦν τ' ἐν ὅρκῳ μέγαν,

637. εἶ. gl. πορεύσῃ. Aldinam lectionem hujus versus, quam exhibuimus, confirmant codd. optimi et vetustissimi.

640. δυοῖν ἀποκρίνας κακοῖν. Utrum e duobus malis rex elegerit, non dicit Creon: sed boni ominis, ut videtur, gratia, obscure significat, quod supra Œdipus aperte dixit: θνήσκειν, οὐ φυγεῖν σε βούλομαι. Absolutus est sermo, nec quidquam extrinsecus supplendum. Ceterum observanda rara synalœphe in δυοῖν, quod hic monosyllabum est.

643. τοὐμὸν σῶμα, id est με. Eurip. Alcest. 647. Οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατήρ. id est ἐμὸς πατήρ. Ad quem locum alia citantur ex Heracl. exempla.

653. ἐν ὅρκῳ μέγαν. Magna erat apud veteres jurisjurandi religio, quique ea se obstrinxisset, nefas erat illi fidem negare. Apud Euripidem Hippolyto, qui Deos innocentiæ suæ te-

καταίδεσαι.
ΟΙ. οἶσθ' οὖν ἃ χρῄζεις;
ΧΟ. οἶδα.
ΟΙ. φράζε δὴ τί φῄς.
ΧΟ. τὸν ἐναγῆ φίλον μή ποτ' ἐν αἰτίᾳ
σὺν ἀφανεῖ λόγῳ ἄτιμον βαλεῖν.
ΟΙ. εὖ νῦν ἐπίστω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ
ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.
ΧΟ. οὐ τὸν πάντων θεῶν — στροφὴ β'.
θεὸν πρόμον Ἅλιον·
ἐπεὶ ἄθεος, ἄφιλος,
ὅ τι πύματον ὀλοίμαν,
φρόνησιν εἰ τάνδ' ἔχω.
ἀλλά μοι δυσμόρῳ
γᾶ φθίνουσα τρύχει ψυ-
χὰν, καὶ τάδ' εἰ κακοῖς
κακὰ προσάψει τοῖς πάλαι τὰ πρὸς σφῷν.
ΟΙ. ὅδ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
ἢ γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ.

stes advocaverat, Chorus ait v. 1047. Ἀρκοῦσαν εἴπας αἰτίας ἀποστροφὴν, Ὅρκους παρασχὼν, πίστιν οὐ σμικρὰν, θεῶν. Qui juranti non adhibebat fidem, is vel deorum numen nullum esse credere videbatur. Hinc argute meretrix apud Alciphronem, p. 144. οὐ λέγομεν θεοὺς οὐκ εἶναι, ἀλλὰ πιστεύομεν ὀμνύουσι τοῖς ἐρασταῖς ὅτι φιλοῦσιν ἡμᾶς.

656. τὸν ἐναγῆ. gl. ἐνταῦθα τὸν καθαρόν φησιν. Alia, ἐναγὴς, ὁ θαυμαστός. —σὺν ἀφανεῖ λόγῳ. gl. σὺν ἀνεξετάστῳ ὑπολήψει. Importune insertam a Triclinio particulam γε nullus agnoscit veterum codd. βαλεῖν. Aldus et veteres codd. ἐκβαλεῖν, quod compositum retinent etiam in expositione hujus loci vulgata scholia. At Suidas, qui ea descripsit in ἐναγὴς, simplex habet βαλεῖν, quod metri ratio verum esse arguit. Legisse videtur antiquus interpres λόγων ἄτιμον ἐκβαλεῖν, quod minime procedit. Constructio est, ἐμβαλεῖν αἰτίᾳ σὺν ἀφανεῖ λόγῳ ἄτιμον.

660. οὐ τὸν—pro οὐ μὰ τὸν—Sæpissime μὰ sic supprimitur, ut infra, 1088. Antig. 758. El. 1063. Eurip. Ion. 888, Ἀλλ' οὐ, τὸ Διὸς πολύαστρον ἕδος, Οὐκ ἔτι κρύψω λέχος.

661. Vox θεὸν in Aldina et veteribus aliquot codd. perperam omissa est. Agnoscunt eam alii præter T.

668. κακὰ προσάψει. Sic Aldus et codd. omnes veteres. Glossæ: συναφθήσεται. συνκλείσεται. Inepte Triclinius προσψαύσει. Digestus est autem hic versus in membr. ut eum exhibui: trimeter est iambicus catal. Nihil hîc vidit metrorum scrutator Heathius.

τὸ γὰρ σὸν, οὐ τὸ τοῦδ᾽, ἐποικτείρω στόμα
ἐλεεινόν· οὗτος δ᾽, ἔνθ᾽ ἂν ᾖ, στυγήσεται.
ΚΡ. στυγνὸς μὲν εἴκων δῆλος εἶ· βαρὺς δ᾽, ὅταν
θυμοῦ περάσῃς· αἱ δὲ τοιαῦται φύσεις
αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.
ΟΙ. οὔκουν μ᾽ ἐάσεις, κἀκτὸς εἶ;
ΚΡ. πορεύσομαι,
σοῦ μὲν τυχὼν ἀγνῶτος, ἐν δὲ τοῖσδ᾽ ἴσος.
ΧΟ. γύναι, τί μέλλεις, κομίζειν — ἀντιστ. α΄.
δόμων τόνδ᾽ ἔσω;
ΙΟ. μαθοῦσά γ᾽ ἥτις ἡ τύχη.
ΧΟ. δόκησις ἀγνὼς λόγων
ἦλθε, δάπτει δὲ καὶ
τὸ μὴ ᾽νδικον.
ΙΟ. ἀμφοῖν ἀπ᾽ αὐτοῖν;
ΧΟ. ναιχί.
ΙΟ. καὶ τίς ὁ λόγος ἦν;
ΧΟ. ἅλις ἔμοιγ᾽, ἅλις, γᾶς προπονουμένας,
φαίνετ᾽, ἔνθ᾽ ἔληξεν, αὐτοῦ μένειν.
ΟΙ. ὁρᾷς ἵν᾽ ἥκεις, ἀγαθὸς ὢν γνώμην ἀνὴρ,
τοὐμὸν παριεὶς καὶ καταμβλύνων κέαρ;
ΧΟ. ἄναξ, εἶπον μὲν οὐχ — ἀντιστ. β΄.
ἅπαξ μόνον, ἴσθι δὲ
παραφρόνιμον, ἄπορον
ἐπὶ φρόνιμα, πεφάνθαι μ᾽
ἂν, εἴ σε νοσφίζομαι,

674. περάσῃς. gl. διαπεράσῃς, εἰς πέρας ἔλθῃς.

680. Glossa: κομίσω, γνοῦσα τίς ἐστιν ἡ κατέχουσα αὐτοὺς τύχη, ἤγουν ἡ μάχη.

684. Aldus, καὶ τίς ἦν ὁ λόγος, pessum dato metro. In D. καὶ τίς ὁ λόγος, omisso ἦν, quod in fine versus poni debebat.

686. φαίνετ᾽. Sic in D. ad metri rationem recte. Aldus φαίνεται.

688. παριείς. gl. ἐκλύων. καταμβλύνων, ἄθυμον ποιῶν.

690. Gl. ἴσθι δὲ δεδεῖχθαί με παράφρονα, ἀτυχῆ ἐπὶ τὰ συνετὰ, ἐάν σε παραλογίζωμαι, ὅστε τὴν ἐμὴν φίλην γῆν ἐν πόνοις ἀμηχανοῦσαν εὐώδωσας.

ὅς τ' ἐμὰν γᾶν φίλαν
ἐν πόνοις ἀλύουσαν
κατ' ὀρθὸν οὔρισας·
ταν῀υν τε πομπὸς, εἰ δύναιο, γίγνου.

ΙΟ. πρὸς θεῶν δίδαξον κἄμ', ἄναξ, ὅτου ποτὲ
μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις.

ΟΙ. ἐρῶ· σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω·
Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει.

ΙΟ. λέγ', εἰ σαφῶς, τὸ νεῖκος ἐγκαλῶν, ἐρεῖς.

ΟΙ. φονέα με φησὶ Λαΐου καθεστάναι.

ΙΟ. αὐτὸς ξυνειδὼς, ἢ μαθὼν ἄλλου πάρα;

ΟΙ. μάντιν μὲν οὖν κακοῦργον εἰσπέμψας, ἐπεὶ
τό γ' εἰς ἑαυτὸν, πᾶν ἐλευθεροῖ στόμα.

ΙΟ. σὺ νῦν ἀφεὶς σεαυτὸν, ὧν λέγεις πέρι,
ἐμοῦ 'πάκουσον, καὶ μάθ', οὕνεκ' ἐστί σοι
βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης.

696. οὔρισας. Sic metro et sententia flagitante legendum, ut tribus in locis Eustathius ostendit a poëta scriptum fuisse. Ad Il. η'. p. 661. ἐκ δὲ τοῦ ῥηθέντος οὔρου, καὶ ῥῆμα οὐρίζειν, τὸ ἐξ οὐρίων πλέειν, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ, κατ' ὀρθὸν οὔρισας. Et sic rursus p. 1282. Ad Odyss. autem, p. 1452. οὐρίσαι, τὸ ἀποκαταστῆσαι εἰς οὔριον, ὥς φασιν οἱ παλαιοί. καὶ κατουρίζειν, ῥῆμα τραγικῶς. Jam olim mendam correxerat H. Stephanus Thesauri tom. ii. col. 1497. οὐρέω significat *mingere*. Ab οὖρος, *secundum ventum* significante nec οὐρέω derivatur, nec προσουρέω, nec ullum aliud compositum. Vide quæ notavimus ad Comici Ran. 94.

697. ταν῀υν τε πομπὸς, εἰ δύναιο, γίγνου. Sic omnino scribendus hic versus, ut cum strophico 668. quadret. In Aldina, ταν῀υν τ' εὔπομπος, εἰ δύναιο, γενοῦ. Codd. quidam ταν῀υν δ'—In solo T. γίνου.

699. στήσας ἔχεις. gl. ἔστησας. Ut paulo infra βεβουλευκὼς ἔχει pro ἐπιβεβούλευκε. Vide Fr. Inc. lxxxv. et Valckenarium ad Phœniss. p. 268. ἱστάναι μῆνιν, nihil aliud est quam μηνίειν, quemadmodum Tragici dicunt ἱστάναι βοὴν pro βοᾷν. Nugatur Græculus in minoribus scholiis.

701. Κρέοντος. gl. ἕνεκα, quod hic subauditur, ut supra in ὅτου πράγματος.

702. εἰ σαφῶς. Scholiastes haud deterius εἰ σαφῆ.

706. ὅσον κατὰ τὸ εἰς ἑαυτὸν ἧκον μέρος, ἤγουν κατὰ τὴν ἑαυτοῦ δύναμιν, ὁ μάντις πᾶσαν κακουργίαν λόγων ἀκρατῶς κινεῖ. Hîc, ut centies alibi, στόμα *sermonem* significat. πᾶν ἐλευθεροῖ στόμα, idem est ac κατὰ πάντα ἐλευθεροστομεῖ. Æschylus Prom. 180. ἄγαν δ' ἐλευθεροστομεῖς.

709. μαντικῆς ἔχον τέχνης. Vide

φανῶ δέ σοι σημεῖα τῶνδε σύντομα.
χρησμὸς γὰρ ἦλθε Λαΐῳ ποτ', οὐκ ἐρῶ
Φοίβου γ' ἀπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο,
ὡς αὐτὸν ἥξει μοῖρα πρὸς παιδὸς θανεῖν,
ὅστις γένοιτ' ἐμοῦ τε κἀκείνου πάρα.
καὶ τὸν μέν, ὥσπερ γ' ἡ φάτις, ξένοι ποτὲ
λῃσταὶ φονεύουσ' ἐν τριπλαῖς ἁμαξιτοῖς·
παιδὸς δὲ βλαστὰς, οὐ διέσχον ἡμέραι
τρεῖς, καί νιν ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν,
ἔρριψεν ἄλλων χερσὶν εἰς ἄβατον ὄρος.
κἀνταῦθ' Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσε
φονέα γενέσθαι πατρὸς, οὔτε Λάϊον
τὸ δεινὸν οὑφοβεῖτο πρὸς παιδὸς παθεῖν.
τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν,
ὧν ἐντρέπου σὺ μηδέν. ὧν γὰρ ἂν θεὸς
χρείαν ἐρευνᾷ, ῥᾳδίως αὐτὸς φανεῖ.

ΟΙ. οἷόν μ' ἀκούσαντ' ἀρτίως ἔχει, γύναι,

supra ad v. 345. Eadem est ratio obviarum loquutionum, ὡς εἶχεν ποδῶν, ὡς ἕκαστος γνώμης ἢ ἐμπειρίας εἶχεν.

716. ἐν τριπλαῖς. Codd. aliquot ἐν διπλαῖς, quo refertur explicatio in minoribus scholiis. Eadem varietas infra, v. 730. In numeralibus his vocibus libidini multum indulserunt librarii. Sincerum discernendi ratio editores sæpe latuit. In Luciani festivissimo Asino, cap. 24. Reitzius ex uno codice edidisset, ἐπεὶ δὲ ἤκομεν ἔνθα ἐσχίζετο τριπλῆ ὁδὸς, si animadvertisset Appuleium ita legisse: *ad quoddam pervenimus trivium.* Sic quoque scriptum in Regio codice, quem nuper versavimus.

717. παιδὸς δὲ βλαστάς. *quod autem ad puerum attinet.* ἐνζεύξας νιν ἄρθρα ποδοῖν. Sic solent Græci poëtæ accusativum pronominis vice genitivi jungere accusativo rei. Vide quæ notavimus ad Comici Pacem 1099. quod schema Latinis poëtis haud inusitatum. Æn. x. 697. Sed Latagum saxo atque ingenti fragmine montis Occupat os faciemque adversam.

722. πρὸς παιδὸς παθεῖν. In Aldina θανεῖν, cui voci in membr. superscripta prælata nobis lectio. Ex v. 713. repetita videtur vulgata.

725. χρείαν ἐρευνᾷ. Gl. in B. χρείαν ἐρεύνης παρίστησι. Locus difficilis expeditu, quem alii depravatum, alii integrum judicant. In prolatis explicationibus acquiescendum mihi videtur; nisi quis malit ἣν pro ὧν legere: ἣν γὰρ ἂν θεὸς χρείαν ἐρευνᾷ. *quam enim rem Deus quærit*, id est, *indagari vult, eam ipse facile manifestam reddet.* χρεία, *res, negotium,* πρᾶξις. Hoc sensu occurrit infra, 1435. Aj. 740. et aliis in locis.

ψυχῆς πλάνημα, κἀνακίνησις φρενῶν.
ΙΟ. ποίας μερίμνης τοῦθ᾽ ὑποστραφεὶς λέγεις;
ΟΙ. ἔδοξ᾽ ἀκοῦσαι σοῦ τόδ᾽, ὡς ὁ Λάϊος
κατασφαγείη πρὸς τριπλαῖς ἁμαξιτοῖς.
ΙΟ. ηὐδᾶτο γὰρ ταῦτ᾽, οὐδέ πω λήξαντ᾽ ἔχει.
ΟΙ. καὶ ποῦ ᾽σθ᾽ ὁ χῶρος οὗτος, οὗ τόδ᾽ ἦν πάθος;
ΙΟ. Φωκὶς μὲν ἡ γῆ κλῄζεται· σχιστὴ δ᾽ ὁδὸς
ἐς ταυτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.
ΟΙ. καὶ τίς χρόνος τοῖσδ᾽ ἐστὶν οὑξεληλυθώς;
ΙΟ. σχεδόν τι πρόσθεν ἢ σὺ τῆσδ᾽ ἔχων χθονὸς
ἀρχὴν ἐφαίνου, ταῦτ᾽ ἐκηρύχθη πόλει.
ΟΙ. ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;
ΙΟ. τί δ᾽ ἐστί σοι τοῦτ᾽, Οἰδίπους, ἐνθύμιον;
ΟΙ. μή πω μ᾽ ἐρώτα. τὸν δὲ Λάϊον, φύσιν
τίν᾽ εἶχε, φράζε, τίνα δ᾽ ἀκμὴν ἥβης τότε.
ΙΟ. μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα,
μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ.
ΟΙ. οἴμοι τάλας· ἔοικ᾽ ἐμαυτὸν εἰς ἀρὰς
δεινὰς προβάλλων ἀρτίως οὐκ εἰδέναι.
ΙΟ. πῶς φῄς; ὀκνῶ τοι πρός σ᾽ ἀποσκοποῦσ᾽, ἄναξ.
ΟΙ. δεινῶς ἀθυμῶ, μὴ βλέπων ὁ μάντις ᾖ.
δείξεις δὲ μᾶλλον, ἢν ἓν ἐξείπῃς ἔτι.
ΙΟ. καὶ μὴν ὀκνῶ μέν· ἃ δ᾽ ἂν ἔρῃ, μαθοῦσ᾽ ἐρῶ.
ΟΙ. πότερον ἐχώρει βαιὸς, ἢ πολλοὺς ἔχων

728. ὑποστραφείς. gl. τῆς προτέρας ἐνστάσεως. id est: ὑπὸ ποίας φροντίδος στραφεὶς ἀπὸ τῆς προτέρας ἐνστάσεως τοῦτο λέγεις;

731. οὐδέ πω λήξαντ᾽ ἔχει. gl. οὔπω δὲ ἔληξαν.

740. φύσιν. gl. τὸν τοῦ σώματος ὄγκον. In fine versus libri omnes habent ἔχων, ubi, si glossarum auctores audimus, subaudiendum ἦν vel ἐτύγχανε, quod prorsus est absonum. φράζε τίνα φύσιν εἶχεν ὁ Λάϊος, τίνα δ᾽ ἀκμὴν ἥβης ἔχων ἐτύγχανε. Verbum εἶχε duobus substantivis sufficit; sed requiritur adverbium, quo quæstio ad definitum tempus restringatur. *Quā erat ætate* TUNC, *quando civitati renuntiatum fuit, eum in trivio occisum fuisse?*

747. βλέπων. gl. ἀληθής. ἀληθεύων, παρ᾽ ὅσον ὁ τὴν ἀλήθειαν λέγων, βλέπει· ὁ δὲ τὰ ψεύδη, τυφλώττων ἐστί.

ἄνδρας λοχίτας, οἷ᾽ ἀνὴρ ἀρχηγέτης;
ΙΟ. πέντ᾽ ἦσαν οἱ ξύμπαντες, ἐν δ᾽ αὐτοῖσιν ἦν
κῆρυξ· ἀπήνη δ᾽ ἦγε Λάϊον μία.
ΟΙ. αἶ αἶ· τάδ᾽ ἤδη διαφανῆ. τίς ἦν ποτὲ
ὁ τούσδε λέξας τοὺς λόγους ὑμῖν, γύναι;
ΙΟ. οἰκεύς τις, ὅσπερ ἵκετ᾽ ἐκσωθεὶς μόνος.
ΟΙ. ἦ κἀν δόμοισι τυγχάνει τανῦν παρών;
ΙΟ. οὐ δῆτ᾽. ἀφ᾽ οὗ γὰρ κεῖθεν ἦλθε, καὶ κράτη
σέ τ᾽ εἶδ᾽ ἔχοντα, Λάϊόν τ᾽ ὀλωλότα,
ἐξικέτευσε, τῆς ἐμῆς χειρὸς θιγών,
ἀγρούς σφε πέμψαι, κἀπὶ ποιμνίων νομάς,
ὡς πλεῖστον εἴη τοῦδ᾽ ἄποπτος ἄστεος.
κἄπεμψ᾽ ἐγώ νιν. ἄξιος γὰρ ὅδε γ᾽ ἀνὴρ
δοῦλος φέρειν ἦν τῆσδε καὶ μείζω χάριν.
ΟΙ. πῶς ἂν μόλοι δῆθ᾽ ἡμὶν ἐν τάχει πάλιν;
ΙΟ. πάρεστιν. ἀλλὰ πρὸς τί τοῦτ᾽ ἐφίεσαι;
ΟΙ. δέδοικ᾽ ἐμαυτόν, ὦ γύναι, μὴ πόλλ᾽ ἄγαν
εἰρημέν᾽ ᾖ μοι, δι᾽ ἅ νιν εἰσιδεῖν θέλω.
ΙΟ. ἀλλ᾽ ἵξεται μέν. ἀξία δέ που μαθεῖν
κἀγὼ τά γ᾽ ἐν σοὶ δυσφόρως ἔχοντ᾽, ἄναξ.
ΟΙ. κοὐ μὴ στερηθῇς γ᾽, ἐς τοσοῦτον ἐλπίδων
ἐμοῦ βεβῶτος. τῷ γὰρ ἂν καὶ μείζονι
λέξαιμ᾽ ἂν ἢ σοί, διὰ τύχης τοιᾶσδ᾽ ἰών;

751. λοχίτας. gl. ὑπασπιστάς.

763. ἄξιος γὰρ ὅδε γ᾽ ἀνήρ. Sic A. B. E. T. August. In C. D. ὅδ᾽ ἀνήρ. Perperam Aldus ὧδ᾽ ἀνήρ. Pejus adhuc Turnebus ᾧδ᾽ ἀνὴρ, quod inepte nuper quidam nugator tueri aggressus est.

766. πάρεστιν. gl. δυνατὸν ἐστι τοῦτο. Vide Lexicon. ἐφίεσαι. gl. ἐντέλλῃ.

768. εἰσιδεῖν. gl. ἰδεῖν. ut εἰσορᾶν centies pro ὁρᾶν. Nempe composita sæpissime adhibentur pro simplicibus, præpositione nihil ad significandi vim conferente: et hæc maxime fuit causa, cur tam sæpe librarii præpositiones verborum compositorum omitterent, quas sensui inutiles esse judicabant. Vide indicem nostrum in Comicum v. *Præpositiones.*

770. δυσφόρως ἔχοντ᾽. gl. βαρέως διακείμενα. Paulo infra δυσφόρως ἤγον. βαρέως, χαλεπῶς.

773. διὰ τύχης τοιᾶσδ᾽ ἰών. *quum hanc fortunam expertus sim:* seu potius, *quum in tali discrimine verser.* διὰ τύχης ἰέναι idem est, quod ἐν τύχῃ

Ἐμοὶ πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος,
μήτηρ δὲ, Μερόπη Δωρίς. ἠγόμην δ' ἀνὴρ
ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν μοι τύχη
τοιάδ' ἐπέστη, θαυμάσαι μὲν ἀξία,
σπουδῆς γε μέν τοι τῆς ἐμῆς οὐκ ἀξία.
ἀνὴρ γὰρ ἐν δείπνοις μ' ὑπερπλησθεὶς μέθης
καλεῖ παρ' οἴνῳ, πλαστὸς ὡς εἴην πατρί.
κἀγὼ βαρυνθεὶς, τὴν μὲν οὖσαν ἡμέραν
μόλις κατέσχον· θατέρᾳ δ' ἰὼν πέλας
μητρὸς πατρός τ', ἤλεγχον· οἱ δὲ δυσφόρως
τοὔνειδος ἦγον τῷ μεθέντι τὸν λόγον.
κἀγὼ τὰ μὲν κείνοιν ἐτερπόμην, ὅμως δ'
ἔκνιζέ μ' αἰεὶ τοῦθ'· ὑφεῖρπε γὰρ πολύ.
λάθρα δὲ μητρὸς καὶ πατρὸς πορεύομαι
Πυθώδε. καί μ' ὁ Φοῖβος ὧν μὲν ἱκόμην
ἄτιμον ἐξέπεμψεν· ἄλλα δ' ἄθλια
καὶ δεινὰ καὶ δύστηνα προὐφάνη λέγων,
ὡς μητρὶ μὲν χρείη με μιχθῆναι, γένος δ'
ἄτλητον ἀνθρώποισι δηλώσοιμ' ὁρᾷν,
φονεὺς δ' ἐσοίμην τοῦ φυτεύσαντος πατρός.

εἶναι. Sic frequentant tragici δι' ὀδύνης βαίνειν, *in dolore esse, dolore affici:* διὰ φόνου χωρεῖν, *necem intentare, dare:* διὰ πόθου, διὰ φόβου ἐλθεῖν, *desiderare, formidare:* aliaque hujus generis multa.

781. βαρυνθείς. gl. χολωθείς. Rusticus apud Comicum in Nubibus 1363. Κἀγὼ μόλις μὲν, ἀλλ' ὅμως ἠνεσχόμην τὸ πρῶτον· Ἔπειτα δ'—

791. χρείη. Aldus χρεῖ' ᾖ, et sic pars codd. Alii χρεί' ᾖ. Mendose, ut supra, 555. Mirum est nullum exstare hodie veterem librum hujus mendæ expertem. Prava scriptura vel Eustathio fraudi fuit, qui ad Odyss. λ'. p. 1702. α longum quandoque elidi ostendere volens, in exemplum affert τὸ ἐὰν χρεῖ' ᾖ, ἤγουν εἰ χρεία ὑπάρχει. Aliquanto melius cum scholiasta nostro ad Œd. Col. 267. χρεῖα pro neutro plurali accepisset, quod tamen perinde falsum est.

792. δηλώσοιμ'. Aldus et codd. plerique δηλώσαιμ', quod etiam pro varia lectione superscriptum in duobus qui δηλώσοιμ' exhibent; estque hoc unice verum. De usu et notione futuri optativi vide Dawesii Miscell. Crit. p. 103. Sic Eurip. Hippol. 1186.—ἦλθε γάρ τις ἄγγελος λέγων, Ὡς οὐκ ἔτ' ἐν γῇ τῇδ' ἀναστρέψοι πόδα Ἱππόλυτος. Et Androm. 78. Οὐδ' ἀμφὶ Πηλέως ἦλθεν, ὡς ἥξοι, φάτις;

κἀγὼ 'πακούσας ταῦτα, τὴν Κορινθίαν
ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα,
ἔφευγον, ἔνθα μήποτ' ὀψοίμην κακῶν
χρησμῶν ὀνείδη τῶν ἐμῶν τελούμενα.
στείχων δ' ἱκνοῦμαι τούσδε τοὺς χώρους, ἐν οἷς
σὺ τὸν τύραννον τοῦτον ὄλλυσθαι λέγεις.
καί σοι, γύναι, τἀληθὲς ἐξερῶ. τριπλῆς
ὅτ' ἦν κελεύθου τῆσδ' ὁδοιπορῶν πέλας,
ἐνταῦθ' ἐμοὶ κῆρύξ τε, κἀπὶ πωλικῆς
ἀνὴρ ἀπήνης ἐμβεβὼς, οἷον σὺ φῂς,
ξυνηντίαζον· κἀξ ὁδοῦ μ' ὅ θ' ἡγεμὼν
αὐτός θ' ὁ πρέσβυς πρὸς βίαν ἠλαυνέτην.
κἀγὼ τὸν ἐκτρέποντα, τὸν τροχηλάτην,
παίω δι' ὀργῆς· καί μ' ὁ πρέσβυς, ὡς ὁρᾷ
ὄχου παραστείχοντα, τηρήσας, μέσον
κάρα διπλοῖς κέντροισί μου καθίκετο.

795. Suidas in Ἀστρονομία—Ἄστροις τεκμαίρεσθαι. ἐπὶ τῶν μακρὰν καὶ ἔρημον ὁδὸν πορευομένων, καὶ ἄστροις σημειουμένων τὰς θέσεις τῶν πατρίδων. Juxta hanc expositionem haud male distinxisse et vertisse videri queam. Nec aliter locum accepit antiquus paraphrastes: κἀγὼ ἀκούσας ταῦτα τὴν Κορινθίαν γῆν κατὰ τὸ ἐπίλοιπον δι' ἄστρων μετρούμενος, ἤγουν μακρόθεν βλέπων, καὶ δι' ἄστρων συμβάλλων αὐτὴν, ἀπεδήμουν—Veruntamen haud deterior est Heathii distinctio:—τὴν Κορινθίαν, Ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος, χθόνα Ἔφευγον. Qua admissa, bene cum eo vertas, *et ego, his auditis, Corinthiam terram exsul dereliqui, astris in posterum cursum dirigens.* Cum ἐκμετρούμενος subauditur ὁδὸν, quam vocem alii scriptores, proverbiali hac locutione utentes, exprimunt. Lucianus Icaromenippi initio: εἶτα, ὦ 'γαθὲ, καθάπερ οἱ Φοίνικες, ἄστροις ἐτεκμαίρου τὴν ὁδόν. Vide Eustathium ad Odyss. p. 1535. l. 58.

797. χρησμῶν ὀνείδη. Aldus et codd. plerique veteres χρησμῶν γ' ὀνείδη. In D. omissa particula ut opinor, melius.

805. πρὸς βίαν. gl. βιαίως.

806. τὸν τροχηλάτην. gl. τὸν ἡνίοχον.

807. δι' ὀργῆς, *iracunde.* Vide quæ notavimus ad Eurip. Bacchas 433.

808. μέσον κάρα. gl. κατὰ τὸ μέσον τῆς κεφαλῆς. Perperam vulgo hic locus interpunctus. Verba μέσον κάρα non pendent a τηρήσας, sed a suppressa præpositione κατά. Ordo est: τηρήσας, καθίκετό μου διπλοῖς κέντροις κατὰ μέσον κάρα. Sic etiam distinguit Gatakerus opp. tom. i. p. 108. ubi μοι pro μου typothetæ error esse videtur, καθικνεῖσθαι sensu feriendi semper cum genitivo construitur.

οὐ μὴν ἴσην γ' ἔτισεν· ἀλλὰ συντόμως
σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς, ὕπτιος
μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται·
κτείνω δὲ τοὺς ξύμπαντας. εἰ δὲ τῷ ξένῳ
τούτῳ προσήκει Λαΐῳ τι συγγενὲς,
τίς τοῦδέ γ' ἀνδρός ἐστιν ἀθλιώτερος;
τίς ἐχθροδαίμων μᾶλλον ἂν γένοιτ' ἀνήρ;
ᾧ μὴ ξένων ἔξεστι μήτ' ἀστῶν τινὰ
δόμοις δέχεσθαι, μηδὲ προσφωνεῖν τινὰ,
ὠθεῖν δ' ἀπ' οἴκων. καὶ τάδ' οὔ τις ἄλλος ἦν
ἢ 'γὼ 'π' ἐμαυτῷ τάσδ' ἀρὰς ὁ προστιθείς.
λέχη δὲ τοῦ θανόντος ἐν χεροῖν ἐμαῖν
χραίνω, δι' ὧνπερ ὤλετ'. ἆρ' ἔφυν κακός;
ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν,
καί μοι φυγόντι μή 'στι τοὺς ἐμοὺς ἰδεῖν,
μήτ' ἐμβατεύειν πατρίδος· ἢ γάμοις με δεῖ
μητρὸς ζυγῆναι, καὶ πατέρα κατακτανεῖν
Πόλυβον, ὃς ἐξέφυσε κἀξέθρεψέ με.
ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονός τις ἂν
κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἀνορθοίη λόγον;
μὴ δῆτα, μὴ δῆτ', ὦ θεῶν ἁγνὸν σέβας,

810. *ἴσην*. gl. *ἴσην δίκην ἀπέδωκεν, ἀντέτισεν.*

811. *ὕπτιος*. gl. *ἐπὶ τὰ μετάφρενα.*

813. *τῷ ξένῳ*. gl. *τῷ φονευθέντι. homini illi, mihi incognito.* Gallice diceremus *cet inconnu.* Quippe Græci cujuscunque nomen vel ignorant, vel scientes reticent, illum *ξένον* appellant. Vide Dan. Heinsii Lect. Theocr. cap. 14.

815. *τοῦδέ γ' ἀνδρός*. gl. *ἐμοῦ*: ut supra, 534. et mox, 829. *ἐπ' ἀνδρὶ τῷδ', ἐπ' ἐμοί.*

817. Notanda hypallage: *ᾧ μὴ ξένων τινὰ ἔξεστι δέχεσθαι δόμοις*, pro *ὃν μή τινι ξένων ἔξεστι δόμοις δέχεσθαι.* Aliter locum expedit Grammaticus in minoribus scholiis.

821. *λέχη*. gl. *ἤγουν τὴν γυναῖκα.*

824. *μή 'στι*. Sic liquido in B. et in August. Reliqui codd. et Aldus, impedita constructione, *μήτε*. Et hoc etiam est in T. sed superscripta nostra lectione, quam exhibet margo edit. Turnebi.

825. *ἐμβατεύειν πατρίδος*. Œd. Col. 400. *γῆς δὲ μὴ 'μβαίνῃς ὅρων.* Pro *ἐπεμβατεύειν* et *ἐπεμβαίνειν*, quod postremum occurrit Œd. Col. 924. *τῆς ἐπεμβαίνων χθονός.*

ἴδοιμι ταύτην ἡμέραν· ἀλλ᾽ ἐκ βροτῶν
βαίην ἄφαντος πρόσθεν, ἢ τοιάνδ᾽ ἰδεῖν
κηλῖδ᾽ ἐμαυτῷ ξυμφορᾶς ἀφιγμένην.

ΧΟ. ἡμῖν μὲν, ὦ ᾽ναξ, ταῦτ᾽ ὀκνήρ᾽· ἕως δ᾽ ἂν οὖν
πρὸς τοῦ παρόντος ἐκμάθῃς, ἔχ᾽ ἐλπίδα.

ΟΙ. καὶ μὴν τοσοῦτόν γ᾽ ἐστί μοι τῆς ἐλπίδος,
τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.

ΙΟ. πεφασμένου δὲ, τίς ποθ᾽ ἡ προθυμία;

ΟΙ. ἐγὼ διδάξω σ᾽. ἢν γὰρ εὑρεθῇ λέγων
σοὶ ταὔτ᾽, ἔγωγ᾽ ἂν ἐκπεφευγοίην πάθος.

ΙΟ. ποῖον δ᾽ ἐμοῦ περισσὸν ἤκουσας λόγον;

ΟΙ. λῃστὰς ἔφασκες αὐτὸν ἄνδρας ἐννέπειν,
ὥς νιν κατακτείνειαν. εἰ μὲν οὖν ἔτι
λέξει τὸν αὐτὸν ἀριθμὸν, οὐκ ἐγὼ ᾽κτανον·
οὐ γὰρ γένοιτ᾽ ἂν εἷς γέ τις πολλοῖς ἴσος·
εἰ δ᾽ ἄνδρ᾽ ἕν᾽ οἰόζωνον αὐδήσει, σαφῶς
τοῦτ᾽ ἐστὶν ἤδη τοὔργον εἰς ἐμὲ ῥέπον.

ΙΟ. ἀλλ᾽ ὡς φανέν γε τοὔπος ὧδ᾽ ἐπίστασο,
κοὐκ ἔστιν αὐτῷ τοῦτό γ᾽ ἐκβαλεῖν πάλιν·
πόλις γὰρ ἤκουσ᾽, οὐκ ἐγὼ μόνη, τάδε.
εἰ δ᾽ οὖν τι κἀκτρέποιτο τοῦ πρόσθεν λόγου,

833. κηλῖδα ξυμφορᾶς. Hypallage, seu ἀντίπτωσις: pro κηλῖδος ξυμφοράν. Sic El. 19. ἄστρων εὐφρόνη, pro ἄστρα εὐφρόνης. 758. μέγιστον σῶμα δειλαίας σποδοῦ, pro μεγίστου σώματος δειλαίαν σποδόν. Trach. 356. πόνων λατρεύματα, pro λατρευμάτων πόνοι.

838. προθυμία. gl. πρόθεσις, θάρσος. Alia: τί διανοῇ δρᾶσαι;

843. κατακτείνειαν. Sic tres codd. inter quos T. recte. In impressis κατακτείναιεν.

845. εἷς γέ τις πολλοῖς ἴσος. Aldus et codd. εἷς γε τοῖς πολλοῖς, quod etiamsi nemini adhuc vitii suspectum fuisse viderim, confidenter tamen Græcum non esse pronuntio. Articulus hic neutiquam locum tueri potest, ubi πολλοῖς indefinite accipiendum. Diversa sunt πολλοὶ et οἱ πολλοί. τι, τοι: τὶς, τοῖς passim commutantur. ἴσος. gl. ἰσάριθμος.

847. εἰς ἐμὲ ῥέπον. Sic Aldus et codd. omnes veteres. Triclinius imperite, et ex eo Turnebus, ἡμᾶς. Glossa: εἰς ἐμὲ ἀφορῶν. Comicus Pl. 51. Οὐκ ἴσθ᾽ ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει. Ad quem versum vide quæ notavimus.

849. ἐκβαλεῖν πάλιν. gl. μεταβαλεῖν. De potestate adverbii πάλιν vide Toupium ad Suidam, iii. p. 4.

860. στιλοῦντα. gl. μετακαλεσόμενον, κομιούμενον, μεταστελοῦντα.

οὔ τοι ποτ', ὦ 'ναξ, τόν γε Λαΐου φόνον
φανεῖ δικαίως ὀρθὸν, ὅν γε Λοξίας
διεῖπε χρῆναι παιδὸς ἐξ ἐμοῦ θανεῖν.
καίτοι νιν οὐ κεῖνός γ' ὁ δύστηνός ποτε
κατέκταν', ἀλλ' αὐτὸς πάροιθεν ὤλετο.
ὥστ' οὐχὶ μαντείας γ' ἂν οὔτε τῇδ' ἐγὼ
βλέψαιμ' ἂν οὕνεκ', οὔτε τῇδ' ἂν ὕστερον.
ΟΙ. καλῶς νομίζεις. ἀλλ' ὅμως τὸν ἐργάτην
πέμψον τινὰ στελοῦντα, μηδὲ τοῦτ' ἀφῇς.
ΙΟ. πέμψω ταχύνασ'· ἀλλ' ἴωμεν ἐς δόμους.
οὐδὲν γὰρ ἂν πράξαιμ' ἂν, ὧν οὐ σοὶ φίλον.

## ΧΟΡΟΣ.

Εἴ μοι ξυνείη φέροντι — στροφὴ α'.
μοῖρα τὰν εὔσεπτον ἁγνείαν λόγων
ἔργων τε πάντων, ὧν νόμοι πρόκεινται
ὑψίποδες, οὐρανίαν δι' αἰθέρα
τεκνωθέντες, ὧν Ὄλυμπος
πατὴρ μόνος, οὐδέ νιν θνατὰ
φύσις ἀνέρων ἔτικτεν, οὐδὲ
μήν ποτε λάθα κατακοιμάσει·
μέγας ἐν τούτοις θεὸς,
οὐδὲ γηράσκει.
Ὕβρις φυτεύει τύραννον. — ἀντιστ. α'.
Ὕβρις, ἢν πολλῶν ὑπερπλησθῇ μάταν,
ἃ μὴ 'πίκαιρα μηδὲ συμφέροντα,

873. Ὕβρις φυτεύει τύραννον. Erit forte, cui videantur hæc verba per hypallagen explicanda, ut Erasmo Schmidio viro doctissimo explicare libuit ista Pindari Olymp. xiii. Ἐθέλοντι δ' ἀλέξειν ὕβριν, κόρου Ματέρα θρασύμυθον. Quæ quidem interpretandi ratio hic aliquanto probabilior est: ἡ τυραννὶς ὕβριν φυτεύει. Quemadmodum Dionysius apud Stobæum Floril. tit. xliii. Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ.

874. ἢν ὑπερπλησθῇ. Perperam Aldus cum veteribus codd. εἰ, quod solœcum esset. Recte in T. ἤν. Mendam non vidit Grotius Floril. loco supra citato, ubi εἰ dedit, tametsi Stobæi scriptus liber habet ἢ depravatum ex ἤν.

ἀκροτάταν εἰσαναβᾶσ' ἀπότομον
ὤρουσέν νιν εἰς ἀνάγκαν,
ἔνθ' οὐ ποδὶ χρησίμῳ χρῆται.
τὸ καλῶς δ' ἔχον πόλει πάλαισμα
μή ποτε λῦσαι θεὸν αἰτοῦμαι.
θεὸν οὐ λήξω ποτὲ
προστάταν ἴσχων.
εἰ δέ τις ὑπέροπτα χερσὶν — στροφὴ β'.
ἢ λόγῳ πορεύεται,
Δίκας ἀφόβητος, οὐδὲ
δαιμόνων ἕδη σέβων,
κακά νιν ἕλοιτο μοῖρα,
δυσπότμου χάριν χλιδᾶς,
εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως,
καὶ τῶν ἀσέπτων ἕρξεται,
ἢ τῶν ἀθίκτων ἕξεται ματάζων.
τίς ἔτι ποτ' ἐν τοῖσδ' ἀνὴρ
θυμῷ βέλη * ἕξει
ψυχᾶς ἀμύνειν; εἰ γὰρ αἱ

* ἔρξει edd. 1. 2.

877. ὤρουσέν νιν εἰς ἀνάγκαν. Pronomen, quod inserui, non minus ad sententiæ quam ad versus integritatem necessarium est. Aldus et codd. omnes veteres ὤρουσεν εἰς ἀνάγκαν: quo modo versus cum antithetico 867. non quadrat. Solus Triclinius ex conjectura ἀνώρουσεν, pessime. ὀρούειν hîc transitivum est, ut præc. v. εἰσαναβᾶσ', cujus vice in D. glossema textum invasit εἰσαναβιβάσασ'. Seq. v. Aldus et codd. omnes veteres ἔνθ' οὐ. Triclinius ἔθ' οὐ—

879. πάλαισμα non hîc notat *callidum consilium et vafrum*, quo sensu fere adhibetur, ducta metaphora a pugilum artificio: sed simpliciter *conatum suscepti negotii absolvendi*. Jusserat Apollo, ut Laïi occisor investigaretur. Ex Jocastæ verbis timere poterat Chorus ne ab inquisitione rex desisteret, quod ne fieri sinat Deum precatur. Non erat cur in definienda vocis potestate tantum hæsitarent interpretes, quam expositam habebant in glossa ab Ant. Francino scholiis addita. πάλαισμα, ἤγουν τὴν ζήτησιν τοῦ φόνου τοῦ Λαΐου.

883. ὑπέροπτα. gl. καταφρονητικῶς. Neutrum plurale vice adverbii.

893. ἕξει, id est δυνήσεται. τίς ἀνὴρ ἕξει ἀμύνειν θυμῷ ψυχᾶς βέλη; *quis homo poterit arcere ab animo suo conscientiæ stimulos?* Pro ἕξει, quod e conjectura reposui, Aldus et codd. plerique exhibent ἔρξεται, nonnulli ἕξεται.

τοιαίδε πράξεις τίμιαι,
τί δεῖ με χορεύειν;
οὐκ ἔτι τὸν ἄθικτον εἶμι ἀντιϲ. β'.
γᾶς ἐπ' ὀμφαλὸν σέβων,
οὐδ' ἐς τὸν Ἄβαισι ναὸν,
οὐδὲ τὰν Ὀλυμπίαν,
εἰ μὴ τάδε χειρόδεικτα
πᾶσιν ἁρμόσει βροτοῖς.
ἀλλ' ὦ κρατύνων, εἴπερ ὄρθ' ἀκούεις,
Ζεῦ, πάντ' ἀνάσσων, μὴ λάθῃ
σὲ, τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν.
φθίνοντα γὰρ Λαΐου
παλαιὰ θέσφατ' ἐξ-
αίρουσιν ἤδη, κοὐδαμοῦ
τιμαῖς Ἀπόλλων ἐμφανής·
ἔρρει δὲ τὰ θεῖα.

IO. Χώρας ἄνακτες, δόξα μοι παρεστάθη
ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
στέφη λαβούσῃ κἀπιθυμιάματα.
ὑψοῦ γὰρ αἴρει θυμὸν Οἰδίπους ἄγαν
λύπαισι παντοίαισιν· οὐδ', ὁποῖ' ἀνὴρ
ἔννους, τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται.
ἀλλ' ἔστι τοῦ λέγοντος, ἢν φόβους λέγῃ.
ὅτ' οὖν παραινοῦσ' οὐδὲν ἐς πλέον ποιῶ,
πρός σ', ὦ Λύκει' Ἄπολλον, ἄγχιστος γὰρ εἶ,
ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατεύγμασιν,

Supra habuimus futurum medium ἴρξεται, *cohibebit se, abstinebit*: statimque ἴξεται potestate itidem media, *applicabit se*. Librariorum error ex vicinis his vocibus ortus, quarum alii aliam germanæ substituerunt. ἴρξει reponit Heathius, quod sententiæ tam bene quam metro non accommodatur. Nescio an cuipiam versionem suam approbaturus sit. Super. versu ἐν τοῖσδ' habent codd. omnes veteres cum Aldo. Turnebus e Triclinio dedit ἐν τούτοις. (c)

911. χώρας ἄνακτες. Non soli reges, sed cujuscunque civitatis primores veteribus appellabantur ἄνακτες. Vide Eustathium a nobis laudatum in fragm. p. 463. in Ἰοκάστη.

917. ἔστι τοῦ λέγοντος. Comicus Equit. 860. ὦ δαιμόνιε, μὴ τοῦ λέγοντος ἴσθι.

920. κατεύγμασιν. gl. τοῖς [illegible] εἰς κατάνευσιν τῶν εὐχῶν· ἤγουν ταῖς θυμιάμασιν καὶ ἀναθήμασιν.

ὅπως λύσιν τιν' ἡμὶν εὐαγῆ πόρῃς·
ὡς νῦν ὀκνοῦμεν πάντες, ἐκπεπληγμένον
κεῖνον βλέποντες ὡς κυβερνήτην νεώς.

ΑΓΓΕΛΟΣ.

ἆρ' ἂν παρ' ὑμῶν, ὦ ξένοι, μάθοιμ' ὅπου
τὰ τοῦ τυράννου δώματ' ἐςὶν Οἰδίπου;
μάλιςα δ' αὐτὸν εἴπατ', εἰ κάτισθ' ὅπου.
ΧΟ. ςέγαι μὲν αἵδε, καὐτὸς ἔνδον, ὦ ξένε·
γυνὴ δὲ μήτηρ ἥδε τῶν κείνου τέκνων.
ΑΓ. ἀλλ' ὀλβία τε, καὶ ξὺν ὀλβίοις ἀεὶ
γένοιτ', ἐκείνου γ' οὖσα παντελὴς δάμαρ.
ΙΟ. αὕτως δὲ καὶ σύ γ', ὦ ξέν'· ἄξιος γὰρ εἶ
τῆς εὐεπείας οὕνεκ'. ἀλλὰ φράζ' ὅτου
χρήζων ἀφῖξαι, χῶ τι σημῆναι θέλων.
ΑΓ. ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ, γύναι.
ΙΟ. τὰ ποῖα ταῦτα; παρὰ τίνος δ' ἀφιγμένος;
ΑΓ. ἐκ τῆς Κορίνθου. τὸ δ' ἔπος οὐξερῶ τάχ' ἂν
ἥδοιο μέν· πῶς δ' οὐκ ἄν; ἀσχάλλοις δ' ἴσως.
ΙΟ. τί δ' ἐςι; ποίαν δύναμιν ὧδ' ἔχει διπλῆν;
ΑΓ. τύραννον αὐτὸν οἱ 'πιχώριοι χθονὸς
τῆς Ἰσθμίας ςήσουσιν, ὡς ηὐδᾶτ' ἐκεῖ.
ΙΟ. τί δ'; οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;

921. πόρῃς. Sic Aldus et vett. codd. plerique, etiam T. a prima manu, superscripta prava lectione πόροις, quam Turnebus prætulit. Supra, v. 917. veterum librorum omnium lectio est ἢν φόβους λέγῃ. Triclinii libidini debetur εἰ λέγοι.

923. νεώς. gl. καταδυομένης. Ordo est: βλέποντες αὐτὸν, ὡς νεὼς κυβερνήτην ἐκπεπληγμένον.

930. παντελής. gl. τέκνα ἔχουσα. V. seq. αὔτως, ὡσαύτως.

935. παρὰ τίνος. Sic D. et Aldus. In aliis codd. πρὸς τίνος.

936. οὐξερῶ. Attica crasis pro ὃ ἐξερῶ. Sic quatuor codd. et Aldus. Alii minus bene ὃ 'ξερῶ—τάχ' ἂν ἥδοιο μέν. Perperam Aldus distinxit τάχα, ἥδοιο μέν. In D. super μὲν scriptum ἄν, videlicet pro glossa. In alio cod. ἥδοιο μ' ἄν. Hæ librariorum turbæ indicium dant genuinæ lectionis, quam certissima emendatione reposui, τάχ' ἂν ἥδοιο. Abesse non potest particula ἄν, qua etiam vitatur insuavis hiatus. At in ἀσχάλλοις δ' ἴσως, e superioribus repetenda est. Bene glossa, ἀλγοίης δ' ἂν ἴσως.

939. οἱ 'πιχώριοι. Perperam in libris οὑπιχώριοι. Vide quæ notavimus ad Comici Ran. 461. Infra, 1046. in D. T. emendate scriptum οἱ 'πιχώριοι, ubi reliqui codd. et Aldus, ut hic, mendosi sunt.

ΑΓ. οὐ δῆτ', ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει.
ΙΟ. πῶς εἶπας; ἦ τέθνηκε Πόλυβος;
ΑΓ. εἰ δὲ μὴ
λέγω γ' ἐγὼ τἀληθὲς, ἀξιῶ θανεῖν.
ΙΟ. ὦ πρόσπολ', οὐχὶ δεσπότῃ τάδ' ὡς τάχος
μολοῦσα λέξεις; ὦ θεῶν μαντεύματα,
ἵν' ἐςέ; τοῦτον Οἰδίπους πάλαι τρέμων
τὸν ἄνδρ' ἔφευγε μὴ κτάνοι· καὶ νῦν ὅδε
πρὸς τῆς τύχης ὄλωλεν, οὐδὲ τοῦδ' ὕπο.
ΟΙ. ὦ φίλτατον γυναικὸς Ἰοκάςης κάρα,
τί μ' ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων;
ΙΟ. ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων,
τὰ σέμν' ἵν' ἥκει τοῦ θεοῦ μαντεύματα.
ΟΙ. οὗτος δὲ τίς ποτ' ἐςὶ, καὶ τί μοι λέγει;
ΙΟ. ἐκ τῆς Κορίνθου, πατέρα τὸν σὸν ἀγγελῶν
ὡς οὐκ ἔτ' ὄντα Πόλυβον, ἀλλ' ὀλωλότα.
ΟΙ. τί φῄς, ξέν'; αὐτός μοι σὺ σημάντωρ γενοῦ.
ΑΓ. εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι σαφῶς,
εὖ ἴσθ' ἐκεῖνον θανάσιμον βεβηκότα.
ΟΙ. πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ;
ΑΓ. σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.
ΟΙ. νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο.
ΑΓ. καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.
ΟΙ. φεῦ, φεῦ· τί δῆτ' ἄν, ὦ γύναι, σκοποῖτό τις
τὴν Πυθόμαντιν ἑςίαν, ἢ τοὺς ἄνω
κλάζοντας ὄρνις, ὧν ὑφηγητῶν, ἐγὼ
κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν; ὁ δὲ θανὼν
κεύθει κάτω δὴ γῆς· ἐγὼ δ' ὅδ' ἐνθάδε

948. μὴ κτάνοι. Sic ad syntaxeos normam legendum. Vulgo μὴ κτάνῃ. In duobus e nostris codd. superscriptum κτάνοι.

949. πρὸς τῆς τύχης. Sic recte Aldus et codd. veteres plerique. Gl. ἀπὸ φυσικοῦ θανάτου. Alii cum Triclinio πρὸ τῆς τύχης.

959. θανάσιμον βεβηκότα. Prius glossæ exponunt per νεκρὸν ὄντα: alterum per ἀπελθόντα. In Trach. 874. Βέβηκε Δηάνειρα τὴν πανυςάτην Ὁδῶν ἁπασῶν. Unde hîc explicari possit per ellipsin: εὖ ἴσθ' ἐκεῖνον βεβηκότα θανάσιμον ὁδόν.

ἄψαυςος ἔγχους, εἴ τι μὴ τῷ 'μῷ πόθῳ
κατέφθιθ'· οὕτω δ' ἂν θανὼν εἴη 'ξ ἐμοῦ.
τὰ δ' οὖν παρόντα ξυλλαβὼν θεσπίσματα,
κεῖται παρ' Ἅδῃ Πόλυβος, ἄξι' οὐδενός.

ΙΟ. οὔκουν ἐγώ σοι ταῦτα προὔλεγον πάλαι;

ΟΙ. ηὔδας· ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην.

ΙΟ. μὴ νῦν ἔτ' αὐτῶν μηδὲν ἐς θυμὸν βάλῃς.

ΟΙ. καὶ πῶς τὸ μητρὸς λέκτρον οὐκ ὀκνεῖν με δεῖ;

ΙΟ. τί δ' ἂν φοβοῖτ' ἄνθρωπος, ᾧ τὰ τῆς τύχης
κρατεῖ, πρόνοια δ' ἐςὶν οὐδενὸς σαφής;
εἰκῇ κράτιςον ζῆν, ὅπως δύναιτό τις.
σὺ δ' ἐς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα.
πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασι βροτῶν
μητρὶ ξυνευνάσθησαν. ἀλλὰ ταῦθ' ὅτῳ
παρ' οὐδέν ἐςι, ῥᾷςα τὸν βίον φέρει.

ΟΙ. καλῶς ἅπαντα ταῦτ' ἂν ἐξείρητό σοι,
εἰ μὴ 'κύρει ζῶσ' ἡ τεκοῦσα· νῦν δ', ἐπεὶ
ζῇ, πᾶσ' ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.

ΙΟ. καὶ μὴν μέγας ὀφθαλμὸς οἱ πατρὸς τάφοι.

ΟΙ. μέγας, ξυνίημ'· ἀλλὰ τῆς ζώσης φόβος.

ΑΓ. ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ;

ΟΙ. Μερόπης, γεραιὲ, Πόλυβος ἧς ᾤκει μέτα.

ΑΓ. τί δ' ἔς' ἐκείνης ὑμὶν ἐς φόβον φέρον;

971. ξυλλαβών. Sic in duobus codd. Alii, ut vulgo, συλλαβών.

977. ᾧ τὰ τῆς τύχης κρατεῖ. Thucydides iv. 62. τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπιπλεῖστον κρατεῖ. Quod sequitur πρόνοια δ' ἐςὶν οὐδενὸς σαφὴς cum his Pindari Olymp xii. comparari potest: Σύμβολον δ' οὔπω τις ἐπιχθονίων Πιςὸν ἀμφὶ πράξιος ἐσ- —σομένας εὗρεν θεόθεν.

979. εἰκῇ. gl. ὡς ἔτυχε. ἁπλῶς καὶ ἀφροντίςως, καὶ μὴ πρὸς μαντείας ὁρῶντα.

981. Ejusmodi somniorum causam explicat Plato a Cicerone conversus lib. i. de Divinatione, cap. 29. *Quum dormientibus ea pars animi, quæ mentis et rationis sit particeps, sopitā langueat: illa autem, in qua feritas quædam sit atque agrestis immanitas, quum sit immoderato tumefacta potu atque pastu, exultare eam in somno immoderateque jactari: itaque huic omnia visa abjiciuntur, a mente ac ratione vacua: ut aut* CUM MATRE CORPUS MISCERE *videatur, aut cum quovis alio vel homine vel deo, sæpe belua, atque etiam trucidare aliquem, et impie cruentari, multaque facere impure atque tetre, cum temeritate et imprudentia.*

ΟΙ. θεήλατον μάντευμα δεινὸν, ὦ ξένε.
ΑΓ. ἦ ῥητόν; ἢ οὐχὶ θεμιτὸν ἄλλον εἰδέναι;
ΟΙ. μάλιστά γ'· εἶπε γάρ με Λοξίας ποτὲ
χρῆναι μιγῆναι μητρὶ τῇ 'μαυτοῦ, τό τε
πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν.
ὧν οὕνεχ' ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
μακρὰν ἀπῳκεῖτ'· εὐτυχῶς μὲν, ἀλλ' ὅμως
τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν.
ΑΓ. ἦ γὰρ τάδ' ὀκνῶν, κεῖθεν ἦσθ' ἀπόπτολις;
ΟΙ. πατρός τε χρῄζων μὴ φονεὺς εἶναι, γέρον.
ΑΓ. τί δῆτ' ἔγωγ' οὐ τοῦδε τοῦ φόβου σ', ἄναξ,
ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην;
ΟΙ. καὶ μὴν χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.
ΑΓ. καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην, ὅπως,
σοῦ πρὸς δόμους ἐλθόντος, εὖ πράξαιμί τι.
ΟΙ. ἀλλ' οὔ ποτ' εἶμι τοῖς φυτεύσασίν γ' ὁμοῦ.
ΑΓ. ὦ παῖ, καλῶς εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς.
ΟΙ. πῶς, ὦ γεραιέ; πρὸς θεῶν, δίδασκ' ἐμέ.
ΑΓ. εἰ τῶνδε φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν.
ΟΙ. ταρβῶ γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
ΑΓ. ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς;
ΟΙ. τοῦτ' αὐτὸ, πρέσβυ, τοῦτό μ' εἰσαεὶ φοβεῖ.

993. ἢ οὐχὶ θεμιτόν. Aldus et codd. omnes ἢ οὐ θεμιτόν. In D. ἢ ὐ, quia duæ voculæ in unam coalescunt, quod monere etiam non supersedit Triclinius. ἢ οὐ. συνίζησις. Et sic quidem crurifragio laborat versus; nam falsum est quod ineptus ille Græculus præterea observavit, mediam in θεμιτὸν hîc produci, quod in codice significatum linea super ι ducta, quod signum est productæ vocalis. Uno verbo ἢ οὐ, μὴ οὐ apud Atticos poëtas semper sunt monosyllaba. Istud οὐχὶ millies apud Tragicos occurrit, et sæpius a librariis metra susque deque habentibus paragoge omissa fuit, ut in Eurip. Cyclope, 204. Τί βακχιάζετ'; οὐχὶ Διόνυσος τάδε. Vulgo legitur versu ruente, οὐ Διόνυσος. Hîc scriptum oportuit ἢ οὐχὶ, ut Œd. Col. 360. μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσά τι.

1006. εὖ πράξαιμί τι. Sic Comicus Pl. 341. χρηστόν τι πράττων. Pace, 215. εἰ δ' αὖ τι πράξαιντ' ἀγαθόν. Eurip. Herc. Fur. 729. προσδόκα δὲ, δρῶν κακῶς, κακόν τι πράξειν. His omnibus in exemplis, quorum similia passim obvia, πράττειν sensu τοῦ πάσχειν adhibetur.

ΑΓ. ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;
ΟΙ. πῶς δ' οὐχί, παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν;
ΑΓ. ὁθ' οὕνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
ΟΙ. πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
ΑΓ. οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρὸς, ἀλλ' ἴσον.
ΟΙ. καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί;
ΑΓ. ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος, οὔτ' ἐγώ.
ΟΙ. ἀλλ' ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο;
ΑΓ. δῶρόν ποτ', ἴσθι, τῶν ἐμῶν χειρῶν λαβών.
ΟΙ. κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα;
ΑΓ. ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
ΟΙ. σὺ δ' ἐμπολήσας, ἢ τεκών μ' αὐτῷ δίδως;
ΑΓ. εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.
ΟΙ. ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;
ΑΓ. ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν.
ΟΙ. ποιμὴν γὰρ ἦσθα, κἀπὶ θητείᾳ πλάνης;
ΑΓ. σοῦ γ', ὦ τέκνον, σωτήρ γε τῷ τότ' ἐν χρόνῳ.
ΟΙ. τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με λαμβάνεις;
ΑΓ. ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
ΟΙ. οἴμοι· τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν;
ΑΓ. λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
ΟΙ. δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.

1014. *πρὸς δίκης.* gl. *μετὰ δίκης.* *Jure, merito.* Sic El. 1211. *πρὸς δίκης γὰρ ὁ στένεις.*

1021. *παῖδά μ' ὠνομάζετο.* Sic libri omnes, absque ulla vitii suspicione. Marklandus ad Suppl. 749. emendat *παῖδά μ' ὠνόμαζεν ὤν*, quia *ὠνομάζετο* est *nominabatur*, non *nominabat*. Sed nodum in scirpo quærit. *ὠνομάζετό με παῖδα*, vi verbi reciproci plane idem est, quod *ὠνόμαζέ με ὃν παῖδα.* Sunt quidem verba apud Græcos, quæ non inveniuntur *hodie* in voce media: sed *hodie* pauca admodum supersunt Atticæ scenæ monumenta. Nescimus quantum locutionibus, quæ dubiæ nobis videntur, accederet auctoritatis, si fabulas omnes scenicorum quatuor quos novimus, haberemus. Equidem nihil hîc contra librorum fidem mutare velim.

1035. *δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.* Eustathius ad Il. *ϱ'*. p. 1097. versum hunc laudat cum insigni varietate, *καλόν γ' ὄνειδος*— quod vulgato ideo præferendum, quia his Œdipi verbis amara subest ironia, quæ inde acrior redditur. Sensum minime perspectum habuerunt interpretes. *σπαργάνων* non pendet ex suppressa præ-

ΑΓ. ὥςʼ ὠνομάσθης ἐκ τύχης ταύτης, ὃς εἶ.
ΟΙ. ὦ πρὸς θεῶν, πρὸς μητρὸς, ἢ πατρός; φράσον.
ΑΓ. οὐκ οἶδʼ· ὁ δοὺς δὲ ταῦτʼ ἐμοῦ λῷον φρονεῖ.
ΟΙ. ἢ γὰρ παρʼ ἄλλου μʼ ἔλαβες, οὐδʼ αὐτὸς τυχών;
ΑΓ. οὔκ· ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
ΟΙ. τίς οὗτος; ἦ κάτοισθα δηλῶσαι λόγῳ;
ΑΓ. τῶν Λαΐου δήπου τις ὠνομάζετο.
ΟΙ. ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ;
ΑΓ. μάλιςα. τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
ΟΙ. ἦ κἄςʼ ἔτι ζῶν οὗτος, ὥςʼ ἰδεῖν ἐμέ;
ΑΓ. ὑμεῖς γʼ ἄριςʼ εἰδεῖτʼ ἂν οἱ ʼπιχώριοι.
ΟΙ. ἔςιν τὶς ὑμῶν, τῶν παρεςώτων πέλας,

positione ἐκ, quod Scholiastes sensisse videtur: inepta est Johnsoni versio: *atrox sane dedecus cunabulorum pertuli.* *σπάργανα* sunt *monumenta, crepundia,* ut bene Donatus ad Terentii Eunuchum, iv. 6. 15. MONUMENTA *sunt, quæ Græci dicunt γνωρίσματα καὶ σπάργανα.* Vide ad eum locum eruditam Frid. Lindenbruchii notam.

1037. *πρὸς μητρὸς, ἢ πατρός;* Glossa supplet, ἔπαθον τοῦτο, τὸ διατρηθῆναι τὰ ἄρθρα; (*d*)

1046. Aldus et codd. εἰδῆτʼ ἄν. gl. ἤγουν εἰδείητε, quod lectionem nostram confirmat εἰδεῖτʼ ἄν. Optativus hic omnino requiritur. Verum in hujus formæ optativis frequens est librariorum lapsus, qui plerumque offenderunt ad contractionem Atticam εἶτον, εἴτην, εἶμεν, εἶτε, scenicis poëtis nostris solam usitatam. In Comici Ran. 1448. codd. exhibebant σωθείημεν ἄν contra metrum et sermonis Attici usum, ubi reponi debuit σωθεῖμεν ἄν, amoto vulgatorum librorum solœcismo σωθῶμεν ἄν. Sic apud Eurip. Helen. 824. legitur σωθεῖμεν ἄν: in eodem Dramate λυπηθεῖμεν ἄν: Herc. Fur. ἐκβαῖμεν ἄν. Græci sermonis proprietatem ignorant, quicunque promiscuum usum esse credunt optativi et subjunctivi. εἰδῆτʼ ἄν plane et putide hic solœcum esset, ut in Eurip. Medea, 737. μεθῇς ἄν, quam Mureti conjecturam vir quidam doctus admittendam esse nuper contendebat pro vulgato μεθεῖς ἄν, quod quidem Musgravio probari potuisse miror, quum ne Græcum quidem sit. Veram lectionem revocavi, non ex conjectura, ut falso objectum fuit, sed ex fide Florent. editionis capitalibus literis excusæ, μεθεῖʼ ἄν. Elisionis signum, seu apostrophum, in sibilum mutaverat librariorum stupor, quod alibi etiam observatum. In Comici Ran. 437. legebatur αἴροις ἄν, pro αἴροιʼ ἄν: in Pl. 1140. membr. Reg. ὀφίλοις exhibent, ubi germanus usus linguæ ὀφίλοιʼ flagitat: in Philoct. 119. pro κεκλῇʼ ἅμα, codd. dant κέκλησʼ ἅμα. Quod autem docti quidam viri statuerunt formam mediam verbi μεθίημι cum quarto casu legitime non construi, id merum commentum est, quod alibi confutavimus.

ὅςις κάτοιδε τὸν βοτῆρ', ὃν ἐννέπει,
εἴτ' οὖν ἐπ' ἀγρῶν, εἴτε κἀνθάδ' εἰσιδών;
σημήναθ', ὡς ὁ καιρὸς εὑρῆσθαι τάδε.

ΧΟ. οἶμαι μὲν οὐδέν' ἄλλον, ἢ τὸν ἐξ ἀγρῶν,
ὃν κἀμάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
ἥδ' ἂν τάδ' οὐχ ἥκις' ἂν Ἰοκάςη λέγοι.

ΟΙ. γύναι, νοεῖς ἐκεῖνον, ὅντιν' ἀρτίως
μολεῖν ἐφιέμεσθα, τόν θ' οὗτος λέγει;

ΙΟ. τίς δ', ὅντιν' εἶπε; μηδὲν ἐντραπῇς. τὰ δὲ
ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι μάτην.

ΟΙ. οὐκ ἂν γένοιτο τοῦθ', ὅπως ἐγὼ λαϐὼν
σημεῖα τοιαῦτ', οὐ φανῶ τοὐμὸν γένος.

ΙΟ. μή, πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου
κήδῃ, ματεύσῃς τοῦθ'· ἅλις νοσοῦσ' ἐγώ.

ΟΙ. θάρσει. σὺ μὲν γάρ, οὐδ' ἂν ἐκ τρίτης ἐγὼ
μητρὸς φανῶ τρίδουλος, ἐκφανεῖ κακή.

ΙΟ. ὅμως πιθοῦ μοι, λίσσομαι· μὴ δρᾶ τάδε.

ΟΙ. οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς.

ΙΟ. καὶ μὴν φρονοῦσά γ' εὖ, τὰ λῷςά σοι λέγω.

ΟΙ. τὰ λῷςα τοίνυν ταῦτά μ' ἀλγύνει πάλαι.

ΙΟ. ὦ δύσποτμ', εἴθε μήποτε γνοίης ὃς εἶ.

ΟΙ. ἄξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;
ταύτην δ' ἐᾶτε πλουσίῳ χαίρειν γένει.

ΙΟ. ἰού, ἰού, δύςηνε· τοῦτο γάρ σ' ἔχω

1048. κάτοιδε. gl. ἀντὶ τῦ εἶδε. Compositum pro simplice, ut supra, 854. διεῖπε, ἀντὶ τοῦ εἶπε.

1052. κἀμάτευες. Attica crasis pro καὶ ἐμάτευες. Hac in re sæpe a librariis peccatum. Vide quæ notavimus ad Comici Equites 269.

1054. νοεῖς. gl. συνάγεις τῷ νῷ, συμϐιϐάζεις.

1061. ἅλις νοσοῦσ' ἐγώ. Sic bene Scholiastes. Perperam codd. et Aldus νοσοῦσ' ἔχω. In Antig. 547. ἀρκέσω θνήσκουσ' ἐγώ.

1062. θάρσει. Male Aldus et codd. θάῤῥει. Vide Valckenarium ad Phœn. p. 22.—ἐκ τρίτης μητρὸς τρίδουλος. Vide Musgravium ad Eurip. Androm. 637. et confer Eustathium ad Iliad. θ'. p. 725. l. 19.—κακή. gl. δυσγενής.

1064. μὴ δρᾶ τάδε. Sic in tribus codd. cum glossa, μὴ ποίει. Reliqui cum Aldo μὴ δρᾶν.

1069. ἐλθών. gl. ἀπελθών.

μόνον προσειπεῖν, ἄλλο δ' οὔ ποθ' ὕστερον.
ΧΟ. τί ποτε βέβηκεν, Οἰδίπους, ὑπ' ἀγρίας
ᾄξασα λύπης ἡ γυνή; δέδοιχ' ὅπως
μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναῤῥήξει κακά.
ΟΙ. ὁποῖα χρήζει ῥηγνύτω· τοὐμὸν δ' ἐγώ,
κεἰ σμικρόν ἐστι, σπέρμ' ἰδεῖν βουλήσομαι.
αὕτη δ' ἴσως, φρονεῖ γὰρ ὡς γυνὴ μέγα,
τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται.
ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς Τύχης νέμων
τῆς εὖ διδούσης, οὐκ ἀτιμασθήσομαι.
τῆς γὰρ πέφυκα μητρός· οἱ δὲ συγγενεῖς
μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.
τοιόσδε δ' ἐκφύς, οὐκ ἂν ἐξέλθοιμ' ἔτι
ποτ' ἄλλος, ὥστε μὴ 'κμαθεῖν τοὐμὸν γένος.

## ΧΟΡΟΣ.

Εἴπερ ἐγὼ μάντις εἰμὶ στροφή.
καὶ κατὰ γνώμην ἴδρις,
οὐ τὸν Ὄλυμπον, ἀπείρων,
ὦ Κιθαιρὼν, οὐκ ἔσει
τὰν αὔριον πανσέληνον,

1073. Confer Antig. 1244. Trach. 813.

1074. ᾄξασα. Perperam Aldus ἀΐξασα. Turnebus αἴξασα. Atticis poëtis ᾄσσω, ᾄττω dissyllaba sunt. Vide Valckenarium ad Phœn. p. 467. Glossa, ὁρμήσασα.

1075. ἀναῤῥήξει. Sic liquido D. E. cum uno e Britannis. Reliqui cum Aldo solœce ἀναῤῥήξῃ. Particulæ ὅπως μὴ, οὐ μὴ, cum aor. 1. subjunctivo formæ vel activæ vel mediæ legitime non construuntur.

1077. σπέρμ' ἰδεῖν. gl. γένος γνῶναι.

1082. τῆς γὰρ— Recte gl. ταύτης. Articulus ὁ pronominis vicem sustinet, pro οὗτος, quod quidem in feminino genere vitasse poëtas Atticos Marklandus credidisse videtur ad Supplices, p. 251. Sed falsum eum fuisse hic locus ostendit, et infra, v. 1466. ταῖς μοι μέλεσθαι, id est τούτων.

1083. διώρισαν. gl. ἔταξαν.

1088. ἀπείρων. Sic Aldus et codd. quos vidi omnes. In plerisque glossa ἄπειρος. Mirum esset profecto ni futiles quædam chartæ reperirentur, in quibus glossa genuinæ voci substituta fuisset. Vide lexicon in Ἀπείρονας. Diversæ formæ sunt ἄπειρος et ἀπείρων, ut ὅμαιμος ὁμαίμων, aliaque multa. ἀπείρων occurrit apud Plutarchum in Paulo Æmilio, p. 177. eodem sensu, pro ἀπείρατος, ubi recepta lectio temere ab aliis solicitatur, ab editore autem pessime exponitur.

μὴ οὐ σέ γε καὶ πατριώταν Οἰδίπου
καὶ τροφὸν καὶ μητέρ' αὔξειν,
καὶ χορεύεσθαι πρὸς ἡμῶν,
ὡς ἐπίηρα φέρον-
τα τοῖς ἐμοῖς τυράννοισιν.
ἰήιέ σοι Φοῖβε,
σοὶ δὲ ταῦτ' ἀρέστ' εἴη.
τίς σε, τέκνον, τίς σ' ἔτικτε ἀντιστρ.
τῶν μακραιώνων; ἆρα
Πανὸς ὀρεσσιβάτα που
προσπελασθεῖσ', ἤ σέ γε
τις θυγάτηρ, Λοξίου; τῷ
γὰρ πλάκες ἀγρονόμοι πᾶσαι φίλαι·
εἴθ' ὁ Κυλλάνας ἀνάσσων,
εἴθ' ὁ Βακχεῖος θεὸς ναί-
ων ἐπ' ἄκρων ὀρέων,
εὕρημα δέξατ' ἔκ του Νυμ-
φᾶν Ἑλικωνιάδων,
αἷσι πλεῖστα συμπαίζει.

ΟΙ. Εἰ χρή τι κἀμὲ, μὴ ξυναλλάξαντά πω,
πρέσβυ, σταθμᾶσθαι, τὸν βοτῆρ' ὁρᾶν δοκῶ,

1096. ἰήιέ σοι Φοῖβε. Pronomen venuste hic repetitum in nullo comparet libro, etsi necessarium est ad integritatem versus. Nihil verius observatione desideratissimi Valckenarii in egregio ad Phœnissas commentario, p. 374. *Versus in choricis cantilenis corruperunt sæpenumero librarii, dum voces omittunt, quæ fuerant eædem repetendæ. Hoc mendarum genus late patet.* Hujus librariorum socordiæ exempla bene multa enotavimus ad Comicum. Vide supplementum notarum in Nubes 1443. et Indicem in *Repetendæ voces a librariis sæpe omissæ.*

1099. ἄρα prima brevi scribendum; versus est trochaicus.

1100. Voculam που ex probabili conjectura ab Heathio additam, non agnoscunt codices. ὀρεισσιβάτα scriptum in E. T.

1102. θυγάτηρ non semper relative *filiam* significat; sed quandoque, ut hic, absolute *puellam*. Sic ἄλοχοι supra, 183. absolute *mulieres*. Utrumque observavit Musgravius ad Eurip. Helen. 1321. Androm. 1039. —τῷ γὰρ, id est τούτῳ, τῷ Ἀπόλλωνι, cujus proxime præcessit mentio, quique passim Νόμιος appellatur. Perperam in glossis τῷ Πανί.

1109. αἷσι. Male Aldus et veteres codd. αἷς.

1111. πρέσβυ. Aldus, πρέσβεις, ut

ὅνπερ πάλαι ζητοῦμεν. ἔν τε γὰρ μακρῷ
γήρᾳ ξυνᾴδει, τῷδέ τ' ἀνδρὶ ξύμμετρος·
ἄλλως τε τοὺς ἄγοντας, ὥσπερ οἰκέτας
ἔγνωκ' ἐμαυτοῦ· τῇ δ' ἐπιστήμῃ σύ μου
προὔχοις, τάχ' ἄν που τὸν βοτῆρ' ἰδὼν πάρος.
ΧΟ. ἔγνωκα γάρ, σάφ' ἴσθι. Λαΐου γὰρ ἦν,
εἴπερ τις ἄλλος, πιστὸς, ὡς νομεὺς ἀνήρ.
ΟΙ. σὲ πρῶτ' ἐρωτῶ, τὸν Κορίνθιον ξένον,
ἦ τόνδε φράζεις;
ΑΓ. τοῦτον, ὅνπερ εἰσορᾷς.
ΟΙ. οὗτος σὺ πρέσβυ, δεῦρό μοι φώνει βλέπων
ὅσ' ἄν σ' ἐρωτῶ. Λαΐου ποτ' ἦσθα σύ;

ΘΕΡΑΠΩΝ.

ἦν δοῦλος, οὐκ ὠνητὸς, ἀλλ' οἴκοι τραφείς.
ΟΙ. ἔργον μεριμνῶν ποῖον, ἢ βίον τίνα;

B. in textu, superscripta Var. Lect. γρ. πρέσβυ. In C. D. πρέσβυν cum. gl. τὸν γηραιόν. Alii πρέσβυν et πρέσβεις habent, altero alteri superscripto. Harum lectionum unice vera est πρέσβυ, quod maxime ex eo perspicuum est, quod mox sequitur, σύ μου προὔχοις. Chorum quum alloquuntur tragicæ personæ, numero singulari haud minus sæpe utuntur quam plurali, ut supra, 658. 687. infra, 1321. passimque in quibuscunque dramatibus. Hoc librarius quum minus perspexisset, πρέσβεις intulit. πρέσβυν absolute sine articulo, fere solœcum est.

1112. ἐν μακρῷ γήρᾳ ξυνᾴδει. Male hæc acceperunt veteres magistri, qui supplebant, ἐν μακρῷ γήρᾳ ὢν συμφωνεῖ τῷ λόγῳ. Præpositio ἐν hîc, ut sæpe alias, abundat. Supra, 821. Antig. 962. 1003. Phil. 1160. Ordo est: τῷ μακρῷ γήρᾳ ξυνᾴδει, καὶ ξύμμετρός ἐστιν ἀνδρὶ τῷδε, nempe τῷ Κορινθίῳ ἀγγέλῳ. Scribi etiam potuisset, nec forte deterius, τῷδε τἀνδρί, sublata distinctione post ξυνᾴδει.

1117. ἔγνωκα γάρ. Glossa in B. δή. Nempe γὰρ pro δὴ hîc poni docet. At in D. ναὶ ante ἔγνωκα suppletum, ne otiosum γὰρ videatur. Nihil tale comminisci necesse est. αἰτιολογικὸν γὰρ præponitur ob inversionem membrorum in phrasi: σάφ' ἴσθι αὐτὸν ἐκεῖνον ὁρῶν. ἔγνωκα γὰρ αὐτόν.

1121. δεῦρο βλέπων. Sic in Trach. 402. οὗτος, βλέφ' ὧδε. Formula parandæ attentionis, Comicis usitatissima, apud Plautum diversimode variata: *Agedum respice ad me. Huc me specta et responde mihi. Aspicedum contra me.*

1123. ἦν δοῦλος. Sic nostri codd. Vide Lexicon in ἦ pro ἦν.—οἴκοι τραφείς, quem Attici una voce οἰκότριβα appellabant, quique supra, v. 756. οἰκεὺς dicitur. Vocem οἰκοτραφὴς, quam quis forte putaverit a poëta hîc adhibitam fuisse, ut Atticis inusitatam damnant Thomas M. et Mœris.

ΘΕ. ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνειπόμην.
ΟΙ. χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;
ΘΕ. ἦν μὲν Κιθαιρὼν, ἦν δὲ πρόσχωρος τόπος.
ΟΙ. τὸν ἄνδρα τόνδ' οὖν οἶσθα τῇδέ που μαθών;
ΘΕ. τί χρῆμα δρῶντα; ποῖον ἄνδρα καὶ λέγεις;
ΟΙ. τόνδ', ὃς πάρεστιν. ἢ ξυναλλάξας τί πω;
ΘΕ. οὐχ ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ὕπο.
ΑΓ. κοὐδέν γε θαῦμα, δέσποτ'. ἀλλ' ἐγὼ σαφῶς
ἀγνῶτ' ἀναμνήσω νιν. εὖ γὰρ οἶδ' ὅτι
κάτοιδεν, ἦμος τὸν Κιθαιρῶνος τόπον,
ὁ μὲν διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ,
ἐπλησίαζεν τῷδε τἀνδρὶ τρεῖς ὅλους
ἐξ ἦρος εἰς ἀρκτοῦρον ἐμμήνους χρόνους·
χειμῶνι δ' ἤδη τἀμά τ' εἰς ἔπαυλ' ἐγὼ
ἤλαυνον, οὗτός τ' ἐς τὰ Λαΐου σταθμά.
λέγω τι τούτων, ἢ οὐ λέγω πεπραγμένον;
ΘΕ. λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου.
ΑΓ. φέρ' εἰπὲ νῦν, τότ' οἶσθα παῖδά μοί τινα
δοὺς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ;
ΘΕ. τί δ' ἔστι; πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς;
ΑΓ. ὅδ' ἐστὶν, ὦ 'τὰν, κεῖνος, ὃς τότ' ἦν νέος.
ΘΕ. οὐκ εἰς ὄλεθρον; οὐ σιωπήσας ἔσει;
ΟΙ. ἆ, μὴ κόλαζε, πρέσβυ, τόνδ', ἐπεὶ τὰ σὰ
δεῖται κολαστοῦ μᾶλλον, ἢ τὰ τοῦδ' ἔπη.

1130. *ἢ ξυναλλάξας τί πω.* Sic liquido in D. Gl. *ἢ συντυχὼν κατά τι.* In membr. *ἢ ξυνήλλαξας.* Continuatio est præcedentis interrogationis: *ἆρ' οἶσθα τοῦτον τὸν ἄνδρα τῇδέ που μαθὼν, ἢ ξυναλλάξας τί πω;* Perperam in impressis *ἦ.*

1133. *ἀγνῶτά νιν.* gl. *ἀντὶ τοῦ ἐπιλαθόμενον αὐτόν.*

1136. *ἐπλησίαζεν.* Sic legendum esse meridiana luce clarius est: *οἶδεν ὁπηνίκα κατὰ τὸν Κιθαιρῶνα ἐπλησίαζεν ἐμοί*—Codd. omnes et Aldus *ἐπλησίαζον* cum gl. *συνανεστρεφόμην.* Versus præcedens totus est *διὰ μέσου.* seu in parenthesi: supplendum vel *σὺν,* vel *ἐπιστατῶν*: nominativi sunt absoluti *ὁ μὲν, ἐγὼ δ'*—

1144. *τοῦτο τὸ ἔπος, hanc rem.* Hoc sensu *ἔπος* apud Homerum frequens.

1146. *οὐκ εἰς ὄλεθρον;* supple *ἀποφθερεῖ,* vel *ἄπει,* ut supra, 430. Comicus Nub. 789. Eq. 892. *οὐκ εἰς κόρακας ἀποφθερεῖ; nonne in malam rem ibis?*

ΘΕ. τί δ', ὦ φέριστε δεσποτῶν, ἁμαρτάνω;
ΟΙ. οὐκ ἐννέπων τὸν παῖδ', ὃν οὗτος ἱστορεῖ.
ΘΕ. λέγει γὰρ εἰδὼς οὐδέν, ἀλλ' ἄλλως πονεῖ.
ΟΙ. σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλαίων δ' ἐρεῖς.
ΘΕ. μὴ δῆτα, πρὸς θεῶν, τὸν γέροντά μ' αἰκίσῃ.
ΟΙ. οὐχ ὡς τάχος τις τοῦδ' ἀποστρέψει χέρας;
ΘΕ. δύστηνος, ἀντὶ τοῦ; τί προσχρῄζων μαθεῖν;
ΟΙ. τὸν παῖδ' ἔδωκας τῷδ' ὃν οὗτος ἱστορεῖ;
ΘΕ. ἔδωκ'· ὀλέσθαι δ' ὤφελον τῇδ' ἡμέρᾳ.
ΟΙ. ἀλλ' εἰς τόδ' ἥξεις, μὴ λέγων γε τοὔνδικον.
ΘΕ. πολλῷ γε μᾶλλον, ἢν φράσω, διόλλυμαι.
ΟΙ. ἀνὴρ ὅδ', ὡς ἔοικεν, ἐς τριβὰς ἐλᾷ.
ΘΕ. οὐ δῆτ' ἔγωγ'· ἀλλ' εἶπον, ὡς δοίην, πάλαι.
ΟΙ. πόθεν λαβών; οἰκεῖον, ἢ 'ξ ἄλλου τινός;
ΘΕ. ἐμὸν μὲν οὐκ ἔγωγ'· ἐδεξάμην δέ του.
ΟΙ. τίνος πολιτῶν τῶνδε, κἀκ ποίας στέγης;
ΘΕ. μή, πρὸς θεῶν, μή, δέσποθ', ἱστόρει πλέον.
ΟΙ. ὄλωλας, εἴ σε ταῦτ' ἐρήσομαι πάλιν.
ΘΕ. τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων.
ΟΙ. ἦ δοῦλος, ἢ 'κείνου τις ἐγγενὴς γεγώς;
ΘΕ. οἴμοι· πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.
ΟΙ. κἄγωγ' ἀκούειν. ἀλλ' ὅμως ἀκουστέον.
ΘΕ. κείνου γέ τοι δὴ παῖς ἐκλῄζεθ'· ἡ δ' ἔσω
κάλλιστ' ἂν εἴποι σὴ γυνὴ τάδ' ὡς ἔχει.
ΟΙ. ἦ γὰρ δίδωσιν ἥδε σοι;
ΘΕ. μάλιστ', ἄναξ.

1158. τοὔνδικον, *justum*, id est, *verum*. Hesych. ἔνδικον, ἀληθές.

1160. ἐς τριβὰς ἐλᾷ, eodem sensu quo apud Comicum Acharn. 386. πορίζεις τριβάς. Neutiquam placet docti viri apud Heathium interpretatio, *recta ad fustuarium tendit*. Alius Britannus pro τριβὰς, legere malit στραβὰς, quam conjecturam sibi servare poterat.

1170. κἄγωγ' ἀκούειν. Perperam codd. et Aldus ἀκούων, manifesta menda. Duobus in locis Valckenario indicatis ad Phœnissas, p. 140. hos versus citat Plutarchus, recte legens utrobique ἀκούειν, ut etiam legisse constat auctorem veteris glossæ: καὶ ἐγὼ ἐπ' αὐτῷ εἰμὶ τῷ δεινῷ ἀκούειν.

1174. ὡς πρὸς τί χρείας; gl. ὡς ἐπὶ ποίᾳ χρείᾳ;

ΟΙ. ὡς πρὸς τί χρείας;
ΘΕ. ὥς ἀναλώσαιμί νιν.
ΟΙ. τεκοῦσα τλήμων;
ΘΕ. θεσφάτων κακῶν ὄκνῳ.
ΟΙ. ποίων;
ΘΕ. κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος.
ΟΙ. πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ;
ΘΕ. κατοικτίσας, ὦ δέσποθ', ὡς ἄλλην χθόνα
δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
κάκ' εἰς μέγις' ἔσωσεν. εἰ γὰρ οὗτος εἶ,
ὅν φησιν οὗτος, ἴσθι δύσποτμος γεγώς.
ΟΙ. ἰοὺ, ἰού· τὰ πάντ' ἂν ἐξίκοι σαφῆ.
ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν,
ὅςις πέφασμαι φός τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς τ'
οὐ χρῆν μ' ὁμιλῶν, οὕς τ' ἔμ' οὐκ ἔδει κτανών.

## ΧΟΡΟΣ.

Ἰὼ γενεαὶ βροτῶν,
ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν
ζώσας ἐναριθμῶ.
τίς γὰρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει,
ἢ τοσοῦτον ὅσον δοκεῖν,
καὶ δόξαντ' ἀποκλῖναι;

1175. θεσφάτων κακῶν ὄκνῳ. Sic concinne in D. Tres codd. et Aldus θεσφάτων γ' ὄκνῳ κακῶν. Idem in T. vocum ordo, omissa particula γε.

1178. ὡς ἄλλην χθόνα. Sic Aldus et codices omnes veteres. ὡς hîc non valet εἰς, quandoquidem ab Atticis ea potestate non adhibetur, nisi rei animatæ junctum. Sed est pro καθὰ, et subauditur εἰς ellipsi perquam frequenti: quemadmodum recte hæc in glossis explicantur; καθὰ δοκῶν ἐκεῖνον ἀποίσειν τὸν παῖδα εἰς ἄλλην χθόνα, ἔνθεν αὐτὸς ἦν. Temere Triclinius veterem scripturam mutavit.

1186. Choricum hunc canticum in duas strophas et totidem antistrophas, undenûm singulas versuum, dividit Heathius: quod si absque ulla interpolatione fieri posset, libens admitterem. Sed eo minus a codicum fide discedere volui, quo minus intelligo, quid nostra intersit monostrophicane an antistrophica hæc sint.

τὸ σόν τοι παράδειγμ' ἔχων,
τὸν σὸν δαίμονα, τὸν σὸν, ὦ τλᾶμον
Οἰδιπόδα, βροτῶν οὐδένα μακαρίζω·
ὅστις καθ' ὑπερβολὰν τοξεύσας,
ἐκράτησας τοῦ πάντ' εὐδαίμονος ὄλβου·
ὦ Ζεῦ, κατὰ μὲν φθίσας τὰν γαμψώνυχα
παρθένον χρησμῳδόν·
θανάτων δ' ἐμᾷ χώρᾳ πύργος ἀνέστας·
ἐξ οὗ καὶ βασιλεὺς καλῇ ἐμὸς,
καὶ τὰ μέγιστ' ἐτιμάθης,
ταῖς μεγάλαισιν ἐν Θήβαις ἀνάσσων.
τανῦν δ' ἀκούειν, τίς ἀθλιώτερος;
τίς ἐν πόνοις, τίς ἄταις ἀγρίαις
ξύνοικος ἀλλαγᾷ βίου;
ἰὼ κλεινὸν Οἰδίπου κάρα,
ᾧ μέγας λιμὴν ὠὐτὸς ἤρκεσε
παιδὶ καὶ πατρὶ θαλαμηπόλῳ πεσεῖν,
πῶς ποτε, πῶς ποθ' αἱ πατρῷαί σ'
ἄλοκες φέρειν, τάλας,
σῖγ' ἐδυνάθησαν ἐς τοσόνδε;
ἐφεῦρέ σ' ἄκονθ' ὁ πάνθ' ὁρῶν χρόνος·
δικάζει τὸν ἄγαμον γάμον πάλαι
τεκνοῦντα καὶ τεκνούμενον.
ἰὼ Λαΐειον τέκνον,
εἴθε σ' εἴθε μήποτ' ἰδόμαν.
ὀδύρομαι γὰρ ὡς περίαλλα
ἰαχαίων ἐκ στομάτων.

1208. λιμὴν ὠὐτός. Perperam vulgo αὐτός. Glossa supplet ὁ, ut sit ὁ αὐτός. Vid. Not. ad v. 557. ἤρκεσεν codd. omnes habent. Typothetæ errore in Aldina ἤρκησεν.

1209. In D. παιδὶ, πατρὶ, καὶ θαλαμηπόλῳ πεσεῖν.

1212. ἐδυνάθησαν. Sic B. cum gl. ἐδυνήθησαν. Vulgo ἐδυνάσθησαν.

1214. δικάζει. gl. καταδικάζει. Reddi poterat *ulciscitur, pœnas repetit*. Vide quæ notavimus ad Eurip. Med. 157.

1219. ἰαχαίων ἐκ στομάτων. Sic

τὸ δ' ὀρθὸν εἰπεῖν,
ἀνέπνευσά τ' ἐκ σέθεν, καὶ
κατεκοίμισα τοὐμὸν ὄμμα.

## ΕΞΑΓΓΕΛΟΣ.

Ὦ γῆς μέγιστα τῆσδ' ἀεὶ τιμώμενοι,
οἷ' ἔργ' ἀκούσεσθ', οἷα δ' εἰσόψεσθ', ὅσον δ'
ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς ἔτι
τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων.
οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον, οὔτε Φᾶσιν ἂν
νίψαι καθαρμῷ τήνδε τὴν στέγην, ὅσα
κεύθει· τὰ δ' αὐτίκ' ἐς τὸ φῶς φανεῖ κακὰ
ἑκόντα, κοὐκ ἄκοντα. τῶν δὲ πημονῶν
μάλιστα λυποῦσ' αἳ 'ν φανῶσ' αὐθαίρετοι.

ΧΟ. λείπει μὲν οὐδ' ἃ πρόσθεν ᾔδειμεν, τὸ μὴ οὐ
βαρύστον' εἶναι· πρὸς δ' ἐκείνοισιν τί φῄς;

ΕΞ. ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα.

ΧΟ. ὦ δυστάλαινα· πρὸς τίνος ποτ' αἰτίας;

optime C. Nomen est adjectivum ἰαχαῖος ab ἰαχὴ derivatum. In D. ἀχίων. In reliquis ἰαχίων cum gl. φωνῶν.

1222. κατεκοίμισα. Sic liquido B. D. E. T. August. qua de scriptura ne dubitari possit, superscripta in duobus gl. ἀντὶ τοῦ κοίμισα διὰ τοῦ ι. In impressis κατεκοίμησα.

1234. ὁ μὲν τάχιστος. Operosum esset absque ullo fructu, si conjecturas omnes, quibus male feriati homines Sophoclis scripta emendare sibi visi sunt, recensere vellem. Quod permultas ne verbulo quidem attingam, nemo opinetur eas mihi incognitas esse. Sed futiles nugæ sani ingenii lectoribus nihil nisi tædium afferrent. Quis unquam in animum inducet in hoc versu scriptum olim fuisse ὁ μὲν τ' ἄχθιστος, vel ἔχθιστος, quia nupero editori Britanno τάχιστος frigidum videtur? aliis bene multis videtur inprimis opportunum. At quod non videtur solum, sed et pro certissimo haberi debet, istud est: *Atticorum poëtarum, quotquot fuerunt, nulli vocalem correptam fuisse ante literas κτ, vel, quod perinde est, χθ in eadem voce.* Frustra obmovetur Sam. Clarkius, qui de prosodia Homerica satis perite egit: sed quæcunque ille Homero licuisse ostendit, nihil ea ad scenæ Atticæ usum faciunt, cujus ex reliquiis vel unicum exemplum rem conficere poterat; sed nec exstat, nec exstitit unquam.—εἰπεῖν τε καὶ μαθεῖν. gl. εἰς τὸ εἰπεῖν ἐμὲ δηλονότι, καὶ εἰς τὸ μαθεῖν ὑμᾶς.

ΕΞ. αὕτη πρὸς αὑτῆς. τῶν δὲ πραχθέντων τὰ μὲν
ἄλγισ' ἄπεστιν· ἡ γὰρ ὄψις οὐ πάρα.
ὅμως δ', ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι,
πεύσει τὰ κείνης ἀθλίας παθήματα.
Ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ' ἔσω
θυρῶνος, ἵετ' εὐθὺ πρὸς τὰ νυμφικὰ
λέχη, κόμην, σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς·
πύλας δ', ὅπως εἰσῆλθ', ἐπιῤῥήξασ', ἔσω,
'κάλει τὸν ἤδη Λάϊον πάλαι νεκρὸν,
μνήμην παλαιῶν σπερμάτων ἔχουσ', ὑφ' ὧν
θάνοι μὲν αὐτὸς, τὴν δὲ τίκτουσαν λίποι
τοῖς οἷσιν αὐτοῦ δύστεκνον παιδουργίαν.
ἐγοᾶτο δ' εὐνὰς, ἔνθα δύστηνος διπλοῦς,
ἐξ ἀνδρὸς ἄνδρα, καὶ τέκν' ἐκ τέκνων τέκοι.
χὤπως μὲν ἐκ τῶνδ' οὐκ ἔτ' οἶδ' ἀπόλλυται.
βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους, ὑφ' οὗ
οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν·
ἀλλ' εἰς ἐκεῖνον περιπολοῦντ' ἐλεύσσομεν.
φοιτᾷ γὰρ, ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν,
γυναῖκά τ' οὐ γυναῖκα, μητρῴαν δ' ὅπου

1242. ἵετ' εὐθύ. Sic recte C. In D. ἵετ' eum gl. ὥρμα—εὐθὺ, κατ' ὀρθόν. Sed in textu male εὐθύς. In impressis ἵεσ' εὐθύ. Verbi ἵεμαι prima producitur in temporibus quæ augmentum recipiunt. Sic in Antig. 432. ἱέμεσθα prima longa. Vide quæ notavimus ad Comici Concion. 346. Perperam spiritu aspero notatur in D. Eadem menda in Eurip. Suppl. 700. ubi scriptum oportuit: 'Αλλ' ἵετ' εὐθὺς, λάμπρ' ἀναρπάσας ὅπλα.

1244. Glossa: ὅπως δὲ εἰσῆλθεν ἔσω, ἐπιῤῥήξασα, ἤγουν κλείσασα, τὰς πύλας. Vide Eustathium ad Homeri locum quem citat Scholiastes, p. 1358.

1246. σπερμάτων. gl. παίδων. τουτέστι τοῦ Οἰδίποδος.

1249. ἐγοᾶτο. Minus bene vulgo γοᾶτο absque augmento, quod Attici omittere non solent, nisi metri necessitate coacti. In B. scriptum 'γοᾶτο. Sed hic elisio non habet locum, quum præcedens versus in consonantem desinat.

1250. ἐξ ἀνδρὸς ἄνδρα. Sic D. T. Gl. ἐκ τοῦ Λαΐου τὸν Οἰδίποδα. Ceteri codd. et Aldus ἄνδρας, quod minus placet.

1256. γυναῖκά τε. gl. δηλονότι ἐξαιτῶν ἀπὸ κοινοῦ. Possis etiam extrinsecus arcessere verbum ex analogia: ἐξαιτῶν ἡμᾶς πορεῖν οἱ ἔγχος, καὶ δεικνύειν ὅπου κίχοι—

κίχοι διπλῆν ἄρουραν οὗ τε καὶ τέκνων.
λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις·
οὐδεὶς γὰρ ἀνδρῶν, οἳ παρῆμεν ἐγγύθεν.
δεινὸν δ' ἀΰσας, ὡς ὑφηγητοῦ τινὸς,
πύλαις διπλαῖς ἐνήλατ'· ἐκ δὲ πυθμένων
ἔκλινε κοῖλα κλῆθρα, κἀμπίπτει στέγῃ,
οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' ἐσείδομεν,
πλεκταῖς ἑώραις ἐμπεπλεγμένην. ὁ δὲ
ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
χαλᾷ κρεμαστὴν ἀρτάνην. ἐπεὶ δέ γ' ἡ
τλήμων ἔκειτο, δεινὰ τἀνθένδ' ἦν ὁρᾶν.

1260. ὑφηγητοῦ. Sic una voce codd. omnes, recte. Gl. ὁδηγοῦ. Perperam in impressis, ὑφ' ἡγητοῦ. Subauditur cognatum verbum, ὡς ὑφηγητοῦ τινὸς ὑφηγουμένου αὐτῷ. Sic supra, 966. absolute ὢν ὑφηγητῶν. Et Œd. Col. 1588. ὑφηγητῆρος οὐδενὸς φίλων, scilicet παρόντος, vel ὑφηγουμένου.

1262. κλῆθρα. Aldus κλεῖθρα, ut hîc etiam codd. Sed multis aliis in locis Atticam servant scripturam, quam in v. 1287. repræsentant Romana scholia.

1264. ἑώραις. In tribus codd. αἰώραις, proba quidem forma, sed quam metrum hîc non admittit. Eustath. ad Iliad. γ'. p. 389. ἠερέθεσθαι δὲ, κυρίως μὲν τὸ ἐν ἀέρι κρέμασθαι, ἐξ οὗ καὶ ἡ αἰώρα—ὅτι δὲ ἡ ῥηθεῖσα αἰώρα καὶ διὰ τοῦ ε ψιλοῦ ἔχει τὴν ἄρχουσαν, ὡς δηλοῖ οὐ μόνον τὸ, Πλεκταῖς ἑώραις ἐμπεπλεγμένην, ἀλλὰ καὶ τὸ μετέωρος, ἕτεροι ἐπαγωνιζέσθωσαν.

1266. Aldus edidit: ἐπεὶ δὲ γῇ ἔκειθ' ὁ τλήμων, δεινὰ δ' ἦν τἀνθένδ' ὁρᾶν. quæ lectio depravatissima est. In B. ἐπὶ δὲ γῇ ἔκειθ' ὁ τλήμων, superscripta glossa ἡ ἀθλία, quod ineptum est. Aliquanto melius in D. ἐπὶ δὲ γῇ ἔκειτο τλάμων, eadem superscripta glossa ἡ ἀθλία. Quod sequitur membrum nulla particula connecti debet, saltem particula δὲ neutiquam: quæ adversativa est, nec hîc locum habere potest. In solo T. pro varia lectione reperi δεινά γ' ἦν, quæ Triclinii emendatio esse videtur. Inutilis soli, γῆς mentio. Per se satis intelligitur, cadaver quod modo pensile conspectum fuit, simulac solutus vel abscissus fuit laqueus, decidisse, et humi jacuisse: verum ex linguæ indole vix abesse potest articulus ἡ. Ex γ' ἡ imperitus librarius eo facilius fecit γῇ, quod olim ι non subscribebatur, quod nec in ullo veterum codd. comparet, quos ad manum habeo. Eadem socordia concinnum verborum ordinem inverterunt, et ex ἔκειτο plerique fecerunt ἔκειθ' ὁ. Quantum fieri potuit caverunt tragici Poëtæ in senariis a concursu ejusdem vel similis soni vocalium in fine versus et sequentis initio. Non scripsisset Sophocles ἐπεὶ δὲ γῇ ἔκειτο τλήμων, quum scribere posset ἐπεὶ δὲ γῇ τλήμων ἔκειτο. Sed ex omni parte veram scripturam restituimus: ἐπεὶ δέ γ' ἡ τλήμων ἔκειτο, δεινὰ τἀνθένδ' ἦν ὁρᾶν.

ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεςέλλετο,
ἄρας ἔπαισεν ἄρθρα τῶν αὐτοῦ κύκλων,
αὐδῶν τοιαῦθ'· Ὅθ' οὕνεκ' οὐκ ὄψοιντό νιν,
οὔθ' οἷ' ἔπασχεν, οὔθ' ὁποῖ' ἔδρα κακά,
ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν οὓς μὲν οὐκ ἔδει
ὀψοίαθ', οὓς δ' ἔχρῃζεν οὐ γνωσοίατο.---
τοιαῦτ' ἐφυμνῶν, πολλάκις τε κοὐχ ἅπαξ
ἤρασσ' ἐπαίρων βλέφαρα. φοίνιαι δ' ὁμοῦ
γλῆναι γένει' ἔτεγγον· οὐδ' ἀνίεσαν
φόνου μυδώσας ςαγόνας· ἀλλ' ὁμοῦ μέλας
ὄμβρος χαλάζης αἵματος ἀπετέγγετο.

1271. οὐκ ὄψοιντο. Sic liquido vetustissimi et optimi e nostris codd. A. D. ut et T. ex Triclinii recensione, tametsi Turnebus edidit ὄψοιτο, nulla alterius lectionis facta mentione. Sane nemini non liquet plurale poëtæ præferri debuisse; quum proxime sequantur duo verba pluralia ὄψοιντο, γνώσοιντο. Alias si primum solum esset, tam bonum esset ὄψοιτο, quam ὄψοιντο, siquidem a neutro plurali pendet ἄρθρα. Est autem οὐκ ὄψοιντό νιν οἷα ἔπασχεν, pro οὐκ ὄψοιντο οἷα αὐτὸς ἔπασχεν. Vide quæ notavimus ad Comici Concion. 1125. Græcis acceptum habent hoc schema Comici Latini, apud quos frequentissimum est. Sic Plautus Rud. ii. 3. 59. *eam veretur, ne perierit.*

1274. ὀψοίαθ'. Quærit hîc aliquis, quî Œdipi oculi, modo nihil visuri dicti, nunc dicantur visuri οὓς οὐκ ἔδει: quæ quum contraria sibi ac proinde absurda videantur, pro ὀψοίαθ' is reponit ὀσσοίαθ', quod quidem ego longe ineptissimum esse aio. Ut *cogitaret*, ut *imagines sibi fingeret* Œdipus, minime necessarium erat, ut sibi foderet oculos. Nam Telemachus ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσὶ, cæcus non erat: acute vero, si quis alius, cernebat Jupiter ille, qui θνητοῖς ἀνθρώποισι κάκ' ὄσσετο θυμῷ. Nisi quis invita Minerva criticam exerceat, antequam locum aliquem veteris poëtæ emendare aggrediatur, verborum non singulorum solum vim ac potestatem, sed usum tropicum, idiotismos linguæ, et sensum universum perspexisse debet. Ut supra, v. 419. βλέποντα σκότον *cernentem caliginem*, tantumdet valet ac *cernentem nihil:* ita hîc ὄπτεσθαι ἐν σκότῳ, *videre in tenebris*, nihil aliud est, quam *non videre.* Dicit ergo Œdipus, oculos suos in posterum *visuros in tenebris* οὓς οὐκ ἔδει, *quos non oporteat:* quid vero? *eos* nempe, *quos non oporteat in tenebris videre:* id est, *eorum adspectu privatum iri, quos videre maxime sit jucundum:* scilicet liberos suos.

1275. ἐφυμνῶν. ἤγουν δυσφημῶν. Eustath. ad Iliad. ζ'. p. 634.

1279. Aldus edidit: ὄμβρος χαλάζης αἵματος ἐτέγγετο, sensu nullo aut pravo, et metro vacillante. In T. αἵματός τ' ἐτέγγετο. Istud τε fulciendo versui insertum, superscriptum est in

τάδ' ἐκ δυοῖν ἔῤῥωγεν, οὐ μόνου, κακά·
ἀλλ' ἀνδρὶ καὶ γυναικὶ συμμιγῆ κακά.
ὁ πρὶν παλαιὸς δ' ὄλβος ἦν πάροιθε μὲν
ὄλβος δικαίως· νῦν δὲ τῇδε θἠμέρᾳ
στεναγμὸς, ἄτη, θάνατος, αἰσχύνη· κακῶν
ὅσ' ἐστὶ πάντων ὀνόματ', οὐδέν ἐστ' ἀπόν.

ΧΟ. νῦν δ' ἔσθ' ὁ τλήμων ἐν τίνι σχολῇ κακοῦ;

ΕΞ. βοᾷ διοίγειν κλῇθρα, καὶ δηλοῦν τινὰ
τοῖς πᾶσι Καδμείοισι τὸν πατροκτόνον,
τὸν μητρὸς . . . αὐδῶν ἀνόσι', οὐδὲ ῥητά μοι,
ὡς ἐκ χθονὸς ῥίψων ἑαυτὸν, οὐδ' ἔτι
μενῶν δόμοις ἀραῖος, ὡς ἠράσατο.
ῥώμης γε μέντοι καὶ προηγητοῦ τινὸς
δεῖται· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν.
δείξει δὲ καὶ σοί. κλῇθρα γὰρ πυλῶν τάδε
διοίγεται· θέαμα δ' εἰσόψει τάχα
τοιοῦτον, οἷον καὶ στυγοῦντ' ἐποικτίσαι.

ΧΟ. ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις,

E. a secunda manu. Ceteri codd. in Aldina lectione consentiunt. Aut verbi compositi præpositio excidit, et scribendum ἀπετέγγετο, quod prætuli: aut loco copulæ, quæ hic locum non habet, inseri debuit γε, ut v. 294. Ἀλλ' εἴ τι μὲν δὴ δείματός γ' ἔχει μέρος. ita hic legi poterat Ὄμβρος χαλάζης αἱματός γ' ἐτέγγετο. Sed prius longe præfero. Est autem χαλάζης dativus pluralis, cujus ambiguitatem sustulit librarius membran. nostrarum, ι perspicue subscripto. Nihil hic intellexit auctor veteris glossæ, qui ὁμοῦ interpretatus est συνεχῶς. Immo valet σὺν. Ordo est: ἀλλὰ μέλας ὄμβρος ὁμοῦ χαλάζαις αἵματος ἀπετέγγετο. Diversa sunt μέλας ὄμβρος, humor ex oculis manans, et χαλάζαι αἵματος, grandines sanguinis, id est crebræ sanguinis guttæ: opponuntur hæ ταῖς μυδώσαις φόνου σταγόσι, quæ minus quid significant: *Nec lentam tabi saniem emittebant, sed largifluo lacrimarum imbri mistæ sanguinis grandines decidebant.* Venustum est hoc schema quo res augetur, minoris negatione. Sic in Aj. 628. Οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς Ἥσει δύσμορος· ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς θρηνήσει—

1281. συμμιγῆ κακά. Sic libri omnes, non sine vitii suspicione. Vix dubito quin scripserit Tragicus συμμιγῆ πέλει.

1295. εἰσόψει. gl. θεάσῃ.

1296. οἷον καὶ στυγοῦντ' ἐποικτίσαι. gl. καὶ τὸν μισοῦντα ἐλεῆσαι. Eadem sententia in Aj. 924. Ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν. et in Tyroне, Frag. xv. Κείνην ἐποικτείρειεν ὅστις οἰκτείρειν ἄν.

ὦ δεινότατον πάντων, ὅσ' ἐγὼ
προσέκυρσ' ἤδη. τίς σ', ὦ τλῆμον,
προσέβη μανία; τίς ὁ πηδήσας
μείζονα δαίμων τῶν μακίστων
πρὸς σῇ δυσδαίμονι μοίρᾳ;
φεῦ, φεῦ· δύσταν'. ἀλλ' οὐδ' ἐσιδεῖν
δύναμαί σ', ἐθέλων πόλλ' ἀνερέσθαι,
πολλὰ πυθέσθαι, πολλὰ δ' ἀθρῆσαι·
τοίαν φρίκην παρέχεις μοι.

ΟΙ. αἶ αἶ, αἶ αἶ,
φεῦ, φεῦ· δύστανος ἐγώ. ποῖ γᾶς
φέρομαι τλάμων;
πᾷ μοι φθογγὰ πέτεται φοράδην;
ἰὼ δαῖμον, ἵν' ἐξήλου;

ΧΟ. ἐς δεινὸν, οὐδ' ἀκουστὸν, οὐδ' ἐπόψιμον.

ΟΙ. ἰὼ σκότου νέφος ἐμὸν ἀπότροπον, στροφὴ α'.
ἐπιπλόμενον ἄφατον,
ἀδάμαστόν τε
καὶ δυσούριστον. οἴμοι,
οἴμοι μάλ' αὖθις· οἷον εἰσέδυ μ' ἅμα
κέντρων τε τῶνδ' οἴστρημα, καὶ μνήμη κακῶν.

1298. ὅσ' ἐγὼ προσέκυρσ' ἤδη. Verbum προσκύρω fere solet cum tertio casu construi. Hic autem quartus adjungitur. Sic sæpe composita verba casum adsciscunt quem regit vel simplex verbum, vel præpositio. Resolvenda phrasis ad hunc modum: πρὸς ὅσα ἐγὼ ἤδη ἔκυρσα. Hesych. προσκύρει, προσεγγίζει.

1301. μακίστων. Dorica μάσσων μάκιστος adhibent Tragici pro μείζων μέγιστος. Sic Noster Phil. 849. Eurip. Hippol. 826. τὰ μάκιστ' ἐμῶν κακῶν. Æschyl. Prom. 634. Μή μου προκήδου μᾶσσον, ἢ ὡς ἐμοὶ γλυκύ. Persis, 438. Λέξον τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ Ἐλθεῖν, κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα. Ibidem, 705. Πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ Γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῇ πρόσω. Ex his exemplis liquet veterem scripturam male immutatam fuisse a Triclinio, qui μηκίστων dedit, hosque versus fœde interpolavit. Perperam in C. κακίστων, eadem menda, quam sustulimus in Euripidis loco modo citato.

1303. δύσταν'. Perperam Aldus δύστανος. In seq. v. δύναμαί σ' ἐθέλων distincte exhibet B. In reliquis ut apud Aldum, σε θέλων.

1310. πέτεται. Aldus διαπέταται,

ΧΟ. καὶ θαυμά γ' οὐδὲν ἐν τοσοῖσδε πήμασι
διπλᾶ σε πενθεῖν, καὶ διπλᾶ φορεῖν κακά.
ΟΙ. ἰὼ φίλος, σὺ μὲν ἐμὸς ἐπίπολος — ἀντιστρ. α'.
ἔτι μόνιμος. ἔτι γὰρ
ὑπομένεις ἐμὲ
τὸν τυφλὸν κηδεύων. φεῦ.
οὐ γάρ με λήθεις, ἀλλὰ γιγνώσκω σαφῶς,
καίπερ σκοτεινὸς, τήν γε σὴν αὐδὴν ὅμως.
ΧΟ. ὦ δεινὰ δράσας, πῶς ἔτλης τοιαῦτα σὰς
ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων;
ΟΙ. Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, ὦ φίλοι, — στροφὴ β'.
ὁ κακὰ τελῶν ἐμὰ,
κακὰ τάδ' ἐπὰ πάθεα.
ἔπαισε δ' αὐτόχειρ νιν
οὔτις, ἀλλ' ἐγὼ τλάμων.
τί γὰρ ἔδει μ' ὁρᾶν,
ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ;
ΧΟ. ἦν ταῦθ', ὅπωσπερ καὶ σὺ φής.
ΟΙ. τί δή ποτ' ἐμοὶ βλεπτὸν, ἢ — στροφὴ γ'.
στερκτὸν, ἢ προσήγορον
ἔτ' ἔστ' ἀκούειν ἡδονᾷ, φίλοι;
ἀπάγετ' ἐκτόπιον
ὅτι τάχιστά με,
ἀπάγετ', ὦ φίλοι,
τὸν ὄλεθρον μέγαν,

sicque pars codd. Alii διαπίπταται. Unus E. διίπταται. Unice verum esse quod dedimus metri ratio arguit. Atticum autem πίτνται prætulimus vulgari formæ πίταται, gl. διέρχεται.

1320. φορεῖν. Sic A. B. recte. Alii cum Aldo φέρειν. Vide Valckenarium ad Hippol. 316.

1324. φεῦ in Aldina contra metri rationem geminatum est.

1330. Aldus edidit, ut in plurimis codd. scriptum est, Ὁ κακὰ τελῶν, Ἐμὰ τάδ' ἐμὰ πάθεα. At in membr. et in C. Ὁ κακὰ κακὰ τελῶν Ἐμὰ τάδ' ἐμὰ πάθεα. Vox κακὰ repeti debuit; eam alii librarii omiserunt, alii præpostere posuerunt.

1343. τὸν ὄλεθρον μέγαν. Codd. omnes, ne T. quidem excepto, dant, ut

τὸν καταρατότατον,
ἔτι δὲ καὶ θεοῖς
ἐχθρότατον βροτῶν.
ΧΟ. δείλαιε τοῦ νοῦ τῆς τε συμφορᾶς ἴσον,
ὥς σ' ἠθέλησα μηδ' ἀναγνῶναί ποτ' ἄν.
ΟΙ. ὄλοιθ' ὅστις ἦν, ὃς ἀπ' ἀγρίας πέδας — ἀντ. β'.
νομάδος ἐπιποδίας
ἔλυσέ μ', ἀπό τε φόνου
ἔῤῥυτο κἀνέσωσεν,
οὐδὲν εἰς χάριν πράσσων.
τότε γὰρ ἂν θανὼν,
οὐκ ἦν φίλοισιν οὐδ' ἐμοὶ τοσόνδ' ἄχος.
ΧΟ. θέλοντι κἀμοὶ τοῦτ' ἂν ἦν.
ΟΙ. οὔκουν πατρός γ' ἂν φονεὺς — ἀντιστρ. γ'.
ἦλθον, οὐδὲ νυμφίος
βροτοῖς ἐκλήθην ὧν ἔφυν ἄπο.
νῦν δ' ἄθλιος μέν εἰμ',
ἀνοσίων δὲ παῖς,
ὁμογενὴς δ' ἀφ' ὧν
αὐτὸς ἔφυν τάλας.
εἰ δέ τι πρεσβύτερον
ἔφυ κακοῦ κακὸν,
τοῦτ' ἔλαχ' Οἰδίπους.
ΧΟ. οὐκ οἶδ' ὅπως σε φῶ βεβουλεῦσθαι καλῶς.
κρείσσων γὰρ ἦσθα μηκέτ' ὢν, ἢ ζῶν τυφλός.
ΟΙ. ὡς μὲν τάδ' οὐχ ὧδ' ἔστ' ἄριστ' εἰργασμένα,

Aldus, ὀλέθριον. Quidam pro μέγαν habent μέγα. Turnebus recte ὄλεθρον.

1348. ἀναγνῶναί ποτ' ἄν. Sic plurimi codd. Aldus et membr. ποτὶ sine ἄν.

1351. ἔλυσέ μ', ἀπό τε φόνου. Aldus et codd. pars, omisso pronomine, quod hîc supprimi non debet, ἔλυσεν ἀπό—In B. ἔλυσ' ἔμ' ἀπό—C. eam scripturam exhibet, quam repræsentavi. Verum sunt omnes itidem depravatæ. Ut metri constet ratio, et hic versus antithetico suo 1331. congruat, scribendum μ' ἔλυσ', ἀπό τε φόνου. Sic quadrant duo versiculi, qui pæonici sunt: Κακὰ τάδ' ἐμὰ | πάθεα Μ' ἔλυσ' ἀπό | τε φόνου.

μή μ᾽ ἐκδίδασκε, μηδὲ συμβούλευ᾽ ἔτι.
ἐγὼ γὰρ οὐκ οἶδ᾽ ὄμμασιν ποίοις βλέπων
πατέρα ποτ᾽ ἂν προσεῖδον εἰς Ἅδου μολὼν,
οὐδ᾽ αὖ τάλαιναν μητέρ᾽, οἷν ἐμοὶ δυοῖν
ἔργ᾽ ἐστὶ κρείσσον᾽ ἀγχόνης εἰργασμένα.
ἀλλ᾽ ἡ τέκνων δῆτ᾽ ὄψις ἦν ἐφίμερος,
βλαστοῦσ᾽ ὅπως ἔβλαστε, προσλεύσσειν ἐμοί;
οὐ δῆτα τοῖς γ᾽ ἐμοῖσιν ὀφθαλμοῖς ποτέ·
οὐδ᾽ ἄστυ γ᾽, οὐδὲ πύργος, οὐδὲ δαιμόνων
ἀγάλμαθ᾽ ἱερὰ, τῶν ὁ παντλήμων ἐγὼ
κάλλιστ᾽ ἀνὴρ εἷς ἔν γε ταῖς Θήβαις τραφεὶς
ἀπεστέρησ᾽ ἐμαυτὸν, αὐτὸς ἐννέπων
ὠθεῖν ἅπαντας τὸν ἀσεβῆ, τὸν ἐκ θεῶν
φανέντ᾽ ἄναγνον, καὶ γένους τοῦ Λαΐου.
τοιάνδ᾽ ἐγὼ κηλῖδα μηνύσας ἐμὴν
ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾷν;
ἥκιστά γ᾽. ἀλλ᾽ εἰ τῆς ἀκούσης ἔτ᾽ ἦν
πηγῆς δι᾽ ὤτων φραγμὸς, οὐκ ἂν ἐσχόμην

1375. ἱφίμερος, non Aldus solum et codd. omnes habent, sed Turnebi etiam editio. In H. Stephani officina operarum incuria excusum fuit ἱφήμερος, quæ menda in plerasque subsequentium editionum manavit.

1380. τραφείς. Perperam Johnsonus vertit *enutritus*: neque hoc verbo innititur amor, quo Thebani Œdipum fovebant, quod anonymo Britanno in mentem venit. τραφεὶς valet διατρίψας, ut recte exponitur in glossis. Sic τροφὴ, διαγωγὴ, διατριβὴ in Œd. Col. 362.

1385. τούτους ὁρᾷν, nempe τοὺς Θηβαίους. In D. T. τούτοις, ut Turnebus edidit.

1387. οὐκ ἂν ἐσχόμην. Perperam Aldus una voce ἀνεσχόμην, ut in veteribus plerisque codd. scriptum est. Alii ἠνεσχόμην.—τὸ μὴ 'ποκλεῖσαι. Haud minus bene scribi poterat sine elisione, ut est in D. τὸ μὴ ἀποκλεῖσαι. In unam syllabam coalescunt η α. Sed utro modo scribatur, perinde est. In nullo codice repere τὸ μὴ οὐ 'ποκλεῖσαι, ut legendum esse sibi persuasit nuperus editor Pentalogiæ Io. Burtoni, tanquam si in hac loquendi formula voces τὸ μὴ non negarent, nisi adscita altera negatione οὐ. At tamen apud Comicum in Nubibus, 1084. legitur: Ἕξει τινὰ γνώμην λέγειν, τὸ μὴ εὐρύπρωκτος εἶναι; ubi si οὐ inferciatur, doceri vellem quî in pedes suos dividenda sit clausula τὸ μὴ οὐ εὐρύπρωκτος εἶναι. Permulti sunt versus, ubi salvo metro et euphonia, οὐ inseri posset in hac formula, quod tamen contra librorum fidem facere nolim. Antig. 27. 236. Æschyl. Prom. 235. ἐξερευνά-

τὸ μὴ 'ποκλεῖσαι τοὐμὸν ἄθλιον δέμας,
ἵν' ἦν τυφλός τε καὶ κλύων μηδέν. τὸ γὰρ
τὴν φροντίδ' ἔξω τῶν κακῶν οἰκεῖν, γλυκύ.
ἰὼ Κιθαιρὼν, τί μ' ἐδέχου; τί μ' οὐ λαβὼν
ἔκτεινας εὐθὺς, ὡς ἔδειξα μήποτε
ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦν γεγώς;
ὦ Πόλυβε καὶ Κόρινθε, καὶ τὰ πάτρια
λόγῳ παλαιὰ δώμαθ', οἷον ἆρ' ἐμὲ
κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε.
νῦν γὰρ κακός τ' ὢν κἀκ κακῶν εὑρίσκομαι.
ὦ τρεῖς κέλευθοι καὶ κεκρυμμένη νάπη,
δρυμός τε, καὶ στενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
αἳ τοὐμὸν αἷμα, τῶν ἐμῶν χειρῶν ἄπο,
ἐπίετε πατρὸς, ἆρ' ἐμοῦ μέμνησθ' ἔτι,
οἷ' ἔργα δράσας ὑμὶν, εἶτα δεῦρ' ἰὼν
ὁποῖ' ἔπρασσον αὖθις; ὦ γάμοι, γάμοι,

μην βροτοὺς Τοῦ μὴ διαρραισθέντας εἰς Ἅδου μολεῖν. Euripides Alcest. 705. Σὺ γοῦν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν.

1392. ὡς ἔδειξα μήποτε. Ut tertio ante hunc versu ἵν' ἦν valet *ut essem*, ita hic ὡς ἔδειξα μή ποτε, *ne unquam ostenderem*. ὡς enim hic valet ἵνα, ut recte expositum in glossa. Imperite Heathius particulam ἂν inserit. Vide quæ notavimus ad Æschyli Prom. 155. et Eurip. Phœnissas 214. Comicus in Conc. 151. Ἐβουλόμην μὲν ἕτερον ἂν τῶν ἠθάδων Λέγειν τὰ βέλτισθ', ἵν' ἐκαθήμην ἥσυχος. Idem in Pace, 135. Οὔκουν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερὸν, Ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.

1394. πάτρια. gl. πατρῷα. De harum vocum differentia et usu promiscuo vide Luciani interpretes ad Solœcistam, p. 561.

1396. κάλλος κακῶν. gl. ἔξοχον τῶν κακῶν, ἤγουν περιφανὲς κακόν. Eustathius ad Iliad. ε'. p. 1097. Παροιμιῶδες τὸ, κακῶν δέ κε φέρτερον εἴη, ἀντὶ τοῦ ὡς ἐν κακοῖς κάλλιον. ἐντεῦθεν Σοφοκλῆς παραξέσας ποιεῖ τὸν Οἰδίποδα λέγοντα περὶ αὐτοῦ, ὅτι κάλλος κακῶν ὕπουλον ἐξετράφη, ἀντὶ τοῦ ἐν κακοῖς μέγα καὶ περιφανές. εἴη δ' ἂν ὅμοιον τι καὶ τὸ, καλόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην. Vereor ut hæc bene acceperit Eustathius. Equidem κακῶν malim cum ὕπουλον jungere, ut sit οἷον ἆρ' ἐμὲ κάλλος ἐξεθρέψατε ὕπουλον κακῶν, id est ὑπὸ τὸ προφαινόμενον κακὰ πολλὰ κρύπτον.

1402. ὑμίν. gl. παρ' ὑμῖν.

1403. ὦ γάμοι, γάμοι. Hunc locum citat Longinus de Sublimitate, xxiii. isto exemplo observationem illustrans, ὅτι ἔσθ' [illegible] προσπίπτει τὰ πληθυντικὰ μεγαλορρημονέστερα, καὶ αὐτῷ δοξοκομποῦντα τῷ ὄχλῳ τοῦ ἀριθμοῦ. —Deinde prolatis sex versibus addit: πάντα γὰρ ταῦτα, τὰ μὲν ἓν ὄνομά

ἐφύσαθ' ἡμᾶς, καὶ φυτεύσαντες, πάλιν
ἀνεῖτε ταὐτὸν σπέρμα, κἀπεδείξατε
πατέρας, ἀδελφούς, παῖδας, αἷμ' ἐμφύλιον,
νύμφας, γυναῖκας, μητέρας τε, χὠπόσα
αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα γίγνεται.
ἀλλ', οὐ γὰρ αὐδᾷν ἔσθ', ἃ μηδὲ δρᾷν καλόν,
ὅπως τάχιστα, πρὸς θεῶν, ἔξω μέ που
καλύψατ', ἢ φονεύσατ', ἢ θαλάσσιον
ἐκρίψατ', ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι.
ἴτ', ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν.
πείθεσθε, μὴ δείσητε. τἀμὰ γὰρ κακὰ
οὐδεὶς οἷός τε πλήν γ' ἐμοῦ φέρειν βροτῶν.

ΧΟ. ἀλλ' ὧν ἐπαιτεῖς ἐς δέον πάρεσθ' ὅδε
Κρέων, τὸ πράσσειν καὶ τὸ βουλεύειν· ἐπεὶ
χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ.

ΟΙ. οἴμοι· τί δῆτα λέξομεν πρὸς τόνδ' ἔπος;
τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ
πάρος πρὸς αὐτὸν πάντ' ἐφεύρημαι κακός.

ΚΡ. οὐχ ὡς γελαστής, Οἰδίπους, ἐλήλυθα,
οὐδ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι
γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
αἰδεῖσθ' ἄνακτος Ἡλίου, τοιόνδ' ἄγος
ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ,

ἐστιν, Οἰδίπους, ἐπὶ δὲ θηλέων Ἰοκάστη. ἀλλ' ὅμως χυθεὶς εἰς τὰ πληθυντικὰ ὁ ἀριθμὸς συνεπλήθυσε καὶ τὰς ἀτυχίας. Confer Not. ad v. 366.

1405. ἀνεῖτε. Secunda pluralis aor. 2. ε in ει mutato, pro ἄνετε. Sic in tertia plurali occurrunt ἀνεῖσαν, καθεῖσαν, μεθεῖσαν, παρεῖσαν. In Eurip. Ione, 1189. legendum ὡς δ' ἀνεῖσαν ἡδονήν: ut in Bacchis, 684. καθεῖσαν κόμας. Priore in loco perperam edidit Musgravius ἀνῆσαν.

1414. μὴ δείσητε. Vide P. Victorii Var. Lect. v. 4.

1415. πλήν γ' ἐμοῦ. Sic recte D. In reliquis libris media particula omissa, quam inserere amant Attici poëtæ ante ε post syllabam longam in ν desinentem. πλήν γε frequentissimum est.

1422. Codd. alii οὐθ' ὡς γελαστὴς— οὐθ' ὡς ὀνειδιῶν. Alii οὐθ'—οὐδ'— Membr. Aldo consentiunt, quem sequimur.

μήτ' ὄμβρος ἱερὸς, μήτε φῶς προσδέξεται.
ἀλλ' ὡς τάχιςʼ ἐς οἶκον ἐσκομίζετε.
τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ' ὁρᾷν,
μόνοις τ' ἀκούειν εὐσεβῶς ἔχει κακά.
**ΟΙ.** πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ' ἀπέσπασας,
ἄριςος ἐλθὼν πρὸς κάκιςον ἄνδρ' ἐμὲ,
πιθοῦ τί μοι· πρὸς σοῦ γὰρ, οὐδ' ἐμοῦ, φράσω.
**ΚΡ.** καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;
**ΟΙ.** ῥίψον με γῆς ἐκ τῆσδ' ὅσον τάχισθ', ὅπου
θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.
**ΚΡ.** ἔδρασ' ἂν, εὖ τοῦτ' ἴσθ' ἂν, εἰ μὴ τοῦ θεοῦ
πρώτιςʼ ἔχρῃζον ἐκμαθεῖν τί πρακτέον.
**ΟΙ.** ἀλλ' ἥ γ' ἐκείνου πᾶσ' ἐδηλώθη φάτις,
τὸν πατροφόντην, τὸν ἀσεβῆ μ' ἀπολλύναι.
**ΚΡ.** οὕτως ἐλέχθη ταῦθ'· ὅμως δ' ἵν' ἕςαμεν
χρείας, ἄμεινον ἐκμαθεῖν τί δραςέον.
**ΟΙ.** οὕτως ἄρ' ἀνδρὸς ἀθλίου πεύσεσθ' ὕπερ;
**ΚΡ.** καὶ γὰρ σὺ νῦν τ' ἂν τῷ θεῷ πίςιν φέροις.
**ΟΙ.** καὶ σοί γ' ἐπισκήπτω τε, καὶ προτρέψομαι,
τῆς μὲν κατ' οἴκους αὐτὸς ὃν θέλεις τάφον
θοῦ· καὶ γὰρ ὀρθῶς τῶν γε σῶν τελεῖς ὕπερ.
ἐμοῦ δὲ μήποτ' ἀξιωθήτω τόδε
πατρῷον ἄςυ ζῶντος οἰκητοῦ τυχεῖν.
ἀλλ' ἔα με ναίειν ὄρεσιν, ἔνθα κλῄζεται
οὑμὸς Κιθαιρὼν οὗτος, ὃν μήτηρ τ' ἐμοὶ
πατήρ τ' ἐθέσθην ζῶντι κύριον τάφον,

1434. *πρὸς σοῦ, οὐδ' ἐμοῦ. e re tua, non mea. Dicam quæ tua magis quam mea intersit fieri.* Sic Trach. 479. δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν. Comicus Vesp. 647. μὴ πρὸς ἐμοῦ λέγοντι. Lucianus, tom. i. p. 255. τοῦτο μὲν ἅπαν ἀγαθὸν καὶ πρὸς ἐμοῦ λέγεις.

1438. ἔδρασ' ἂν, εὖ τοῦτ' ἴσθ' ἄν. Sic distinctum est in libris omnibus recte. Euripides Med. 940. Οὐκ οἶδ' ἂν, εἰ πείσαιμι· πειρᾶσθαι δὲ χρή. Et Alcest. 48. Λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἂν, εἰ πείσαιμί σε. In his ἂν pertinet ad οἶδα, non ad εἰ.

1453. ζῶντι. Sic bene Toupius Cur. nov. in Suid. p. 103. Libri omnes mendose ζῶντι.

ἵν' ἐξ ἐκείνων, οἵ μ' ἀπωλλύτην, θάνω.
καίτοι τοσοῦτόν γ' οἶδα, μήτ' ἔμ' ἂν νόσον,
μήτ' ἄλλο πέρσαι μηδέν· οὐ γὰρ ἄν ποτε
θνήσκων ἐσώθην, μὴ 'πί τῳ δεινῷ κακῷ.
ἀλλ' ἡ μὲν ἡμῶν μοῖρ', ὅπηπερ εἶσ', ἴτω.
παίδων δὲ, τῶν μὲν ἀρσένων μή μοι, Κρέων,
πρόσθῃ μέριμναν· ἄνδρες εἰσὶν, ὥστε μὴ
σπάνιν ποτὲ σχεῖν, ἔνθ' ἂν ὦσι, τοῦ βίου.
ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
αἷν οὔ ποθ' ἡ 'μὴ χωρὶς ἐστάθη βορᾶς
τράπεζ' ἄνευ τοῦδ' ἀνδρὸς, ἀλλ' ὅσων ἐγὼ
ψαύοιμι, πάντων τῶνδ' ἀεὶ μετειχέτην·
ταῖν μοι μέλεσθαι· καὶ μάλιστα μὲν χεροῖν
ψαῦσαί μ' ἔασον, κἀποκλαύσασθαι κακά.
ἴθ', ὦ 'ναξ,
ἴθ', ὦ γονῇ γενναῖε. χερσὶ δ' ἂν θιγὼν
δοκοῖμ' ἔχειν σφᾶς, ὥσπερ ἡνίκ' ἔβλεπον.
τί φημί;
οὐ δὴ κλύω που, πρὸς θεῶν, τοῖν μοι φίλοιν
δακρυῤῥοούντοιν; καί μ' ἐποικτείρας Κρέων
ἔπεμψ' ἐμοὶ τὰ φίλτατ' ἐκγόνοιν ἐμοῖν;
λέγω τι;

ΚΡ. λέγεις. ἐγὼ γάρ εἰμ' ὁ πορσύνας τάδε,
γνοὺς τὴν παροῦσαν τέρψιν, ἥ σ' εἶχεν πάλαι.

1454. *οἵ μ' ἀπωλλύτην*, *qui me perdere voluerunt*. Verba sæpe non tam actionem significant, quam consilium seu voluntatem agendi. In El. 320. *πράσσων* Scholiastes exponit *ἐπιχειρῶν πράττειν*. In Œd. Col. 993. *κτείνοι*, *occidere velit*. In Comici Pace, 212. *ἐκείνων πολλάκις σπονδὰς ποιούντων*, id est *ποιεῖν ἐπιθυμούντων*.

1459. *ἀρσένων*. Sic recte in B. D. E. T. Perperam in reliquis, ut in Aldina, *ἀῤῥένων*.

1466. *ταῖν μοι μέλεσθαι*. Sic bene scriptum in D. Glossa *τούτων*. Aldus et reliqui codd. mendose *αἷν*. Vide supra ad 1082.

1474. *ἐκγόνοιν ἐμοῖν*. Sic bene scriptum in B. Vulgo *ἐγγόνοιν*. gl. *τῶν ἐμῶν παίδων*. Vide quæ notavimus ad Comici Equites 786. et Valckenar. ad Phœn. p. 390.

1477. *τέρψιν, ἥ σ' εἶχεν πάλαι*. Sic scriptum in B. E. T. August. In A. D. *ἣν εἶχες πάλαι*, ut Aldus edidit.

ΟΙ. ἀλλ' εὐτυχοίης, καί σε τῆσδε τῆς ὁδοῦ
δαίμων ἄμεινον ἢ 'μὲ φρουρήσας τύχοι.
ὦ τέκνα, ποῦ ποτ' ἐστέ; δεῦρ' ἴτ', ἔλθετε
ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας,
αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμὶν ὧδ' ὁρᾷν
τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα·
ὃς ὑμὶν, ὦ τέκν', οὔθ' ὁρῶν, οὔθ' ἱστορῶν,
πατὴρ ἐφάνθην ἔνθεν αὐτὸς ἠρόθην.
καὶ σφὼ δακρύω· προσβλέπειν γὰρ οὐ σθένω·
νοούμενος τὰ λοιπὰ τοῦ πικροῦ βίου,
οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας;
ποίας δ' ἑορτὰς, ἔνθεν οὐ κεκλαυμέναι
πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;
ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἥκητ' ἀκμὰς,
τίς οὗτος ἔσται; τίς παραῤῥίψει, τέκνα,
τοιαῦτ' ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
ἐστὶν, γονεῦσι σφῷν θ' ὁμοῦ δηλήματα;

In C. nescio quid fuerit: in fine mutilus est et desinit in v. 1458. Turnebus edidit, ἧς εἶχες πάλαι. Aldi lectio nihil aliud est quam nostræ interpretatio.

1493. τίς οὗτος ἔσται; τίς παραῤῥίψει, τέκνα. In E. τίς οὗτος ἔσται γ', ὃς παραῤῥίψει, τέκνα. Pessime vertit Johnsonus, *Quis ille erit, qui ita abjiciet liberos?* τέκνα vocativus est, et παραῤῥίψει absolute adhibitum, ut fere solet παραβάλλεσθαι, et ἀναῤῥίπτειν, subaudito κίνδυνον. *Quis adeo projecta erit audacia?*

1494. ἃ τοῖς ἐμοῖς ἐστὶν, γονεῦσι σφῷν θ' ὁμοῦ δηλήματα. In impressis ἃ τοῖς ἐμοῖς γονεῦσιν ἔσται σφῷν θ' ὁμοῦ δηλήματα. Nec diversa est codd. scriptura. At ex ista lectione nullus rectus sensus elici potest. Quid enim sibi vult hæc Johnsoni versio? *quæ meis parentibus tuisque simul adhærent nocumenta.* Quorsum hîc Œdipus mentionem faciat parentum suorum, quum suimet ipsius maxime meminisse debeat? Recte glossa, ἃ γονεῦσιν ὑμῶν καὶ ὑμῖν ὁμοῦ. Deinde cur futurum ἔσται de re quæ jam exsistit, et certissime cognita est? Interpres ex vi sententiæ *adhærent* non *adhærebunt* vertit. Poëtæ manum restituisse mihi videor, et sensum assecutus fuisse: ἃ τοῖς ἐμοῖς ἐστὶν, nempe πράγμασι, vel ἐγγενέσι: γονεῦσι σφῷν θ' ὁμοῦ δηλήματα, pro γονέων καὶ σφῷν. Dativus pro genitivo, quod frequens est. Vide quæ notavi ad Eurip. Phœn. 85. Apollonium, iii. 862. Comici Thesm. 1054.

τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ
ὑμῶν ἔπεφνε· τὴν τεκοῦσαν ἤροσεν,
ὅθεν περ αὐτὸς ἐσπάρη, κἀκ τῶν ἴσων
ἐκτήσαθ' ὑμᾶς, ὥνπερ αὐτὸς ἐξέφυ.
τοιαῦτ' ὀνειδιεῖσθε. κᾆτα τίς γαμεῖ;
οὐκ ἔστιν οὐδεὶς, ὦ τέκν'· ἀλλὰ δηλαδὴ
χέρσους φθαρῆναι κἀγάμους ὑμᾶς χρεών.
ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
ταύταιν λέλειψαι, νὼ γὰρ, ὣ 'φυτεύσαμεν,
ὀλώλαμεν δύ' ὄντε, μή σφε περιΐδῃς
πτωχὰς, ἀνάνδρους, ἐγγενεῖς ἀλωμένας,
μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς.
ἀλλ' οἴκτισον σφᾶς, ὧδε τηλικάσδ' ὁρῶν,
πάντων ἐρήμους, πλὴν ὅσον τὸ σὸν μέρος.
ξύννευσον, ὦ γενναῖε, σῇ ψαύσας χερί.
σφῷν δ', ὦ τέκν', εἰ μὲν εἴχετόν γ' ἤδη φρένας,
πόλλ' ἂν παρῄνουν· νῦν δὲ τοῦτ' εὔχεσθέ μοι,

1502. *φθαρῆναι* male vertit Johnsonus *mori*. *φθείρεσθαι* significat *πλανᾶσθαι*, quod ipse Œdipus statim ostendit, quum quarto post versu subjicit *μή σφε περιΐδῃς ἀλωμένας*. Hoc sensu occurrit *φθείρεσθαι* apud Euripidem in Helenæ versu quem citavimus supra, 67. In Electra, 234. *Οὐχ ἵνα νομίζων φθείρεται πόλεως νόμον.* et passim. Vide Abreschium ad Æschylum, p. 207. et nos ad Comici Concion. 248. Eleganter Lucianus in Pseudologista, p. 176. *παραδοὺς σεαυτὸν τῷ ὀλέθρῳ ἐκείνῳ στρατιώτῃ, συμπεριφθείρου πάντα ὑπηρετῶν.* Vim verbi non cepit metaphrastes vertens, *cum illo corruptus fueris*.

1505. *μή σφε περιΐδῃς*. Certissima est Dawesii emendatio, quem vide Miscell. Crit. p. 268. *περιιδεῖν* est *spernere*, *negligere*, quod flagitat sententia. Depravate libri omnes *παρίδῃς*, claudicante versu, nec satis bene ad sententiam. Nihil frequentius apud quosvis scriptores Græcos verbis *περιιδεῖν*, *περιορᾶν*, *περιόπτεσθαι*. Exempla satis multa e Comico protulit Dawesius. In Lys. 1019. *νῦν δ' οὖν οὔ σε περιόψομαι γυμνὸν ὄνθ' οὑτωσί.* Lysias edit. Reiskii, p. 145. *αἰσχρὸν περιϊδεῖν οὕτως ἀνόμως καὶ βιαίως ὑβρισθέντα τὸν νεανίσκον.* p. 163. *μή με περιΐδητε ἐκ τῆς πατρίδος ἀδίκως ἐκπεσόντα.* p. 184. *μὴ περιΐδητε ἐπὶ τούτῳ γενόμενον.*

1512. *νῦν δὲ τοῦτ' εὔχεσθέ μοι.* De veritate lectionis dubitandum non est, quam temere docti simul et indocti homines solicitarunt conjecturis ne dignis quidem, quibus immorer; pessime autem reddiderunt interpretes. Tenendum quod in minoribus scholiis traditur, *εὔχεσθε* hic passive sumi. *τοῦτ' εὔχεσθέ μοι, ταύτης τῆς εὐχῆς τυγχάνετε ἀπ' ἐμοῦ.*

οὗ καιρὸς αἰεὶ ζῆν, βίου δὲ λῴονος
ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός.
ΚΡ. ἅλις. ἵν' ἐξήκεις δακρύων; ἀλλ' ἴθι στέγης ἔσω.
ΟΙ. πειστέον, κεἰ μηδὲν ἡδύ.
ΚΡ. πάντα γὰρ καιρῷ καλά.
ΟΙ. οἶσθ' ἐφ' οἷς οὖν εἶμι;
ΚΡ. λέξεις, καὶ τότ' εἴσομαι κλύων.
ΟΙ. γῆς μ' ὅπως πέμψεις ἄποικον.
ΚΡ. τοῦ θεοῦ μ' αἰτεῖς δόσιν.
ΟΙ. ἀλλὰ θεοῖς γ' ἔχθιστος ἥκω.
ΚΡ. τοιγαροῦν τεύξει τάχα.
ΟΙ. φῂς τάδ' οὖν;
ΚΡ. ἃ μὴ φρονῶ γὰρ, οὐ φιλῶ λέγειν μάτην.
ΟΙ. ἄπαγέ νύν μ' ἐντεῦθεν ἤδη.
ΚΡ. στεῖχέ νυν, τέκνων δ' ἀφοῦ.
ΟΙ. μηδαμῶς ταύτας γ' ἕλῃ μου.
ΚΡ. πάντα μὴ βούλου κρατεῖν.
καὶ γὰρ ἁ'κράτησας, οὔ σοι τῷ βίῳ ξυνέσπετο.
ΧΟ. ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ', Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ᾔδη, καὶ κράτιστος ἦν ἀνὴρ,

Raro sic εὔχομαι adhibetur, nec forte alterum exemplum proferri possit. Sed novator, si quis alius, in verbis Sophocles, apud quem plurima occurrebant, ceteris omnibus poëtis indicta: et hæc ratio est cur tam multa ex eo enotarunt veteres Grammatici.

1517. οἶσθ' ἐφ' οἷς οὖν εἶμι. Sic scribendum. εἶμι hic valet πορεύσομαι. Codd. et impressi εἰμί. Glossa in B. supplet ἐνθυμήμασι. In D. ἤγουν ἐφ' οἷς ἔχω τὴν ἐμὴν διάνοιαν. Prava scriptura falsæ interpretationi locum dedit. ἐπὶ cum dativo conditionem notat, ἐπὶ τούτοις, *hac lege, hac conditione*: ἐφ' οἷς, *qua lege, qua conditione*. Comicus in Pluto, 1068. οὐκοῦν ἐπὶ τούτοις εἰσίω. Vide ibidem 1000. 1141. Lysistr. 251. Ran. 589.

1518. Perperam Aldus ἀπ' οἶκον, ut est in membr. a prima manu, superscripta sincera lectione: γρ. ἄποικον. Pars codicum male πέμψῃς.

1519. θεοῖς γ' ἔχθιστος. Sic membr. Mendose Aldus αἴχθιστος. Ceteri codd. γε omittunt.

1522. ταύτας. Sic codd. omnes. Perperam Aldus πάντας. Codd. aliquot ἕλῃς.

1524. Codd. omnes ultimos hos versus Choro adscribunt. Falso Scholiastes opinabatur eos ab Œdipo recitatos fuisse. λεύσσετ'. Male in B. D. λεύσετ'.

1525. ᾔδη. Male codd. et impressi

ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων,
εἰς ὅσον κλύδωνα δεινῆς ξυμφορᾶς ἐλήλυθεν.
ὥστε θνητὸν ὄντ', ἐκείνην τὴν τελευταίαν ἰδεῖν
ἡμέραν ἐπισκοποῦντα, μηδέν' ὀλβίζειν, πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

ἦδυ. Vide Valckenarium ad Iliadis librum xxii. p. 55.

1528. Frequentissima apud Tragicos sententia. Euripides Androm. 100. Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν, Πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς, Ὅπως περάσας ἡμέραν ἥξει κάτω. Troasin, 513.—τῶν δ' εὐδαιμόνων Μηδένα νομίζετ' εὐτυχεῖν, πρὶν ἂν θανῇ. Vide Tyndarei fragmentum, p. 31. Ovidius Metam. iii. 135.—ultima semper Exspectanda dies homini: dicique beatus Ante obitum nemo supremaque funera debet. Ausonius in ludo vii. Sapientum: Spectandum dico terminum vitæ prius, Tum judicandum, si manet felicitas.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

TA TOΥ

# ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.

ΑΝΤΙΓΟΝΗ.

ΞΕΝΟΣ.

ΧΟΡΟΣ Ἀττικῶν γερόντων.

ΙΣΜΗΝΗ.

ΘΗΣΕΥΣ.

ΚΡΕΩΝ.

ΠΟΛΥΝΕΙΚΗΣ.

ΑΓΓΕΛΟΣ.

# ΥΠΟΘΕΣΙΣ

## ΤΟΥ ΕΠΙ ΚΟΛΩΝΩ ΟΙΔΙΠΟΔΟΣ.

Ο ΕΠΙ ΚΟΛΩΝΩ ΟΙΔΙΠΟΥΣ *συνημμένος πως ἐςὶ τῷ* ΤΥΡΑΝΝΩ. *τῆς γὰρ πατρίδος ἐκπεσὼν Οἰδίπους ἤδη γηραιὸς ὤν, ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ μιᾶς τῶν θυγατέρων, Ἀντιγόνης, χειραγωγούμενος. ἦσαν γὰρ τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοςοργότεραι. ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ τὸ Πυθόχρηςον, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ παρὰ ταῖς* ΣΕΜΝΑΙΣ *καλουμέναις* ΘΕΑΙΣ *μεταλλάξαι τὸν βίον. τὸ μὲν οὖν πρῶτον γέροντες ἐγχώριοι, ἐξ ὧν ὁ Χορὸς συνέςηκε, πυθόμενοι συνέρχονται, καὶ διαλέγονται πρὸς αὐτόν. ἔπειτα δὲ Ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν ςάσιν ἀπαγγέλλει τῶν παίδων, καὶ τὴν γενομένην ἄφιξιν τοῦ Κρέοντος πρὸς αὐτόν· ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀπαγαγεῖν αὐτὸν εἰς τοὐπίσω, ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ πρὸς τὸν Θησέα διελθὼν τὸν χρησμὸν, οὕτω τὸν βίον καταςρέφει παρὰ ταῖς θεαῖς.*

*Τὸ δὲ δρᾶμα τῶν θαυμαςῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ· ἦν γὰρ Κολωνῆθεν· ὥςε τὸν μὲν δῆμον ἐπίσημον ἀποδεῖξαι, χαρίσασθαι δὲ καὶ τὰ μέγιςα τοῖς Ἀθηναίοις, δι' ὧν ἀπορθήτους ἔσεσθαι, καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν, ὑποτίθεται ὁ Οἰδίπους προαναφωνῶν, καὶ ὅτι διαςασιάσουσι πρὸς Θηβαίους ποτὲ, καὶ τούτων κρατήσουσιν ἐκ χρησμῶν διὰ τὸν αὐτοῦ τάφον.*

ἐφύσαθ' ἡμᾶς, καὶ φυτεύσαντες, πάλιν
ἀνεῖτε ταὐτὸν σπέρμα, κἀπεδείξατε
πατέρας, ἀδελφοὺς, παῖδας, αἷμ' ἐμφύλιον,
νύμφας, γυναῖκας, μητέρας τε, χὠπόσα
αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα γίγνεται.
ἀλλ', οὐ γὰρ αὐδᾶν ἔσθ', ἃ μηδὲ δρᾶν καλὸν,
ὅπως τάχιστα, πρὸς θεῶν, ἔξω μέ που
καλύψατ', ἢ φονεύσατ', ἢ θαλάσσιον
ἐκρίψατ', ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι.
ἴτ', ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν.
πείθεσθε, μὴ δείσητε. τἀμὰ γὰρ κακὰ
οὐδεὶς οἷός τε πλήν γ' ἐμοῦ φέρειν βροτῶν.

ΧΟ. ἀλλ' ὧν ἐπαιτεῖς ἐς δέον πάρεσθ' ὅδε
Κρέων, τὸ πράσσειν καὶ τὸ βουλεύειν· ἐπεὶ
χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ.

ΟΙ. οἴμοι· τί δῆτα λέξομεν πρὸς τόνδ' ἔπος;
τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ
πάρος πρὸς αὐτὸν πάντ' ἐφεύρημαι κακός.

ΚΡ. οὐχ ὡς γελαστὴς, Οἰδίπους, ἐλήλυθα,
οὐδ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι
γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
αἰδεῖσθ' ἄνακτος Ἡλίου, τοιόνδ' ἄγος
ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ,

ἐστιν, Οἰδίπους, ἐπὶ δὲ θατέρων Ἰοκάστη. ἀλλ' ὅμως χυθεὶς εἰς τὰ πληθυντικὰ ὁ ἀριθμὸς συνεπλήθυνε καὶ τὰς ἀτυχίας. Confer Not. ad v. 366.

1405. ἀνεῖτε. Secunda pluralis aor. 2. ε in ει mutato, pro ἄνετε. Sic in tertia plurali occurrunt ἀνεῖσαν, καθεῖσαν, μεθεῖσαν, παρεῖσαν. In Eurip. Ione, 1189. legendum ὡς δ' ἀνεῖσαν ἡδονήν: ut in Bacchis, 684. καθεῖσαν κόμας. Priore in loco perperam edidit Musgravius ἀνῆσαν.

1414. μὴ δείσητε. Vide P. Victorii Var. Lect. v. 4.

1415. πλήν γ' ἐμοῦ. Sic recte D. In reliquis libris media particula omissa, quam inserere amant Attici poëtæ ante ε post syllabam longam in ν desinentem. πλήν γε frequentissimum est.

1422. Codd. alii οὔθ' ὡς γελαστὴς— οὔθ' ὡς ὀνειδιῶν. Alii οὔθ'—οὐδ'— Membr. Aldo consentiunt, quem sequimur.

μήτ' ὄμβρος ἱερὸς, μήτε φῶς προσδέξεται.
ἀλλ' ὡς τάχιστ' ἐς οἶκον ἐσκομίζετε.
τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ' ὁρᾷν,
μόνοις τ' ἀκούειν εὐσεβῶς ἔχει κακά.

**ΟΙ.** πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ' ἀπέσπασας,
ἄριστος ἐλθὼν πρὸς κάκιστον ἄνδρ' ἐμὲ,
πιθοῦ τί μοι· πρὸς σοῦ γὰρ, οὐδ' ἐμοῦ, φράσω.

**ΚΡ.** καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;

**ΟΙ.** ῥίψον με γῆς ἐκ τῆσδ' ὅσον τάχισθ', ὅπου
θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.

**ΚΡ.** ἔδρασ' ἂν, εὖ τοῦτ' ἴσθ' ἂν, εἰ μὴ τοῦ θεοῦ
πρώτιστ' ἔχρηζον ἐκμαθεῖν τί πρακτέον.

**ΟΙ.** ἀλλ' ἥ γ' ἐκείνου πᾶσ' ἐδηλώθη φάτις,
τὸν πατροφόντην, τὸν ἀσεβῆ μ' ἀπολλύναι.

**ΚΡ.** οὕτως ἐλέχθη ταῦθ'· ὅμως δ' ἵν' ἕσταμεν
χρείας, ἄμεινον ἐκμαθεῖν τί δραστέον.

**ΟΙ.** οὕτως ἄρ' ἀνδρὸς ἀθλίου πεύσεσθ' ὕπερ;

**ΚΡ.** καὶ γὰρ σὺ νῦν τ' ἂν τῷ θεῷ πίστιν φέροις.

**ΟΙ.** καὶ σοί γ' ἐπισκήπτω τε, καὶ προτρέψομαι,
τῆς μὲν κατ' οἴκους αὐτὸς ὃν θέλεις τάφον
θοῦ· καὶ γὰρ ὀρθῶς τῶν γε σῶν τελεῖς ὕπερ.
ἐμοῦ δὲ μήποτ' ἀξιωθήτω τόδε
πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν,
ἀλλ' ἔα με ναίειν ὄρεσιν, ἔνθα κλῄζεται
οὑμὸς Κιθαιρὼν οὗτος, ὃν μήτηρ τ' ἐμοὶ
πατήρ τ' ἐθέσθην ζῶντι κύριον τάφον,

1434. πρὸς σοῦ, οὐδ' ἐμοῦ. *e re tua, non mea. Dicam quæ tua magis quam mea intersit fieri.* Sic Trach. 479. δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν. Comicus Vesp. 647. μὴ πρὸς ἐμοῦ λέγοντι. Lucianus, tom. i. p. 255. τοῦτο μὲν ἅπαν ἀγαθὸν καὶ πρὸς ἐμοῦ λέγεις.

1438. ἔδρασ' ἂν, εὖ τοῦτ' ἴσθ' ἄν. Sic distinctum est in libris omnibus recte. Euripides Med. 940. Οὐκ οἶδ' ἄν, εἰ πείσαιμι· πειρᾶσθαι δὲ χρή. Et Alcest. 48. Λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἄν, εἰ πείσαιμί σε. In his ἂν pertinet ad οἶδα, non ad εἰ.

1453. ζῶντι. Sic bene Toupius Cur. nov. in Suid. p. 103. Libri omnes mendose ζῶντς.

ἵν' ἐξ ἐκείνων, οἵ μ' ἀπωλλύτην, θάνω.
καίτοι τοσοῦτόν γ' οἶδα, μήτ' ἔμ' ἂν νόσον,
μήτ' ἄλλο πέρσαι μηδέν· οὐ γὰρ ἄν ποτε
θνήσκων ἐσώθην, μὴ 'πί τῳ δεινῷ κακῷ.
ἀλλ' ἡ μὲν ἡμῶν μοῖρ', ὅπηπερ εἶσ', ἴτω.
παίδων δὲ, τῶν μὲν ἀρσένων μή μοι, Κρέων,
πρόσθῃ μέριμναν· ἄνδρες εἰσὶν, ὥστε μὴ
σπάνιν ποτὲ σχεῖν, ἔνθ' ἂν ὦσι, τοῦ βίου.
ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
αἷν οὔ ποθ' ἡ 'μὴ χωρὶς ἐστάθη βορᾶς
τράπεζ' ἄνευ τοῦδ' ἀνδρὸς, ἀλλ' ὅσων ἐγὼ
ψαύοιμι, πάντων τῶνδ' ἀεὶ μετειχέτην·
ταῖν μοι μέλεσθαι· καὶ μάλιστα μὲν χεροῖν
ψαῦσαί μ' ἔασον, κἀποκλαύσασθαι κακά.
ἴθ', ὦ 'ναξ,
ἴθ', ὦ γονῇ γενναῖε. χερσὶ δ' ἂν θιγὼν
δοκοῖμ' ἔχειν σφᾶς, ὥσπερ ἡνίχ' ἔβλεπον.
τί φημί;
οὐ δὴ κλύω που, πρὸς θεῶν, τοῖν μοι φίλοιν
δακρυῤῥοούντοιν; καί μ' ἐποικτείρας Κρέων
ἔπεμψ' ἐμοὶ τὰ φίλτατ' ἐκγόνοιν ἐμοῖν;
λέγω τι;

ΚΡ. λέγεις. ἐγὼ γάρ εἰμ' ὁ πορσύνας τάδε,
γνοὺς τὴν παροῦσαν τέρψιν, ἥ σ' εἶχεν πάλαι.

1454. *οἵ μ' ἀπωλλύτην, qui me perdere voluerunt.* Verba sæpe non tam actionem significant, quam consilium seu voluntatem agendi. In El. 320. πράσσων Scholiastes exponit ἐπιχειρῶν πράττειν. In Œd. Col. 993. *κτείνοι, occidere velit.* In Comici Pace, 212. ἐκείνων πολλάκις σπονδὰς ποιούντων, id est ποιεῖν ἐπιθυμούντων.

1459. ἀρσένων. Sic recte in B. D. E. T. Perperam in reliquis, ut in Aldina, ἀῤῥένων.

1466. ταῖν μοι μέλεσθαι. Sic bene scriptum in D. Glossa τούτων. Aldus et reliqui codd. mendose αἷν. Vide supra ad 1082.

1474. ἐκγόνοιν ἐμοῖν. Sic bene scriptum in B. Vulgo ἐγγόνοιν. gl. τῶν ἐμῶν παίδων. Vide quæ notavimus ad Comici Equites 786. et Valckenar. ad Phœn. p. 390.

1477. τέρψιν, ἥ σ' εἶχεν πάλαι. Sic scriptum in B. E. T. August. In A. D. ἣν εἶχες πάλαι, ut Aldus edidit.

ΟΙ. ἀλλ' εὐτυχοίης, καί σε τῆσδε τῆς ὁδοῦ
δαίμων ἄμεινον ἢ 'μὲ φρουρήσας τύχοι.
ὦ τέκνα, ποῦ ποτ' ἐστέ; δεῦρ' ἴτ', ἔλθετε
ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας,
αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμὶν ὧδ' ὁρᾶν
τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα·
ὃς ὑμὶν, ὦ τέκν', οὔθ' ὁρῶν, οὔθ' ἱστορῶν,
πατὴρ ἐφάνθην ἔνθεν αὐτὸς ἠρόθην.
καὶ σφὼ δακρύω· προσβλέπειν γὰρ οὐ σθένω·
νοούμενος τὰ λοιπὰ τοῦ πικροῦ βίου,
οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας;
ποίας δ' ἑορτὰς, ἔνθεν οὐ κεκλαυμέναι
πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;
ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἥκητ' ἀκμὰς,
τίς οὗτος ἔσται; τίς παραῤῥίψει, τέκνα,
τοιαῦτ' ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
ἐστὶν, γονεῦσι σφῷν θ' ὁμοῦ δηλήματα;

In C. nescio quid fuerit: in fine mutilus est et desinit in v. 1458. Turnebus edidit, ἧς εἶχες πάλαι. Aldi lectio nihil aliud est quam nostræ interpretatio.

1493. τίς οὗτος ἔσται; τίς παραῤῥίψει, τέκνα. In E. τίς οὗτος ἔσται γ', ὃς παραῤῥίψει, τέκνα. Pessime vertit Johnsonus, *Quis ille erit, qui ita abjiciet liberos?* τέκνα vocativus est, et παραῤῥίψει absolute adhibitum, ut fere solet παραβάλλεσθαι, et ἀναῤῥίπτειν, subaudito κίνδυνον. *Quis adeo projecta erit audacia?*

1494. ἃ τοῖς ἐμοῖς ἐστὶν, γονεῦσι σφῷν θ' ὁμοῦ δηλήματα. In impressis ἃ τοῖς ἐμοῖς γονεῦσιν ἔσται σφῷν θ' ὁμοῦ δηλήματα. Nec diversa est codd. scriptura. At ex ista lectione nullus rectus sensus elici potest. Quid enim sibi vult hæc Johnsoni versio? *quæ meis parentibus tuisque simul adhærent nocumenta.* Quorsum hîc Œdipus mentionem faciat parentum suorum, quum suimet ipsius maxime meminisse debeat? Recte glossa, ἃ γονεῦσιν ὑμῶν καὶ ὑμῖν ὁμοῦ. Deinde cur futurum ἔσται de re quæ jam exsistit, et certissime cognita est? Interpres ex vi sententiæ *adhærent* non *adhærebunt* vertit. Poëtæ manum restituisse mihi videor, et sensum assecutus fuisse: ἃ τοῖς ἐμοῖς ἐστὶν, nempe πράγμασι, vel ἐγγενέσι: γονεῦσι σφῷν θ' ὁμοῦ δηλήματα, pro γονέων καὶ σφῷν. Dativus pro genitivo, quod frequens est. Vide quæ notavi ad Eurip. Phœn. 85. Apollonium, iii. 862. Comici Thesm. 1054.

τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ
ὑμῶν ἔπεφνε· τὴν τεκοῦσαν ἤροσεν,
ὅθεν περ αὐτὸς ἐσπάρη, κἀκ τῶν ἴσων
ἐκτήσαθ' ὑμᾶς, ὧνπερ αὐτὸς ἐξέφυ.
τοιαῦτ' ὀνειδιεῖσθε. κᾆτα τίς γαμεῖ;
οὐκ ἔστιν οὐδεὶς, ὦ τέκν'· ἀλλὰ δηλαδὴ
χέρσους φθαρῆναι κἀγάμους ὑμᾶς χρεών.
ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
ταύταιν λέλειψαι, νὼ γὰρ, ὣ 'φυτεύσαμεν,
ὀλώλαμεν δύ' ὄντε, μή σφε περιΐδῃς
πτωχὰς, ἀνάνδρους, ἐγγενεῖς ἀλωμένας,
μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς.
ἀλλ' οἴκτισον σφᾶς, ὧδε τηλικάσδ' ὁρῶν,
πάντων ἐρήμους, πλὴν ὅσον τὸ σὸν μέρος.
ξύννευσον, ὦ γενναῖε, σῇ ψαύσας χερί.
σφῷν δ', ὦ τέκν', εἰ μὲν εἴχετόν γ' ἤδη φρένας,
πόλλ' ἂν παρῄνουν· νῦν δὲ τοῦτ' εὔχεσθέ μοι,

1502. *φθαρῆναι* male vertit Johnsonus *mori*. *φθείρεσθαι* significat *πλανᾶσθαι*, quod ipse Œdipus statim ostendit, quum quarto post versu subjicit *μή σφε περιΐδῃς ἀλωμένας*. Hoc sensu occurrit *φθείρεσθαι* apud Euripidem in Helenæ versu quem citavimus supra, 67. In Electra, 234. *Οὐχ ἵνα νομίζων φθείρεται πόλεως νόμον.* et passim. Vide Abreschium ad Æschylum, p. 207. et nos ad Comici Concion. 248. Eleganter Lucianus in Pseudologista, p. 176. *παραδοὺς σεαυτὸν τῷ ὀλέθρῳ ἐκείνῳ στρατιώτῃ, συμπεριφθείρου πάντα ὑπηρετῶν.* Vim verbi non cepit metaphrastes vertens, *cum illo corruptus fueris*.

1505. *μή σφε περιΐδῃς*. Certissima est Dawesii emendatio, quem vide Miscell. Crit. p. 268. *περιϊδεῖν* est *spernere*, *negligere*, quod flagitat sententia. Depravate libri omnes *παρίδῃς*, claudicante versu, nec satis bene ad sententiam. Nihil frequentius apud quosvis scriptores Græcos verbis *περιϊδεῖν*, *περιορᾶν* *περιόπτεσθαι*. Exempla satis multa e Comico protulit Dawesius. In Lys. 1019. *νῦν δ' οὖν οὔ σε περιόψομαι γυμνὸν ὄνθ' οὕτως.* Lysias edit. Reiskii, p. 145. *αἰσχρὸν περιϊδεῖν οὕτως ἀνόμως καὶ βιαίως ὑβρισθέντα τὸν νεανίσκον.* p. 163. *μή με περιΐδητε ἐκ τῆς πατρίδος ἀδίκως ἐκπεσόντα.* p. 184. *μὴ περιΐδητε ἐπὶ τούτῳ γενόμενον.*

1512. *νῦν δὲ τοῦτ' εὔχεσθέ μοι.* De veritate lectionis dubitandum non est, quam temere docti simul et indocti homines solicitarunt conjecturis ne dignis quidem, quibus immorer; pessime autem reddiderunt interpretes. Tenendum quod in minoribus scholiis traditur, *εὔχεσθε* hic passive sumi. *τοῦτ' εὔχεσθέ μοι, ταύτης τῆς εὐχῆς τυγχάνετε ἀπ' ἐμοῦ.*

οὐ καιρὸς αἰεὶ ζῆν, βίου δὲ λῴονος
ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός.
ΚΡ. ἅλις. ἵν' ἐξήκεις δακρύων; ἀλλ' ἴθι στέγης ἔσω.
ΟΙ. πειστέον, κεἰ μηδὲν ἡδύ.
ΚΡ. πάντα γὰρ καιρῷ καλά.
ΟΙ. οἶσθ' ἐφ' οἷς οὖν εἶμι;
ΚΡ. λέξεις, καὶ τότ' εἴσομαι κλύων.
ΟΙ. γῆς μ' ὅπως πέμψεις ἄποικον.
ΚΡ. τοῦ θεοῦ μ' αἰτεῖς δόσιν.
ΟΙ. ἀλλὰ θεοῖς γ' ἔχθιστος ἥκω.
ΚΡ. τοιγαροῦν τεύξει τάχα.
ΟΙ. φῂς τάδ' οὖν;
ΚΡ. ἃ μὴ φρονῶ γὰρ, οὐ φιλῶ λέγειν μάτην.
ΟΙ. ἄπαγέ νύν μ' ἐντεῦθεν ἤδη.
ΚΡ. στεῖχέ νυν, τέκνων δ' ἀφοῦ.
ΟΙ. μηδαμῶς ταύτας γ' ἕλῃ μου.
ΚΡ. πάντα μὴ βούλου κρατεῖν.
καὶ γὰρ ἁ'κράτησας, οὔ σοι τῷ βίῳ ξυνέσπετο.
ΧΟ. ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ', Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ᾔδη, καὶ κράτιστος ἦν ἀνήρ,

Raro sic εὔχομαι adhibetur, nec forte alterum exemplum proferri possit. Sed novator, si quis alius, in verbis Sophocles, apud quem plurima occurrebant, ceteris omnibus poëtis indicta: et hæc ratio est cur tam multa ex eo enotarunt veteres Grammatici.

1517. οἶσθ' ἐφ' οἷς οὖν εἶμι. Sic scribendum. εἶμι hic valet πορεύσομαι. Codd. et impressi εἰμί. Glossa in B. supplet ἐνθυμήμασι. In D. ἤγουν ἐφ' οἷς ἔχω τὴν ἐμὴν διάνοιαν. Prava scriptura falsæ interpretationi locum dedit. ἐπὶ cum dativo conditionem notat, ἐπὶ τούτοις, *hac lege, hac conditione*: ἐφ' οἷς, *qua lege, qua conditione*. Comicus in Pluto, 1068. οὐκοῦν ἐπὶ τούτοις εἴσιω. Vide ibidem 1000. 1141. Lysistr. 251. Ran. 589.

1518. Perperam Aldus ἀπ' οἴκων, ut est in membr. a prima manu, superscripta sincera lectione: γρ. ἄποικον. Pars codicum male πέμψῃς.

1519. θεοῖς γ' ἔχθιστος. Sic membr. Mendose Aldus αἴχθιστος. Ceteri codd. γε omittunt.

1522. ταύτας. Sic codd. omnes. Perperam Aldus πάντας. Codd. aliquot ἕλῃς.

1524. Codd. omnes ultimos hos versus Choro adscribunt. Falso Scholiastes opinabatur eos ab Œdipo recitatos fuisse. λεύσσετ'. Male in B. D. λεύσετ'.

1525. ᾔδη. Male codd. et impressi

ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων,
εἰς ὅσον κλύδωνα δεινῆς ξυμφορᾶς ἐλήλυθεν.
ὥστε θνητὸν ὄντ', ἐκείνην τὴν τελευταίαν ἰδεῖν
ἡμέραν ἐπισκοποῦντα, μηδέν' ὀλβίζειν, πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

ᾖδει. Vide Valckenarium ad Iliadis librum xxii. p. 55.

1528. Frequentissima apud Tragicos sententia. Euripides Androm. 100. Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν, Πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς, Ὅπως περάσας ἡμέραν ἥξει κάτω. Troasin, 513.—τῶν δ' εὐδαιμόνων Μηδένα νομίζετ' εὐτυχεῖν, πρὶν ἂν θανῇ. Vide Tyndarei fragmentum, p. 31. Ovidius Metam. iii. 135.—ultima semper Exspectanda dies homini: dicique beatus Ante obitum nemo supremaque funera debet. Ausonius in ludo vii. Sapientum: Spectandum dico terminum vitæ prius, Tum judicandum, si manet felicitas.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

## ΤΑ ΤΟΥ

# ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.

ΑΝΤΙΓΟΝΗ.

ΞΕΝΟΣ.

ΧΟΡΟΣ Ἀττικῶν γερόντων.

ΙΣΜΗΝΗ.

ΘΗΣΕΥΣ.

ΚΡΕΩΝ.

ΠΟΛΥΝΕΙΚΗΣ.

ΑΓΓΕΛΟΣ.

# ΥΠΟΘΕΣΙΣ

## ΤΟΥ ΕΠΙ ΚΟΛΩΝΩ ΟΙΔΙΠΟΔΟΣ.

Ο ΕΠΙ ΚΟΛΩΝΩ ΟΙΔΙΠΟΥΣ σύνημμένος πως ἐςὶ τῷ ΤΥΡΑΝΝΩ. τῆς γὰρ πατρίδος ἐκπεσὼν Οἰδίπους ἤδη γηραιὸς ὢν, ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ μιᾶς τῶν θυγατέρων, Ἀντιγόνης, χειραγωγούμενος. ἦσαν γὰρ τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοςοργότεραι. ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ τὸ Πυθόχρηςον, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ παρὰ ταῖς ΣΕΜΝΑΙΣ καλουμέναις ΘΕΑΙΣ μεταλλάξαι τὸν βίον. τὸ μὲν οὖν πρῶτον γέροντες ἐγχώριοι, ἐξ ὧν ὁ Χορὸς συνέςηκε, πυθόμενοι συνέρχονται, καὶ διαλέγονται πρὸς αὐτόν. ἔπειτα δὲ Ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν ςάσιν ἀπαγγέλλει τῶν παίδων, καὶ τὴν γενομένην ἄφιξιν τοῦ Κρέοντος πρὸς αὐτόν· ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀπαγαγεῖν αὐτὸν εἰς τοὐπίσω, ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ πρὸς τὸν Θησέα διελθὼν τὸν χρησμὸν, οὕτω τὸν βίον καταςρέφει παρὰ ταῖς θεαῖς.

Τὸ δὲ δρᾶμα τῶν θαυμαςῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ· ἦν γὰρ Κολωνῆθεν· ὥςε τὸν μὲν δῆμον ἐπίσημον ἀποδεῖξαι, χαρίσασθαι δὲ καὶ τὰ μέγιςα τοῖς Ἀθηναίοις, δι' ὧν ἀπορθήτους ἔσεσθαι, καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν, ὑποτίθεται ὁ Οἰδίπους προαναφωνῶν, καὶ ὅτι διαςασιάσουσι πρὸς Θηβαίους ποτὲ, καὶ τούτων κρατήσουσιν ἐκ χρησμῶν διὰ τὸν αὐτοῦ τάφον.

## ΑΛΛΗ ΥΠΟΘΕΣΙΣ.

ΤΑ πραχθέντα περὶ τὸν Οἰδίπουν ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ ΟΙΔΙΠΟΔΙ. πεπήρωται γὰρ, καὶ ἀφῖκται εἰς τὴν Ἀττικὴν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων, Ἀντιγόνης. καὶ ἔστιν ἐν τῷ τεμένει τῶν Σεμνῶν Ἐριννύων, ὅ ἐστιν ἐν τῷ καλουμένῳ Ἱππίῳ Κολωνῷ, οὕτω κληθέντι, ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν Ἱππίου καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵστανται. ἔστι γὰρ αὐτῷ Πυθόχρηστον, ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν. οὗ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος, αὐτόθι κάθηται· καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρχεται. ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν, καὶ πορεύεται ἀγγελῶν, ὅτι τις ἄρα τῷ χωρίῳ προσκάθηται. καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν Χοροῦ σχήματι μαθησόμενοι τὰ δέοντα. πρῶτος οὖν ἐστι καταλύων τὴν ὁδοιπορίαν, καὶ τῇ θυγατρὶ διαλεγόμενος. ἄφατος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν τῷ δράματι, ὡς οὐδὲν ἄλλο σχεδόν.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀττικῇ ἐν τῷ Ἱππίῳ, πρὸς τῷ ναῷ τῶν Σεμνῶν. ὁ δὲ Χορὸς συνέστηκεν ἐξ Ἀθηναίων ἀνδρῶν. προλογίζει Οἰδίπους.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

---

### ΟΙΔΙΠΟΥΣ.

ΤΕΚΝΟΝ τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ', ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν, καθ' ἡμέραν
τὴν νῦν, σπανιστοῖς δέξεται δωρήμασι,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί;
στέργειν γὰρ αἱ πάθαι με, χῶ μακρὸς ξυνὼν
χρόνος διδάσκει, καὶ τὸ γενναῖον, τρίτον.
ἀλλ', ὦ τέκνον, θάκοισιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις, ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθώμεθα
ὅπου ποτ' ἐσμέν. μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, χ' ἃ ἂν ἀκούσωμεν, τελεῖν.

### ΑΝΤΙΓΟΝΗ.

πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν, οἳ
πόλιν στέγουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω·

De loco cui nomen Κολωνὸς, videndus Meursius in Pagis Atticis, et Reliquorum Atticorum cap. vi. maxime vero Cicero in suavissimo exordio libri v. de Finibus, ubi *mollissimum carmen* appellat versus istos Œdipi requirentis quemnam in locum pervenisset.

V. 7. χῶ μακρὸς ξυνὼν χρόνος: Euphoniæ ergo vocum ordinem inverti. Legitur vulgo χῶ χρόνος ξυνὼν μακρός. Perperam in T. pro ξυνὼν, παρών.

11. ὡς πυθώμεθα. Codd. et Aldus solœce, πυθοίμεθα.

13. χ' ἃ ἂν ἀκούσωμεν. Membr. et Aldus copulam male omittunt.

15. ὡς ἀπ' ὀμμάτων, πρόσω. Sic excusum mallem, sublata distinctione.

χῶρος δ' ὅδ' ἱερὸς, ὡς σάφ' εἰκάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπτεροι δ'
ἔσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου.
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.
**ΟΙ.** κάθιζέ νύν με, καὶ φύλασσε τὸν τυφλόν.
**ΑΝ.** χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
**ΟΙ.** ἔχεις διδάξαι δή μ', ὅπου καθέσταμεν;
**ΑΝ.** τὰς γοῦν Ἀθήνας οἶδα· τὸν δὲ χῶρον, οὔ.
πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμῖν ἐμπόρων.
ἀλλ', ὅστις ὁ τόπος, ἦ μάθω μολοῦσά ποι;
**ΟΙ.** ναὶ, τέκνον, εἴπερ γ' ἐστὶν ἐξοικήσιμος.
**ΑΝ.** ἀλλ' ἔστι μὴν οἰκητός. οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
**ΟΙ.** ἦ δεῦρο προστείχοντα κἀξορμώμενον;

Verba melius quam in editis scholiis exponuntur in veteri glossa: λίαν ἀπ' ὀμμάτων πόῤῥω εἰσίν. *valde ab oculis, a conspectu, procul sunt.* ὡς sæpe occurrit pro λίαν adverbiis junctum. Sic El. 1437. ὡς ἠπίως, λίαν πράως. Vide Lexicon in ʽΩΣ.

18. εὐστομοῦσι. Glossa καλῶς ᾄδουσι.

19. κάμπτειν κῶλα, γόνυ. *Sedere, quiescere.* Vide Æschylum Prom. 32. 396. Apollonium Rhod. i. 1174.

23. ὅπου καθίσταμεν. Sic Vaticanus cod. teste Orvillio ad Charitonem, p. 119. quod præferendum videtur codd. nostrorum et Aldi lectioni ὅποι, licet hoc non prorsus sit damnandum. Latet enim in verbo καθίσταμεν motus significatio. Sic in Eurip. Bacchis, 180. Ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα;

25. Hunc versum membr. cum Aldo Antigonæ continuant: alii perperam Œdipo eum tribuunt. Libri omnes τοῦτον ἡμῖν mendose. Esset enim hoc pronomen ad χῶρον referendum, quod falsam efficeret sententiam. Quum enim locum nesciat qui sit, dicere non potest se de eo a quovis viatore certiorem factam fuisse. Proinde legendum cum Heathio τοῦτό γ', scilicet *Athenas haud longe abesse.*

27. εἴπερ γ' ἐστὶν ἐξοικήσιμος. Membr. et Aldus εἴπερ ἐστι γ'—Alii codd. particulam γε prorsus omittunt. Nescio quid somniabat auctor notæ ad hunc versum in nova editione Pentalogiæ Io. Burton. In Aldina liquido excusum ἐξοικήσιμος. Proinde mirum non est a nullo editorum observatam fuisse lectionem quæ ibi non comparet. Si vero ἐνοικήσιμος in Aldina legeretur, operarum errori tribuendum id esset, nedum recipi deberet, contra metri legem, quæ pyrrichium pro iambo non admittit. Lectorum patientia abutuntur, qui talibus ineptiis molem librorum augent.

28. Aldus ut A. B. ἀλλ' ἐστι μὲν οἰκητός. In T. μέν γ'—sed scribendum erat, ut edidimus, ἐστι μὴν—

ΑΝ. καὶ δὴ μὲν οὖν παρόντα· χῶ τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ', ὡς ὡ'νὴρ ὅδε.
ΟΙ. ὦ ξεῖν', ἀκούων τῆσδε, τῆς ὑπέρ τ' ἐμοῦ,
αὑτῆς θ' ὁρώσης, οὕνεχ' ἡμῖν αἴσιος
σκοπὸς προσήκεις τῶν ἀδηλοῦμεν φράσαι---

## ΞΕΝΟΣ.

πρὶν νῦν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ'. ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.
ΟΙ. τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;
ΞΕ. ἄθικτος, οὐδ' οἰκητός. αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.
ΟΙ. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;
ΞΕ. τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνθάδ' ἂν
εἴποι λεώς νιν· ἄλλα δ' ἀλλαχοῦ καλά.
ΟΙ. ἀλλ' ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο·
ὥστ' οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.
ΞΕ. τί δ' ἔστι τοῦτο;
ΟΙ. ξυμφορᾶς ξύνθημ' ἐμῆς.
ΞΕ. ἀλλ' οὐδὲ μέν τοι τοὐξανιστάναι πόλεως
δίχ' ἔστι θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.

32. ὡς ὡ'νὴρ ὅδε. In codd. ἀνὴρ sine articulo, solemni librariorum errore.

33. ἀκούων. Sic Aldus et veteres codd. Imperfectus est sermo ab hospite abruptus. Triclinius perperam ἀκούω.

36. πρὶν νῦν τὰ—Sic membr. et Aldus. In B. πρὶν ἢ τὰ—

39. ἔμφοβοι. gl. ἤγουν αἱ φοβεραί.

40. Σκότου. In B. Σκότους.

41. Perperam vulgo post τίνων interrogationis signum positum, quod in fine versus poni debebat.

42. Vulgo legitur soloece, ὅ γ' ἐνθάδ' ὢν εἴποι λεώς νιν. Optativus εἴποι absque particula ἂν hic stare non potest: est autem participium ὢν prorsus otiosum. Manifestus est librarii error.—νὶν pro αὐτὰς a Scholiasta damnatur temere et imperite. Accusativus est utriusque numeri et trium generum. Vide Valckenarium ad Hippol. 1253.

44. τὸν ἱκέτην. Sic legendum, ut infra, 284. 487. 1008. Aldus et codd. τόνδ'—Idem cum membr. ἵλεως mendose. In duobus aliis ἵλεω.

48. τί δρῶ. In B. T. τί δρᾶν. ut etiam Scholiastes legisse videtur: nec deterius est. Bonus ille hospes rem ad populares *deferre* vult ἐνδεικνύναι,

ΟΙ. πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς,
τοιόνδ' ἀλήτην, ὧν σε προςτρέπω φράσαι.
ΞΕ. σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ.
ΟΙ. τίς ἔσθ' ὁ χῶρος δῆτ', ἐν ᾧ βεβήκαμεν;
ΞΕ. ὅσ' οἶδα κἀγὼ, πάντ' ἐπιστήσει κλύων.
χῶρος μὲν ἱερὸς πᾶς ὅδ' ἔστ'· ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδὸς,
ἔρεισμ' Ἀθηνῶν· αἱ δὲ πλησίον γύαι
τὸν ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστὶν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
ΟΙ. ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
ΞΕ. καὶ κάρτα τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
ΟΙ. ἄρχει τὶς αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;
ΞΕ. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
ΟΙ. οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
ΞΕ. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
ΟΙ. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕ. ὡς πρός τι λέξων, ἢ καταρτύσων μολεῖν;

ut sciat quid facto opus sit. Prægnans est phrasis: πρίν γ' ἂν ἐνδείξω τοῖς δημόταις, ὅτι βουλεύεσθαι αὐτοὺς τί δραστέον.

52. τίς ἔσθ' — Perperam in libris τίς δ' ἔσθ'—

57. χαλκόπους ὀδός. Perperam vulgo ὁδός. Vide Scholiastam ad v. 1590. et Lexicon in Ὀδός.

58. αἱ δὲ πλησίον γύαι. Sic recte B. T. In membr. ut in impressis perperam, οἱ δὲ πλησίοι γύαι.

59. τὸν ἱππότην. In libris τόνδ' ἱππότην perperam, eodem librariorum errore, quo supra, 44. τόνδ' ἱκέτην. et 52. τίς δ' ἔσθ'—

61. ὠνομασμένοι. Mendose vulgo ὠνομασμένον, quod quidem membr. etiam exhibent a prima manu, sed superscripta nostra lectione.

71. καταρτύσων μολεῖν. Sic membr. et Aldus cum Suida in καταρτύζω. Perperam ceteri μόλοι, quod e fine præc. versus a supino librario repetitum.

ΟΙ. ὡς ἂν προσαρκῶν σμικρὰ, κερδάνῃ μέγα.
ΞΕ. καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙ. ὅσ' ἂν λέγωμεν, πάνθ' ὁρῶντα λέξομεν.
ΞΕ. οἶσθ', ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος.
αὐτοῦ μέν', οὗπερ κἀφάνης, ἕως ἐγὼ
τοῖς ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ, δημόταις,
λέξω τάδ' ἐλθών. οἵδε γὰρ κρινοῦσί γε,
εἰ χρή σε μίμνειν, ἢ πορεύεσθαι πάλιν.
ΟΙ. ὦ τέκνον, ἦ βέβηκεν ἡμῖν ὁ ξένος;
ΑΝ. βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΟΙ. ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγὼ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακὰ,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
ἐλθόντι χώραν τερμίαν, ὅπου Θεῶν
Σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσαντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν·
σημεῖα δ' ἥξειν τῶνδ' ἐμοὶ παρηγγύα,
ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.
ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν

74. ὁρῶντα. Tropice, *caligine non obvoluta, perspicua*, ὁρώμενα. Sic sæpe activam verbi formam pro passiva adhibet Sophocles, ut infra, 1604. παντὸς δρῶντος, pro δρωμένου. Trachin. 196. τὸ ποθοῦν, pro τὸ ποθούμενον. Œd. T. 968. κεύθει, pro κεύθεται.

87. ἐξέχρη. gl. ἐμαντεύετο.

90. Σεμναὶ Θεαὶ, κατ' εὐφημισμὸν, αἱ Ἐριννύες, ὥσπερ αἱ αὐταὶ καὶ Εὐμενίδες ἐκαλοῦντο. ἦσαν δὲ τρεῖς. Σεμναὶ Θεαί. οὕτως καλοῦσιν Ἀθηναῖοι τὰς Ἐριννύας. *Photii Lex. Ms.*

91. κάμψειν. Membr. et Aldus κάμπτειν. gl. καταλῦσαι, τελειῶσαι.

92. οἰκήσαντα. Sic Aldus et codd. omnes. Turnebus edidit οἰκήσοντα.

94. παρηγγύα. Perperam Aldus, ut membr. a prima manu, παρεγγύα.

οὐκ ἔσθ᾽ ὅπως οὐ πιςὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ᾽ ἐς τόδ᾽ ἄλσος. οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ᾽ ἐδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ᾽ ἀσκέπαρνον. ἀλλ᾽ ἐμοὶ, θεαὶ,
βίου, κατ᾽ ὀμφὰς τὰς Ἀπόλλωνος, δότε
πέρασιν ἤδη καὶ καταςροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.
ἴτ᾽, ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ᾽, ὦ μεγίςης Παλλάδος καλούμεναι,
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτείρατ᾽ ἀνδρὸς Οἰδίπου τόδ᾽ ἄθλιον
εἴδωλον· οὐ γὰρ δὴ τόδ᾽ ἀρχαῖον δέμας.
ΑΝ. σίγα. πορεύονται γὰρ ὧδε δή τινες
χρόνῳ παλαιοὶ, σῆς ἕδρας ἐπίσκοποι.
ΟΙ. σιγήσομαί τε, καὶ σύ μ᾽ ἐξ ὁδοῦ πόδα
κρύψον κατ᾽ ἄλσος, τῶνδ᾽ ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν. ἐν γὰρ τῷ μαθεῖν
ἔνεςιν ηὐλάβεια τῶν ποιουμένων.
ΧΟ. ὅρα. στροφή.
τίς ἄρ᾽ ἦν; ποῦ ναίει; ποῦ κυρεῖ
ἐκτόπιος συθεὶς, ὁ πάντων
ὁ πάντων ἀκορέςατος;
λεύσσεις νιν; προσδέρκου,

97. Schol. Ms. κατὰ διάνοιαν, φησὶν, ἐξ ὑμῶν ἐνταῦθα ἀφῖγμαι. πτερὸν γὰρ, τὴν πτέρωσιν τῆς διανοίας, ἢ οἰωνόν. Aliud: πτερόν. ἢ οἰωνὸς, ἢ πτέρωσις τῆς ἐμῆς διανοίας.

99. πρώταισιν ὑμῖν. Sic bene legitur apud Suidam in Νηφάλιος θυσία. Perperam in codd. nostris, ut in impressis, ὑμῶν. Quin pejus adhuc in T. πρώτοισιν ὑμῶν.

101. ἀσκέπαρνον. gl. ἄξεςον, ἀκαλλώπιςον. ὡς καὶ ἄνω (19.) ἔφη, ἐπ᾽ ἀξέςου πέτρου.

102. ὀμφάς. gl. μαντείας.—πέρασιν, τελείωσιν.

111. ὧδε δή τινες — Sic B. T. in membr. οἵδε δὴ, ut Aldus edidit. χρόνῳ παλαιοί. gl. γέροντες.

113. κρύψον με πόδα, pro πόδα μου. Vide ad Œd. T. 717.

121. λεύσσεις νιν; interrogative. Aldus et membr. λεύσσατ᾽ αὐτόν. Alii

προσφθέγγου πανταχῆ.
πλανάτας,
πλανάτας τις ὁ πρέσβυς, οὐδ'
ἐγχώριος. προσέβα γὰρ οὐκ
ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς
τᾶνδ' ἀμαιμακέταν κορᾶν,
ἃς τρέμομεν λέγειν,
καὶ παραμειβόμεσθ'
ἀδέρκτως,
ἀφώνως, ἀλόγως τὸ τᾶς
εὐφήμου στόμα φροντίδος
ἱέντες. τὰ δὲ νῦν τιν' ἥκειν
λόγος οὐχ ἅζονθ',
ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
δύναμαι τέμενος
γνῶναι ποῦ μοι ποτὲ ναίει.
ΟΙ. ὅδ' ἐκεῖνος ἐγώ. φωνῇ γὰρ ὁρῶ
τὸ φατιζόμενον.
ΧΟ. ἰώ, ἰώ.
δεινὸς μὲν ὁρᾷν, δεινὸς δὲ κλύειν.
ΟΙ. μή μ', ἱκετεύω, προσίδητ' ἄνομον.
ΧΟ. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;
ΟΙ. οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
δηλῶ δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις

λεύσσετ' αὐτόν. Perperam, ut ex antistrophico versu liquet.

122. προσφθέγγου. In B. T. προσπεύθου, quod haud deterius est.

134. λόγος οὐχ ἅζονθ'. Basis anapæstica, ut antistrophicus versus 166. λόγον εἴ τιν' ἔχεις. Unde liquet vitiosam esse vulgatam lectionem οὐδὲν ἅζονθ', quam agnoscit tamen Eustathius, p. 694. Triclinius inepte, sed salvo metro, οὐδὲν ἅγονθ'.

138. ὁρῶ, video, id est percipio. Verbis videndi, quum sit is sensus omnium nobilissimus, reliquorum sensuum perceptiones declarantur. Sic Æschylus S. Th. 103. κτύπον δέδορκα. Alexis Comicus apud Athenæum, p. 134. A. — τοῦτο γὰρ νῦν ἐστί σοι Ἐν ταῖς Ἀθήναις ταῖς καλαῖς ἐπιχώριον· Ἅπαντες ὀρχοῦντ' εὐθὺς, ἣν οἴνου μόνον Ὀσμὴν ἴδωσιν.

144. οὐ πάνυ μοίρας εὐδαιμονίσαι πρώ-

ὄμμασιν· εἷρπον,
κἀπὶ σμικροῖς μέγας ὥρμουν.

ΧΟ. ἒ ἔ. *ἀντιστρ.*
ἀλαῶν ὀμμάτων ἄρα καὶ
ἦσθα φυτάλμιος, δυσαίων,
μακραίων θ', ὡς ἐπεικάσαι.
ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ
προσθήσεις τάσδ' ἀράς.
περᾷς γὰρ,
περᾷς· ἀλλ' ἵνα τῷδ' ἐν ἀ-
φθέγκτῳ μὴ προσπέσῃς νάπει
ποιάεντι, κάθυδρος οὗ
κρατὴρ μειλιχίων ποτῶν
ῥεύματι συντρέχει.
τῷ, ξένε πάμμορ', εὖ
φύλαξαι.
μετάσταθ', ἀπόβαθι. πολ-
λὰ κέλευθος ἐρατύει.
κλύεις, ὦ πολύμοχθ' ἀλᾶτα;
λόγον εἴ τιν' ἔχεις,
πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβὰς,
ἵνα πᾶσι νόμος,
φώνει· πρόσθεν δ' ἀπερύκου.

ΟΙ. θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;

ΑΝ. ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
εἴκοντας ἃ δεῖ, κοὐκ ἄκοντας.

της. ἤγουν οὐ τῆς πρώτης μοίρας τῶν εὐδαιμονιζομένων. ἀλλὰ δηλαδὴ τῆς ἐσχάτης. Eustathius, p. 479. ubi hujus schematis plurima exempla profert, quibus utitur Gatakerus Opp. tom. i. p. 215.

153. ἀλλ' οὐ μὰν ἔν γ' ἐμοί. Sic Aldus et codd. veteres. Verum pro ἐμοὶ legendum ἡμῖν, ut metra congruant. Versus antithetici sunt: Λεύσσεις νιν; προσδέρκου. Ἀλλ' οὐ μὰν ἔν γ' ἡμῖν.

161. τῷ, *quocirca*. Aldus et membr. τῶν. In B. τόν. utrumque mendosum.

167. Perperam in Aldina ἀπ' ἀβάτων ἀποβὰς, metro corrupto.

172. κοὐκ ἄκοντας. Mendose in Aldina ἀκούοντας.

ΟΙ. πρόσθιγέ νῦν μου.
ΑΝ. ψαύω καὶ δή.
ΟΙ. ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ,
πιστεύσας καὶ μεταναστάς.
ΧΟ. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων,
ὦ γέρον, ἄκοντά τις ἄξει.
ΟΙ. ἔτ' οὖν ἔτι προβῶ;
ΧΟ. ἐπίβαινε πρόσω.
ΟΙ. ἔτι;
ΧΟ. προσβίβαζε, κούρα,
πρόσω. σὺ γὰρ ἀΐεις.
ΑΝ. ἕπεο μάν, ἕπε' ὧδ' ἀμαυρῷ
κώλῳ, πάτερ, ᾇ σ' ἄγω.
τόλμα, ξεῖνος ἐπὶ ξείνης,
ὦ τλᾶμον, ὅ τι καὶ
πόλις τέτροφεν ἄφιλον,
ἀποστυγεῖν, καὶ τὸ φίλον σέβεσθαι.
ΟΙ. ἄγε νυν σύ με, παῖ, ἵν' ἂν εὐσεβίας
ἐπιβαίνοντες, τὸ μὲν εἴπωμεν,
τὸ δ' ἀκούσωμεν,
καὶ μὴ χρείᾳ πολεμῶμεν.
ΧΟ. αὐτοῦ· μηκέτι τοῦδ' ἀντιπέτρου
βήματος ἔξω πόδα κλίνῃς.
ΟΙ. οὕτως;
ΧΟ. ἅλις, ὡς ἀκούεις.
ΟΙ. * ἦ ἐσθῶ;

* ἦ ἐσθῶ; edd. 1. 2.

175. πιστεύσας. Vulgo σοὶ πιστεύσας. Pronomen a mala manu additum non agnoscit B.

188. εὐσεβίας ἐπιβαίνοντες. Id est, interprete Eustathio, p. 713. l. 31. εὐσεβοῦντες. Sic Euripidi, Hippol. 215. μανίας ἔποχος λόγος, est μανικὸς λόγος. —Ἵν' ἄν, ὡς ἄν, ὅπως ἂν cum subjunctivo passim obvia sunt, ut significantia. Pessime Turnebus εἴποιμεν, ἀκούσαιμεν edidit, servato πολεμῶμεν. Ridicula est Britanni editoris conjectura ἵν' ἄνευ 'σεβίας.

192. ἀντιπέτρου. gl. τοῦ ἰσοπέτρου χαλκοῦ. ἀντὶ πέτρας γὰρ χαλκοῦς ἦν.

195. ἦ ἐσθῶ; Nihil interest hoc

## ΑΛΛΗ ΥΠΟΘΕΣΙΣ.

ΤΑ πραχθέντα περὶ τὸν Οἰδίπουν ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ ΟΙΔΙΠΟΔΙ. πεπήρωται γὰρ, καὶ ἀφῖκται εἰς τὴν Ἀττικὴν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων, Ἀντιγόνης. καὶ ἔστιν ἐν τῷ τεμένει τῶν Σεμνῶν Ἐριννύων, ὅ ἐστιν ἐν τῷ καλουμένῳ Ἱππίῳ Κολωνῷ, οὕτω κληθέντι, ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν Ἱππίου καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵστανται. ἔστι γὰρ αὐτῷ Πυθόχρηστον, ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν. οὗ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος, αὐτόθι κάθηται· καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρχεται. ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν, καὶ πορεύεται ἀγγελῶν, ὅτι τις ἄρα τῷ χωρίῳ προσκάθηται. καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν Χοροῦ σχήματι μαθησόμενοι τὰ δέοντα. πρῶτος οὖν ἐστι καταλύων τὴν ὁδοιπορίαν, καὶ τῇ θυγατρὶ διαλεγόμενος. ἄφατος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν τῷ δράματι, ὡς οὐδὲν ἄλλο σχεδόν.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀττικῇ ἐν τῷ Ἱππίῳ, πρὸς τῷ ναῷ τῶν Σεμνῶν. ὁ δὲ Χορὸς συνέστηκεν ἐξ Ἀθηναίων ἀνδρῶν. προλογίζει Οἰδίπους.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

---

### ΟΙΔΙΠΟΥΣ.

ΤΕΚΝΟΝ τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ', ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν, καθ' ἡμέραν
τὴν νῦν, σπανιστοῖς δέξεται δωρήμασι,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί;
στέργειν γὰρ αἱ πάθαι με, χὼ μακρὸς ξυνὼν
χρόνος διδάσκει, καὶ τὸ γενναῖον, τρίτον.
ἀλλ', ὦ τέκνον, θάκοισιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις, ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθώμεθα
ὅπου ποτ' ἐσμέν. μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, χ' ἃ ἂν ἀκούσωμεν, τελεῖν.

### ΑΝΤΙΓΟΝΗ.

πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν, οἳ
πόλιν στέγουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω·

De loco cui nomen *Κολωνὸς*, videndus Meursius in Pagis Atticis, et Reliquorum Atticorum cap. vi. maxime vero Cicero in suavissimo exordio libri v. de Finibus, ubi *mollissimum carmen* appellat versus istos Œdipi requirentis quemnam in locum pervenisset.

V. 7. *χὼ μακρὸς ξυνὼν χρόνος.* Euphoniæ ergo vocum ordinem inverti. Legitur vulgo *χὼ χρόνος ξυνὼν μακρός.* Perperam in T. pro *ξυνὼν, παρών.*

11. *ὡς πυθώμεθα.* Codd. et Aldus solœce, *πυθοίμεθα.*

13. *χ' ἃ ἂν ἀκούσωμεν.* Membr. et Aldus copulam male omittunt.

15. *ὡς ἀπ' ὀμμάτων, πρόσω.* Sic excusum mallem, sublata distinctione.

χῶρος δ' ὅδ' ἱερὸς, ὡς σάφ' εἰκάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπτεροι δ'
ἔσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου.
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.
**ΟΙ.** κάθιζέ νύν με, καὶ φύλασσε τὸν τυφλόν.
**ΑΝ.** χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
**ΟΙ.** ἔχεις διδάξαι δή μ', ὅπου καθέσταμεν;
**ΑΝ.** τὰς γοῦν 'Αθήνας οἶδα· τὸν δὲ χῶρον, οὔ.
πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμῖν ἐμπόρων.
ἀλλ', ὅστις ὁ τόπος, ἦ μάθω μολοῦσά ποι;
**ΟΙ.** ναὶ, τέκνον, εἴπερ γ' ἐστὶν ἐξοικήσιμος.
**ΑΝ.** ἀλλ' ἔστι μὴν οἰκητός. οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
**ΟΙ.** ἦ δεῦρο προστείχοντα κἀξορμώμενον;

Verba melius quam in editis scholiis exponuntur in veteri glossa: λίαν ἀπ' ὀμμάτων πόῤῥω εἰσίν. *valde ab oculis, a conspectu, procul sunt.* ὡς sæpe occurrit pro λίαν adverbiis junctum. Sic El. 1437. ὡς ἠπίως, λίαν πρᾴως. Vide Lexicon in 'ΩΣ.

18. εὐστομοῦσι. Glossa καλῶς ᾄδουσι.

19. κάμπτειν κῶλα, γόνυ. *Sedere, quiescere.* Vide Æschylum Prom. 32. 396. Apollonium Rhod. i. 1174.

23. ὅπου καθέσταμεν. Sic Vaticanus cod. teste Orvillio ad Charitonem, p. 119. quod præferendum videtur codd. nostrorum et Aldi lectioni ὅποι, licet hoc non prorsus sit damnandum. Latet enim in verbo καθέσταμεν motus significatio. Sic in Eurip. Bacchis, 180. Ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα;

25. Hunc versum membr. cum Aldo Antigonæ continuant: alii perperam Œdipo eum tribuunt. Libri omnes τοῦτον ἡμῖν mendose. Esset enim hoc pronomen ad χῶρον referendum, quod falsam efficeret sententiam. Quum enim locum nesciat qui sit, dicere non potest se de eo a quovis viatore certiorem factam fuisse. Proinde legendum cum Heathio τοῦτό γ', scilicet *Athenas haud longe abesse.*

27. εἴπερ γ' ἐστὶν ἐξοικήσιμος. Membr. et Aldus εἴπερ ἐστὶ γ'—Alii codd. particulam γε prorsus omittunt. Nescio quid somniabat auctor notæ ad hunc versum in nova editione Pentalogiæ Io. Burton. In Aldina liquido excusum ἐξοικήσιμος. Proinde mirum non est a nullo editorum observatam fuisse lectionem quæ ibi non comparet. Si vero ἐνοικήσιμος in Aldina legeretur, operarum errori tribuendum id esset, nedum recipi deberet, contra metri legem, quæ pyrrichium pro iambo non admittit. Lectorum patientia abutuntur, qui talibus ineptiis molem librorum augent.

28. Aldus ut A. B. ἀλλ' ἐστι μὲν οἰκητός. In T. μέν γ'—sed scribendum erat, ut edidimus, ἐστι μὴν—

ΑΝ. καὶ δὴ μὲν οὖν παρόντα· χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ', ὡς ὡ'νὴρ ὅδε.
ΟΙ. ὦ ξεῖν', ἀκούων τῆσδε, τῆς ὑπέρ τ' ἐμοῦ,
αὑτῆς θ' ὁρώσης, οὕνεχ' ἡμῖν αἴσιος
σκοπὸς προσήκεις τῶν ἀδηλοῦμεν φράσαι---

## ΞΕΝΟΣ.

πρὶν νῦν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ'. ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.
ΟΙ. τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;
ΞΕ. ἄθικτος, οὐδ' οἰκητός. αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.
ΟΙ. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;
ΞΕ. τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνθάδ' ἂν
εἴποι λεώς νιν· ἄλλα δ' ἀλλαχοῦ καλά.
ΟΙ. ἀλλ' ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο·
ὥστ' οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.
ΞΕ. τί δ' ἔστι τοῦτο;
ΟΙ. ξυμφορᾶς ξύνθημ' ἐμῆς.
ΞΕ. ἀλλ' οὐδὲ μέν τοι τοὐξανιστάναι πόλεως
δίχ' ἔστι θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.

32. ὡς ὡ'νὴρ ὅδε. In codd. ἀνὴρ sine articulo, solemni librariorum errore.

33. ἀκούων. Sic Aldus et veteres codd. Imperfectus est sermo ab hospite abruptus. Triclinius perperam ἀκούω.

36. πρὶν νῦν τὰ—Sic membr. et Aldus. In B. πρὶν ἢ τὰ—

39. ἔμφοβοι. gl. ἤγουν αἱ φοβεραί.

40. Σκότου. In B. Σκότους.

41. Perperam vulgo post τίνων interrogationis signum positum, quod in fine versus poni debebat.

42. Vulgo legitur solœce, ὅ γ' ἐνθάδ' ἂν εἴποι λεώς νιν. Optativus εἴποι absque particula ἂν hic stare non potest: est autem participium ἂν prorsus otiosum. Manifestus est librarii error.—νιν pro αὐτὰς a Scholiasta damnatur temere et imperite. Accusativus est utriusque numeri et trium generum. Vide Valckenarium ad Hippol. 1253.

44. τὸν ἱκέτην. Sic legendum, ut infra, 284. 487. 1008. Aldus et codd. τόνδ'—Idem cum membr. ἵλεως mendose. In duobus aliis ἵλεω.

48. τί δρῶ. In B. T. τί δρᾷν, ut etiam Scholiastes legisse videtur: nec deterius est. Bonus ille hospes rem ad populares *deferre* vult ἐνδεικνύναι,

ΟΙ. πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς,
τοιόνδ' ἀλήτην, ὧν σε προσρέπω φράσαι.
ΞΕ. σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ.
ΟΙ. τίς ἔσθ' ὁ χῶρος δῆτ', ἐν ᾧ βεβήκαμεν;
ΞΕ. ὅσ' οἶδα κἀγὼ, πάντ' ἐπιστήσει κλύων.
χῶρος μὲν ἱερὸς πᾶς ὅδ' ἔστ'· ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὁδὸς,
ἔρεισμ' Ἀθηνῶν· αἱ δὲ πλησίον γύαι
τὸν ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστὶν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
ΟΙ. ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
ΞΕ. καὶ κάρτα τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
ΟΙ. ἄρχει τὶς αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;
ΞΕ. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
ΟΙ. οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
ΞΕ. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
ΟΙ. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕ. ὡς πρός τι λέξων, ἢ καταρτύσων μολεῖν;

ut sciat quid facto opus sit. Prægnans est phrasis: πρίν γ' ἂν ἐνδείξω τοῖς δημόταις, ὅτι βουλεύεσθαι αὐτοὺς τί δραστέον.

52. τίς ἔσθ' — Perperam in libris τίς δ' ἔσθ'—

57. χαλκόπους ὁδός. Perperam vulgo ὀδός. Vide Scholiastam ad v. 1590. et Lexicon in Ὀδός.

58. αἱ δὲ πλησίον γύαι. Sic recte B. T. In membr. ut in impressis perperam, οἱ δὲ πλησίοι γύαι.

59. τὸν ἱππότην. In libris τόνδ' ἱππότην perperam, eodem librariorum errore, quo supra, 44. τόνδ' ἱκέτην. et 52. τίς δ' ἔσθ'—

61. ὠνομασμένοι. Mendose vulgo ὠνομασμένον, quod quidem membr. etiam exhibent a prima manu, sed superscripta nostra lectione.

71. καταρτύσων μολεῖν. Sic membr. et Aldus cum Suida in καταρτύζω. Perperam ceteri μόλοι, quod e fine præc. versus a supino librario repetitum.

ΟΙ. ὡς ἂν προσαρκῶν σμικρὰ, κερδάνῃ μέγα.
ΞΕ. καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙ. ὅσ' ἂν λέγωμεν, πάνθ' ὁρῶντα λέξομεν.
ΞΕ. οἶσθ', ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος.
αὐτοῦ μέν', οὗπερ κἀφάνης, ἕως ἐγὼ
τοῖς ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ, δημόταις,
λέξω τάδ' ἐλθών. οἵδε γὰρ κρινοῦσί γε,
εἰ χρή σε μίμνειν, ἢ πορεύεσθαι πάλιν.
ΟΙ. ὦ τέκνον, ἦ βέβηκεν ἡμῖν ὁ ξένος;
ΑΝ. βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΟΙ. ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγὼ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακὰ,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
ἐλθόντι χώραν τερμίαν, ὅπου Θεῶν
Σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσαντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν·
σημεῖα δ' ἥξειν τῶνδ' ἐμοὶ παρηγγύα,
ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.
ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν

74. ὁρῶντα. Tropice, *caligine non obvoluta, perspicua*, ὁρώμενα. Sic sæpe activam verbi formam pro passiva adhibet Sophocles, ut infra, 1604. παντὸς δρῶντος, pro δρωμένου. Trachin. 196. τὸ ποθοῦν, pro τὸ ποθούμενον. Œd. T. 968. κεύθει, pro κεύθεται.

87. ἐξέχρη. gl. ἐμαντεύετο.

90. Σεμναὶ Θεαὶ, κατ' εὐφημισμὸν, αἱ Ἐριννύες, ὥσπερ αἱ αὐταὶ καὶ Εὐμενίδες ἐκαλοῦντο. ἦσαν δὲ τρεῖς. Σεμναὶ Θεαί. οὕτως καλοῦσιν Ἀθηναῖοι τὰς Ἐριννύας. *Photii Lex. Ms.*

91. κάμψειν. Membr. et Aldus κάμπτειν. gl. καταλῦσαι, τελειῶσαι.

92. οἰκήσαντα. Sic Aldus et codd. omnes. Turnebus edidit οἰκήσοντα.

94. παρηγγύα. Perperam Aldus, ut membr. a prima manu, παρεγγύα.

οὐκ ἔσθ᾽ ὅπως οὐ πιςὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ᾽ ἐς τόδ᾽ ἄλσος. οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ᾽ ἐδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ᾽ ἀσκέπαρνον. ἀλλ᾽ ἐμοὶ, θεαὶ,
βίου, κατ᾽ ὀμφὰς τὰς Ἀπόλλωνος, δότε
πέρασιν ἤδη καὶ καταςροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.
ἴτ᾽, ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ᾽, ὦ μεγίςης Παλλάδος καλούμεναι,
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτείρατ᾽ ἀνδρὸς Οἰδίπου τόδ᾽ ἄθλιον
εἴδωλον· οὐ γὰρ δὴ τόδ᾽ ἀρχαῖον δέμας.

ΑΝ. σίγα. πορεύονται γὰρ ὧδε δή τινες
χρόνῳ παλαιοὶ, σῆς ἕδρας ἐπίσκοποι.

ΟΙ. σιγήσομαί τε, καὶ σύ μ᾽ ἐξ ὁδοῦ πόδα
κρύψον κατ᾽ ἄλσος, τῶνδ᾽ ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν. ἐν γὰρ τῷ μαθεῖν
ἔνεςιν ηὐλάβεια τῶν ποιουμένων.

ΧΟ. ὅρα. στροφή.
τίς ἄρ᾽ ἦν; ποῦ ναίει; ποῦ κυρεῖ
ἐκτόπιος συθεὶς, ὁ πάντων
ὁ πάντων ἀκορέςατος;
λεύσσεις νιν; προσδέρκου,

97. Schol. Ms. κατὰ διάνοιαν, φησὶν, ἐξ ὑμῶν ἐνταῦθα ἀφῖγμαι. πτερὸν γὰρ, τὴν πτέρωσιν τῆς διανοίας, ἢ οἰωνόν. Aliud: πτερόν. ἢ οἰωνὸς, ἢ πτέρωσις τῆς ἐμῆς διανοίας.

99. πρώταισιν ὑμῖν. Sic bene legitur apud Suidam in Νηφάλιος θυσία. Perperam in codd. nostris, ut in impressis, ὑμῶν. Quin pejus adhuc in T. πρώταισιν ὑμῶν.

101. ἀσκέπαρνον. gl. ἄξεςον, ἀκαλλώπιςον. ὡς καὶ ἄνω (19.) ἔφη, ἐπ᾽ ἀξέςου πέτρου.

102. ὀμφάς. gl. μαντείας.—πέρασιν, τελείωσιν.

111. ὧδε δή τινες — Sic B. T. in membr. οἵδε δὴ, ut Aldus edidit. χρόνῳ παλαιοί. gl. γέροντες.

113. κρύψον με πόδα, pro πόδα μου. Vide ad Œd. T. 717.

121. λεύσσεις νιν; interrogative. Aldus et membr. λεύσσατ᾽ αὐτόν. Alii

προσφθέγγου πανταχῇ.
πλανάτας,
πλανάτας τις ὁ πρέσβυς, οὐδ'
ἐγχώριος. προσέβα γὰρ οὐκ
ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς
τᾶνδ' ἀμαιμακέταν κορᾶν,
ἃς τρέμομεν λέγειν,
καὶ παραμειβόμεσθ'
ἀδέρκτως,
ἀφώνως, ἀλόγως τὸ τᾶς
εὐφήμου στόμα φροντίδος
ἱέντες. τὰ δὲ νῦν τιν' ἥκειν
λόγος οὐχ ἅζονθ',
ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
δύναμαι τέμενος
γνῶναι ποῦ μοι ποτὲ ναίει.
ΟΙ. ὅδ' ἐκεῖνος ἐγώ. φωνῇ γὰρ ὁρῶ
τὸ φατιζόμενον.
ΧΟ. ἰὼ, ἰώ.
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.
ΟΙ. μή μ', ἱκετεύω, προσίδητ' ἄνομον.
ΧΟ. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;
ΟΙ. οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
δηλῶ δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις

λεύσσετ' αὐτόν. Perperam, ut ex antistrophico versu liquet.

122. προσφθέγγου. In B. T. προσπεύθου, quod haud deterius est.

134. λόγος οὐχ ἅζονθ'. Basis anapæstica, ut antistrophicus versus 166. λόγον εἴ τιν' ἔχεις. Unde liquet vitiosam esse vulgatam lectionem οὐδὲν ἅζονθ', quam agnoscit tamen Eustathius, p. 694. Triclinius inepte, sed salvo metro, οὐδὲν ἅγονθ'.

138. ὁρῶ, video, id est *percipio*. Verbis videndi, quum sit is sensus omnium nobilissimus, reliquorum sensuum perceptiones declarantur. Sic Æschylus S. Th. 103. κτύπον δέδορκα. Alexis Comicus apud Athenæum, p. 134. A. — τοῦτο γὰρ νῦν ἐστί σοι 'Εν ταῖς 'Αθήναις ταῖς καλαῖς ἐπιχώριον· Ἅπαντες ὀρχοῦντ' εὐθὺς, ἢν οἴνου μόνον 'Οσμὴν ἴδωσιν.

144. οὐ πάνυ μοίρας εὐδαιμονίσαι πρώ-

ὄμμασιν εἷρπον,
κἀπὶ σμικροῖς μέγας ὥρμουν.

ΧΟ. ἒ ἔ. ἀντιστρ.
ἀλαῶν ὀμμάτων ἆρα καὶ
ἦσθα φυτάλμιος, δυσαίων,
μακραίων θ', ὡς ἐπεικάσαι.
ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ
προσθήσεις τάσδ' ἀράς.
περᾷς γάρ,
περᾷς· ἀλλ' ἵνα τῷδ' ἐν ἀ-
φθέγκτῳ μὴ προσπέσῃς νάπει
ποιάεντι, κάθυδρος οὗ
κρατὴρ μειλιχίων ποτῶν
ῥεύματι συντρέχει.
τῷ, ξένε πάμμορ', εὖ
φύλαξαι.
μετάσταθ', ἀπόβαθι. πολ-
λὰ κέλευθος ἐρατύει.
κλύεις, ὦ πολύμοχθ' ἀλᾶτα;
λόγον εἴ τιν' ἔχεις,
πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβάς,
ἵνα πᾶσι νόμος,
φώνει· πρόσθεν δ' ἀπερύκου.

ΟΙ. θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;

ΑΝ. ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
εἴκοντας ἃ δεῖ, κοὐκ ἄκοντας.

της. ἤγουν οὐ τῆς πρώτης μοίρας τῶν εὐδαιμονιζομένων. ἀλλὰ δηλαδὴ τῆς ἐσχάτης. Eustathius, p. 479. ubi hujus schematis plurima exempla profert, quibus utitur Gatakerus Opp. tom. i. p. 215.

153. ἀλλ' οὐ μὰν ἔν γ' ἐμοί. Sic Aldus et codd. veteres. Verum pro ἐμοὶ legendum ἡμῖν, ut metra congruant. Versus antithetici sunt: Λεύσσεις νιν; προσδέρκου. Ἀλλ' οὐ μὰν ἔν γ' ἡμῖν.

161. τῷ, *quocirca*. Aldus et membr. τῶν. In B. τόν. utrumque mendosum.

167. Perperam in Aldina ἀπ' ἀβάτων ἀποβὰς, metro corrupto.

172. κοὐκ ἄκοντας. Mendose in Aldina ἀκούοντας.

ΟΙ. πρόσθιγέ νύν μου.
ΑΝ. ψαύω καὶ δή.
ΟΙ. ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ,
πιστεύσας καὶ μεταναστάς.
ΧΟ. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων,
ὦ γέρον, ἄκοντά τις ἄξει.
ΟΙ. ἔτ' οὖν ἔτι προβῶ;
ΧΟ. ἐπίβαινε πρόσω.
ΟΙ. ἔτι;
ΧΟ. προσβίβαζε, κούρα,
πρόσω. σὺ γὰρ ἀΐεις.
ΑΝ. ἕπεο μάν, ἕπε' ὧδ' ἀμαυρῷ
κώλῳ, πάτερ, ᾇ σ' ἄγω.
τόλμα, ξεῖνος ἐπὶ ξείνης,
ὦ τλᾶμον, ὅ τι καὶ
πόλις τέτροφεν ἄφιλον,
ἀποστυγεῖν, καὶ τὸ φίλον σέβεσθαι.
ΟΙ. ἄγε νυν σύ με, παῖ, ἵν' ἂν εὐσεβίας
ἐπιβαίνοντες, τὸ μὲν εἴπωμεν,
τὸ δ' ἀκούσωμεν,
καὶ μὴ χρείᾳ πολεμῶμεν.
ΧΟ. αὐτοῦ· μηκέτι τοῦδ' ἀντιπέτρου
βήματος ἔξω πόδα κλίνῃς.
ΟΙ. οὕτως;
ΧΟ. ἅλις, ὡς ἀκούεις.
ΟΙ. * ἦ ἐσθῶ;

* ἧσθῶ; edd. 1. 2.

175. πιστεύσας. Vulgo σοὶ πιστεύσας. Pronomen a mala manu additum non agnoscit B.

188. εὐσεβίας ἐπιβαίνοντες. Id est, interprete Eustathio, p. 713. l. 31. εὐσεβοῦντες. Sic Euripidi, Hippol. 215. μανίας ἔποχος λόγος, est μανικὸς λόγος. —Ἵν' ἄν, ὡς ἄν, ὅπως ἂν cum subjunctivo passim obvia sunt, ut significantia. Pessime Turnebus εἴποιμεν, ἀκούσαιμεν edidit, servato πολεμῶμεν. Ridicula est Britanni editoris conjectura ἵν' ἄνευ 'σεβίας.

192. ἀντιπέτρου. gl. τοῦ ἰσοπέτρου χαλκοῦ. ἀντὶ πέτρας γὰρ χαλκοῦς ἦν.

195. ἦ ἐσθῶ; Nihil interest hoc

ΧΟ. λέχριός γ' ἐπ' ἄκρου
λάου βραχὺς ὀκλάσας.
ΑΝ. πάτερ, ἐμὸν τόδ', ἐν ἡσυχίᾳ,
ἰώ μοι μοι,
βάσει βάσιν ἁρμόσαι.
γεραιὸν ἐς χέρα σῶμα σὸν
πρόκλινον φιλίαν ἐμάν.
ΟΙ. ᾤ μοι δύσφρονος ἄτας.
ΧΟ. ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
αὔδασον τίς σ' ἔφυσε βροτῶν,
τίς ὢν πολύπονος ἄγῃ, τίν' ἂν
σοῦ πατρίδ' ἐκπυθοίμαν.
ΟΙ. ὦ ξένοι, ἀπόπτολις. ἀλλὰ μὴ - - -
ΧΟ. τί τοῦτ' ἀπεννέπεις, γέρον;
ΟΙ. μὴ, μὴ, μή μ' ἀνέρῃ
τίς εἰμι, μηδ'
ἐξετάσῃς πέρα ματεύων.
ΧΟ. τί τόδ' οὖν;
ΟΙ. δεινὰ φύσις.

modo scribatur ne, an cum elisione ἦ 'στῶ, quod Aldus e veteribus codd. expressit. In unam syllabam coalescunt η ε. Turnebus edidit ἡσθῶ, quod, etiamsi ne Græcum quidem sit, posteriores tamen editiones omnes invasit. Alteram lectionem Scholiastæ memoratam, ἦ στῶ; *an stabo?* mihique, hujus judicium haud satis considerate amplexo, potiorem visam, non ita multo post comperi falsam esse et rejiciendam. ὀκλάζων sedendi significationem obtinet, ut supra, 19. κάμπτων κῶλα. Tum in actione hujus, fabulæ non aliter quam sedens exhiberi potuit Œdipus. Ab hoc versu usque ad dramatis finem, quando ad locum pergit ubi fatale est eum mori et sepeliri, semper in scena sedet. (*e*)

201. πρόκλινον. Aldus et membr. προκλίνας. In B. προκρίνας. In T. πρόσκλινον. Si προκλίνας legas, sensus erit suspensus, interpellante Œdipo; unde nihil video huic loco commodi aut venusti accedere.

205. τίν' ἂν σου πατρίδ' ἐκπυθοίμαν. Nemo non videt particulam ἂν tam sæpe a librariis omissam, necessario hic requiri, ut v. 41. 42. Solœcum est, quod vulgo legitur.

208. τί τοῦτ' ἀπεννέπεις γέρον; dimeter iambicus. Perperam Aldus et codd. τοῦδ'.

212. Versus est anapæsticus. Perperam Aldus et codd. τί τόδ';—[illegible] in B. T. Choro tributum, recte.

ΧΟ. αὔδα.
ΟΙ. τέκνον, ᾤ μοι, τί γεγώνω;
ΧΟ. τίνος εἶ σπέρματος,
ξεῖνε, φώνει πατρόθεν.
ΟΙ. ᾤ μοι ἐγὼ, τί πάθω, τέκνον; ᾤ μοι.
ΑΝ. λέγ', ἐπείπερ ἐπ' ἔσχατα βαίνεις.
ΟΙ. ἀλλ' ἐρῶ. οὐ γὰρ ἔχω κατακρυφάν.
ΧΟ. μακρὰ μέλλετ', ἀλλὰ ταχύνατε.
ΟΙ. Λαΐου ἴστε τιν' ἀπόγονον;
ΧΟ. ὢ ὤ, ἰού.
ΟΙ. τό τε Λαβδακιδᾶν γένος;
ΧΟ. ὢ Ζεῦ.
ΟΙ. ἄθλιον Οἰδιπόδαν;
ΧΟ. σὺ γὰρ ὅδ' εἶ;
ΟΙ. δέος ἴσχετε μηδὲν, ὅσ' αὐδῶ.
ΧΟ. ἰὼ ὢ ὤ.
ΟΙ. δύσμορος.
ΧΟ. ὤ, ὤ.
ΟΙ. θύγατερ, τί ποτ' αὐτίκα κύρσει;
ΧΟ. ἔξω πόρσω βαίνετε χώρας.
ΟΙ. ἃ δ' ὑπέσχεο, ποῖ καταθήσεις;
ΧΟ. οὐδενὶ μοιριδία τίσις ἔρχεται,
ὧν προπάθῃ, τὸ τίνειν.
ἀπάτα δ' ἀπάταις
ἑτέραις ἑτέρα παραβαλλομένα
πόνον οὐ χάριν ἀντιδίδωσιν ἔχειν.

213. γεγώνω. Sic Eustathius, p. 709. l. 43. Verbum est barytonum. Vide Æschylum Prom. 193. 790.

216. Versus est anapæsticus. Contra metri rationem, quin etiam frigide legitur vulgo τέκνον ἐμόν.

217. ἐπ' ἔσχατα βαίνεις. Sic liquido scriptum in T. Ceteri μένεις, quod quidem facile erat emendatu. μ et β in antiquis codd. fere eamdem habent formam: αι et ε passim confunduntur: hinc ortus error. βένεις scriptum fuit pro βαίνεις.

222. Οἰδιπόδαν. De hac forma vide Valckenarium ad Phœniss. p. 306. Male in B. Οἰδίποδα.

226. Versus est anapæsticus. Recte in T. scriptum πόρσω. Ceteri cum Aldo contra metri rationem πρόσω. gl πόῤῥω.

σὺ δὲ τῶνδ' ἑδράνων
πάλιν ἔκτοπος, αὖτις ἄφορμος ἐμᾶς
χθονὸς ἔκθορε, μή τι πέρα χρεῖος ἐ-
μᾷ πόλει προσάψῃς.

AN. ὦ ξένοι αἰδόφρονες, ἀλλ' ἐπεὶ
γεραὸν πατέρα τόνδ' ἐμὸν
οὐκ ἀνέτλατ', ἔργων
ἀκόντων ἀΐοντες αὐδὰν,
ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομεν,
ὦ ξένοι, οἰκτίσαθ', ἃ πατρὸς ὕπερ
τοῦ 'μοῦ ἄντομαι, ἄντομαι, οὐκ ἀλα-
οῖς προσορωμένα ὄμμα σὸν ὄμμασιν,
ὥς τις ἀφ' αἵματος
ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
αἰδοῦς κύρσαι. ἐν ὑμῖν, ὡς θεῷ,
κείμεθα τλάμονες. ἀλλ' ἴτε, νεύσατε
τὰν ἀδόκητον χάριν.
πρός σ' ὅ τι σοι φίλον ἐκ σέθεν ἄντομαι,
ἢ τέκνον, ἢ λέχος, ἢ χρέος, ἢ θεός.

233. Basis anapæstica. Perperam Aldus σὺ δ' ἐκ τῶνδ'—addita inutili præpositione, ut supra, 167.

235. χρεῖος ob metrum legendum. Perperam vulgo χρέος. In membr. autem versus digesti, ut eos exhibui.

238. γεραόν. In quibusdam exemplaribus diversa erat lectio ἀλαόν: quod Scholiastæ observatum. Neutra carere voluit Triclinius.

242. Versus est anapæsticus. Insigni librariorum errore vulgo legitur οἰκτείραθ'. In Œd. T. 1508. ἀλλ' ἐποικτεῖρόν σφας. Vide infra, 556. Trach. 312. 855. 897. Passim hoc verbum occurrit.

243. τοῦ 'μοῦ. Aldus et membr. τοῦ μόνου, quod præferri debebat—Pro οὐκ ἀλαοῖς, veteri lectione, eaque optima, Turnebus e Triclinio pessime dedit ὁ καλοῖς. In codice syllabæ κα superducta linea, qua ineptus ille Sophoclis interpolator significabat α produci, cujus prosodiæ apud Atticos poëtas non unicum exstat exemplum.

247. Vulgo ἐν ὑμῖν γὰρ, ὡς θεῷ. A mala manu insertum fuit γὰρ, quod metro officit. Nec γὰρ in γε mutandum. ἀσύνδετα amat affectus.—ἐν ὑμῖν κείμεθα, ut Œd. T. 314. ἐν σοὶ ἐσμεν.

251. ἢ τέκνον, ἢ λέχος. Vulgo ἢ λόγος, sine ullo sensu. Ingeniosa conjectura Tragici manum certissime restituit Reiskius. λέχος, uxor. Quæ significatio apud Tragicos frequens. Deianira in Trach. 27. λέχος Ἡρακλεῖ κριτὸν ξυστᾶσα se ait. Tecmessa Ajacis λέχος δοριάλωτον vocatur. In genere conjugem notat. Pro marito occurrit apud Euripidem Danaë: Γυνὴ

οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν, ὅστις ἂν,
εἰ θεὸς ἄγοι, ἐκφυγεῖν δύναιτο.
ΧΟ. ἀλλ' ἴσθι, τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
οἰκτείρομεν καὶ τόνδε συμφορᾶς χάριν·
τὰ δ' ἐκ θεῶν τρέμοντες, οὐ σθένοιμεν ἂν
φωνεῖν πέρα τῶν πρὸς σὲ νῦν εἰρημένων.
ΟΙ. τί δῆτα δόξης, ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίγνεται;
εἰ τάς γ' Ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σώζειν οἵας τε, καὶ μόνας ἀρκεῖν ἔχειν.
κἀμοίγε ποῦ ταῦτ' ἐστὶν, οἵ τινες βάθρων
ἐκ τῶνδ' ἔμ' ἐξάραντες εἶτ' ἐλαύνετε,
ὄνομα μόνον δείσαντες; οὐ γὰρ δὴ τό γε
σῶμ', οὐδὲ τἄργα τἄμ'· ἐπεὶ τά γ' ἔργα μου
πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα,
εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρείη λέγειν,
ὧν οὕνεκ' ἐκφοβῇ με. τοῦτ' ἐγὼ καλῶς
ἔξοιδα. καί τοι πῶς ἐγὼ κακὸς φύσιν,
ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ' εἰ φρονῶν
ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός;
νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην·
ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην.
ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε.
καὶ μὴ θεοὺς τιμῶντες, εἶτα τῶν θεῶν

γὰρ ἐξελθοῦσα πατρῴων δόμων, Οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.

252. *βροτόν*. Sic bene in T. Quod ceteri habent, *βροτῶν*, metri lex respuit.

260. *εἰ τάς γ' Ἀθήνας*. Sic legendum, id est *εἴ γε τὰς Ἀθήνας*. Perperam in membr. ut Aldus edidit, *τάς τ'*—

261. *τὸν κακούμενον ξένον*. Perperam Turnebus e Triclinio dedit *τὸν καλούμενον*.

268. *χρείη*. Aldus *χρεῖ' ᾖ*. Vide Notas ad priorem Œd. 555. 791.

277. *εἶτα τῶν θεῶν μοῖραν ποιεῖσθε μηδαμῶς*. Sic certissime emendo, facem præferente Valckenario ad Herodotum, p. 476. Quod librariis debemus, est depravatissimum. Aldus et membr. habent *εἶτα τοὺς θεοὺς μοίραις ποιεῖσθε μηδαμῶς*. B. T. cum Turne-

ὥραν ποιεῖσθε μηδαμῶς· ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς· φυγὴν δέ του
μήπω γενέσθαι φωτὸς ἀνοσίου βροτῶν.
ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν.
ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
ῥύου με κἀκφύλασσε· μηδ' ἐμοῦ κάρα
τὸ δυσπρόσωπον εἰσορῶν ἀτιμάσῃς.
ἥκω γὰρ ἱερὸς εὐσεβής τε, καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ'· ὅταν δὲ κύριος
παρῇ τις, ὑμῶν ὅστις ἐστὶν ἡγεμὼν,
τότ' εἰσακούων πάντ' ἐπιστήσει· τὰ δὲ
μεταξὺ τούτου, μηδαμῶς γίγνου κακός.

ΧΟ. ταρβεῖν μὲν, ὦ γεραιὲ, τἀνθυμήματα
πολλή 'στ' ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι. τοὺς δὲ τῆσδε γῆς
ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.

ΟΙ. καὶ ποῦ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;

ΧΟ. πατρῷον ἄστυ γῆς ἔχει· σκοπὸς δέ νιν,
ὃς κἀμὲ δεῦρ' ἔπεμψεν, οἴχεται στελῶν.

ΟΙ. ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπὴν
ἢ φροντίδ' ἕξειν, κἀπόνως ἐλθεῖν πέλας;

bo μοῖραν. Neutra phrasis ex indole Græcæ linguæ est. ὥρα *curam* significat. Infra, 386. ὥραν ἔχειν, *curam habere*: τῶν θεῶν ὥραν μηδαμῶς ποιεῖσθαι, *Deos nihili facere, spernere*, ὀλιγωρεῖν. Alciphron Epist. 27. σὺ δὲ οὐδεμίαν ὥραν ἔχεις ἐμοῦ. ubi perperam ὧραν excusum. εἶτα inter participium et verbum vel abundat, vel, ut hîc, per *tamen* redditur. Vide Kœnium ad libellum de Dialectis, p. 62.

286. τὸ δυσπρόσωπον, scribere potuit τὸ δυσπρόσοπτον, ut El. 460. Πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα.

288. ὅταν δὲ κύριος. Sic recte T. Ceteri cum Aldo, ὅταν ὁ κύριος.

293. πολλή 'σ' ἀνάγκη. Sic Suidas in Ταρβεῖν, quod alibi φοβεῖσθαι significat: hîc vero, τιμᾷν. Membr. et Aldus, πολλή τ' ἀνάγκη, quod accipiendum esset pro πολλή τοι. In B. T. πολλή γ' ἀνάγκη.

294. βραχέσι. gl. εὐτελέσιν. Hujus significationis duo exempla suppeditat Reiskii index in Demosthenem.

298. ἔπεμψεν. Sic B. T. In membr. ut Aldus edidit, ἔπεμπεν.

300. κἀπόνως ἐλθεῖν πέλας. Sic

ΧΟ. καὶ κάρθ', ὅταν περ τοὔνομ' αἴσθηται τὸ σόν.
ΟΙ. τίς δ' ἔσθ' ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;
ΧΟ. μακρὰ κέλευθος· πολλὰ δ' ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,
θάρσει, παρέσται. πολὺ γάρ, ὦ γέρον, τὸ σὸν
ὄνομα διήκει πάντας, ὥστε κεἰ βραδὺς
ἕρπει, κλύων σου δεῦρ' ἀφίξεται ταχύς.
ΟΙ. ἀλλ' εὐτυχὴς ἵκοιτο τῇ θ' αὑτοῦ πόλει,
ἐμοί τε. τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;
ΑΝ. ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω, πάτερ;
ΟΙ. τί δ' ἔστι, τέκνον Ἀντιγόνη;
ΑΝ. γυναῖχ' ὁρῶ
στείχουσαν ἡμῶν ἆσσον, Αἰτναίας ἐπὶ
πώλου βεβῶσαν· κρατὶ δ' ἡλιοστερὴς
κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
τί φῶ;
ἆρ' ἐστίν; ἆρ' οὐκ ἔστιν; ἢ γνώμη πλανᾷ;
καὶ φημὶ κἀπόφημι, κοὐκ ἔχω τί φῶ.
τάλαινα.
οὐκ ἔστιν ἄλλη. φαιδρὰ γοῦν ἀπ' ὀμμάτων
σαίνει με προστείχουσα· σημαίνει δ' ὅτι
μόνης τόδ' ἐστὶ δῆλον Ἰσμήνης κάρα.

recte Turnebus edidit ex metri lege. Aldus cum tribus codd. ἀπόνως σ' ἐλθεῖν, claudicante versu.

306. *κεἰ βραδὺς ἕρπει.* Scripti et impressi libri, *κεἰ βραδὺς εὕδει*, quod ineptissimum est. Quis enim vel *βραδὺς* vel *ταχὺς* dormit? Hoc docere debebat nugator ille, qui vulgatam lectionem defendit; non vero exemplis probare, quod cuivis notissimum est, *dormientem quempiam e somno excitari posse.* Neo mihi soli istud *εὕδει* alienum visum est. Idem de eo sensisse video Ericum Hubertum van Eldik, qui alia coujectura, eaque non minus probabili, librarii errorem corrigit, *κεἰ βραδὺς ἐπεύδει.* Glossa, *εἰ ἀναπαυόμενος βραδύνει.*

313. *ἡλιοστερὴς κυνῆ πρόσωπα Θεσσαλίς μιν ἀμπέχει.* ὅ ἐστι, *σκέπει τὴν αὐτῆς κεφαλὴν κυνῇ σκιάζουσα τὸν ἥλιον, ὡς μὴ κατακαίειν τὸ πρόσωπον.* Eustathius, p. 803. ubi perperam *μιν* legit, quod Tragicis inusitatum.

319. *φαιδρὰ γοῦν ἀπ' ὀμμάτων.* Minus eleganter in T. *φαιδρὸν οὖν ἀπ' ὀμμάτων.* Non animadverterat Triclinius *φαιδρὰ* neutrum esse plurale pro adverbio. Pro *σαίνει* membr. et Aldus *σημαίνει.*

ΟΙ. πῶς εἶπας, ὦ παῖ;
ΑΝ. παῖδα σήν, ἐμὴν δ᾽ ὁρᾷν
ὅμαιμον· αὐδῇ δ᾽ αὐτίκ᾽ ἔξεστιν μαθεῖν.

## ΙΣΜΗΝΗ.

ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
ἥδιστα προσφωνήμαθ᾽, ὡς, ὑμᾶς μόλις
εὑροῦσα, λύπῃ δεύτερον μόλις βλέπω.
ΟΙ. ὦ τέκνον, ἥκεις;
ΙΣ. ὦ πάτερ δύσμοιρ᾽ ὁρᾷν.
ΟΙ. ὦ σπέρμ᾽ ὅμαιμον.
ΙΣ. ὦ δυσάθλιαι τροφαί.
ΟΙ. τέκνον, πέφηνας;
ΙΣ. οὐκ ἄνευ μόχθου γ᾽ ἐμοί.
ΟΙ. πρόσψαυσον, ὦ παῖ.
ΙΣ. θιγγάνω δυοῖν ὁμοῦ.
ΟΙ. ὦ τῆσδε κᾀμοῦ---
ΙΣ. δυσμόρου τ᾽ ἐμοῦ τρίτης.
ΟΙ. τέκνον, τί δ᾽ ἦλθες;
ΙΣ. σῇ, πάτερ, προμηθίᾳ.
ΟΙ. πότερα πόθοισι;
ΙΣ. καὶ λόγων αὐτάγγελος,
ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
ΟΙ. οἱ δ᾽ αὐθόμαιμοι ποῦ νεανίαι πονεῖν;
ΙΣ. εἴσ᾽ οὗπέρ εἰσι. δεινὰ τἀκείνοις τανῦν.

331. ὦ τῆσδε κᾀμοῦ—Patris querelam intercipit Ismene, ipsiusque et sororis miseriæ comitem se adjungens, sententiam absolvit, δυσμόρου τ᾽ ἐμοῦ τρίτης. Absurdissime vulgo Œdipus interrogat ἢ τῆσδε κᾀμοῦ; respondente Ismene δυσμόρου δ᾽ ἐμοῦ τρίτης. Egregiam Marklandi emendationem recepi, quem vide in Explicationibus Supplicibus subjectis, p. 247. extrema. Aldus et membr. δυσμόρου δ᾽ ἐμῆς τρίτης.

333. καὶ λόγων αὐτάγγελος. Sic recte in T. Ceteri cum Aldo καὶ λόγοις τ᾽ αὐτάγγελος.

335. ποῦ. Male vulgo παῖ. Subauditur verbum εἰσὶ, *sunt*. οἱ δὲ αὐθόμαιμοι νεανίαι ποῦ εἰσὶ τοῦ πονεῖν; Id est, ἐν ποίῳ πόνῳ εἰσίν; τί πονοῦσιν;

336. δεινὰ τἀκείνοις τανῦν. Sic recte scriptum in B. T. Aldus edidit δεινὰ δ᾽ ἐν κείνοις τὰ νῦν. In membr. δεινὰ δ᾽

ΟΙ. ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
φύσιν κατεικασθέντε καὶ βίου τροφάς.
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
θακοῦσιν ἱστουργοῦντες· αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
σφῷν δ', ὦ τέκν', οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
κατ' οἶκον οἰκουροῦσιν, ὥστε παρθένοι·
σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυστήνου κακὰ
ὑπερπονεῖτον. ἡ μὲν, ἐξ ὅτου νέας
τροφῆς ἔληξε, καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη,
γερονταγωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη,
πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασι
μοχθοῦσα τλήμων, δεύτερ' ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
σὺ δ', ὦ τέκνον, πρόσθεν μὲν ἐξίκου πατρὶ
μαντεῖ' ἄγουσα πάντα, Καδμείων λάθρα,
ἃ τοῦδ' ἐχρήσθη σώματος· φύλαξ δ' ἐμοῦ
πιστὴ κατέστης, γῆς ὅτ' ἐξηλαυνόμην.
νῦν δ' αὖ τίν' ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ' ἐγὼ σαφῶς
ἔξοιδα· μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσά τι.
ΙΣ. ἐγὼ τὰ μὲν παθήμαθ', ἃ 'παθον, πάτερ,
ζητοῦσα τὴν σὴν, ποῦ κατοικοίη, τροφὴν,

κείνοις. Scribere debuit librarius δ' ἐκείνοις, ut est in Romana scholiorum editione. ταννῦν una voce Atticum est pro νῦν.

349. νηλίπους τ' ἀλωμένη. In B. ἀνηλίπους ἀλωμένη. In T. ἀνηλίπους τ' ἀλωμένη. Veram lectionem esse credo ἀνήλιπός τ' ἀλωμένη, et ita edidisse vellem. Hanc formam agnoscunt grammatici omnes: etymon vero accuratissime tradidit Theocriti enarrator ad Idyll. iv. 55. ΑΝΑΛΙΠΟΣ. ἤγουν ἀνυπόδητος. ἦλιψ γὰρ, τὸ ὑπόδημα, παρὰ τὸ ἑλίσσειν τὸν πόδα, ἐξ οὗ καὶ πέδιλον, τὸ ὑπόδημα. ἀνήλιπος δὲ οἱονεὶ ὁ μὴ ἑλίσσων τὸν πόδα.

362. ζητοῦσα τὴν σὴν, ποῦ κατοικοίη, τροφήν. Id est, ζητοῦσα ὅπου κατοικοίη ἡ σὴ τροφή. ἤγουν διατριβὴ, δίαιτα, διαγωγή. Lectionem quam dedimus,

παρεῖσ' ἐάσω. δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ' ἀλγεῖν, καὶ λέγουσ' αὖθος πάλιν.
ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦσ' ἐλήλυθα.
πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρως, Κρέοντί τε
θρόνους ἐᾶσθαι, μηδὲ χραίνεσθαι πόλιν,
λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθορὰν,
οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
νῦν δ' ἐκ θεῶν του κἀξ ἀλιτηρίου φρενὸς
εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακὴ,
ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.
χὠ μὲν νεάζων, καὶ χρόνῳ μείων γεγὼς,

exhibent B. T. In membr. πῦ κατοικοίη τραφήν. Impressi autem, τοῦ κατοικοίης τροφήν.

367. ἦν ἔρως. Libri omnes ἦν ἔρις, quod series narrationis falsum esse ostendit, et a librario huc retractum fuit e v. 372. Acutissimi viri, Thomæ Tyrwhitt, cujus tot præclaræ exstant in Euripidem emendationes, conjecturam recepi, qua nihil certius mihi videtur. Sic ἔρως occurrit infra, 436. Euripid. Phœniss. 631. Alcest. 1101. Suppl. 139. Iphig. A. 813. et passim. Vide notata ad prioris Œdipi v. 601.

371. κἀξ ἀλιτηρίου φρενός. Sic bene scriptum in T. Glossa, ἁμαρτωλοῦ, μιαρᾶς. In duobus aliis, ut in Suida, et ut Aldus edidit, κἀξ ἀλιτηροῦ φρενὸς, claudicante versu. Codicum auctoritate firmatam lectionem recepi, quam sinceram esse et genuinam affirmo. Nam in κἀξ consentiunt omnes; unus autem, ceteris hac in parte emendatior, dat ἀλιτηρίου. Quippe opinioni non accedo, Tragicos poëtas nunquam anapæstos in paribus senariorum sedibus adhibuisse. Non alium decantati hujus canonis fidejussorem cognosco præter Hephæstionem, qui tamen id non omnino adserit. Τὸ ἰαμβικὸν μέτρον δέχεται κατὰ μὲν τὰς περιττὰς χώρας ἴαμβον, τρίβραχυν, σπονδεῖον, δάκτυλον, καὶ ἀνάπαιστον· κατὰ δὲ τὰς ἀρτίους ἴαμβον, τρίβραχυν, καὶ ἀνάπαιστον· τοῦτον δὲ τὸν ἀνάπαιστον παρὰ μὲν τοῖς κωμικοῖς συνεχῶς· παρὰ δὲ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς ΣΠΑΝΙΩΤΕΡΟΝ. Satis est ad tuendam nostram lectionem, fateri Hephæstionem Tragicos nonnunquam, licet rarius, Comicorum licentia usos fuisse. Quod autem de veteribus iambographis ait, id falsum esse opinor. Unicum quod mihi occurrit exemplum, mendosum esse comperi, et certa conjectura in integrum restituo. Versus est in Simonidis lepidissimo carmine de mulierum ingeniis 43. ubi legebatur: Τὴν δ' ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου. Nos autem non ita pridem edidimus: Τὴν δ' ἐκ σποδιῆς τε καὶ παλιντριβέος ὄνου. Vox σποδιῆς glossema est. Scripserat antiquus ille Simonides: Τὴν δ' ἐκ τεφρῆς τε καὶ παλιντριβέος ὄνου. Hesychius: τεφρὸν, σποδιὸν, φαιὸν, πολιόν. Quibus autem persuasum est anapæstum in pari loco senarii tragici ferendum non esse, iis egregie Toupius ad Suidam ii. 168. emendasse vide-

τὸν πρόσθε γεννηθέντα Πολυνείκην θρόνων
ἀποστερίσκει, κἀξελήλακεν πάτρας.
ὁ δ', ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύων λόγος,
τὸ κοῖλον Ἄργος βὰς φυγὰς, προσλαμβάνει
κῆδός τε καινὸν καὶ ξυνασπιστὰς φίλους,
ὡς αὐτίκ' Ἄργος δὴ τὸ Καδμεῖον πέδον
τιμῇ καθέξον, καὶ πρὸς οὐρανὸν βιβῶν.
ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων,
ἀλλ' ἔργα δεινά· τοὺς δὲ σοὺς ὅποι θεοὶ
πόνους κατοικτιοῦσιν, οὐκ ἔχω μαθεῖν.
ΟΙ. ἤδη γὰρ ἔσχες ἐλπίδ', ὡς ἐμοῦ θεοὺς
ὤραν τιν' ἕξειν, ὥστε σωθῆναί ποτε;
ΙΣ. ἔγωγε τοῖς νῦν γ', ὦ πάτερ, μαντεύμασι.
ΟΙ. ποίοισι τούτοις; τί δὲ τεθέσπισται, τέκνον;
ΙΣ. σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
θανόντ' ἔσεσθαι ζῶντά τ', εὐσοίας χάριν.
ΟΙ. τίς δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἄν;
ΙΣ. ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
ΟΙ. ὅτ' οὐκ ἔτ' εἰμὶ, τηνικαῦτ' ἄρ' εἰμ' ἀνήρ.

bitur: Νῦν δ' ἐκ θεῶν τοῦ κἀλιτηρίου φρενός.

375. Πολυνείκην. Aldus, ut in membr. scriptum est, edidit Πολυνείκη, quod, ut magis Atticum, retineri debebat. Ionicam terminationem accusativi εα Attici in η contrahunt. Sic apud Comicum Ἀντισθένη, Κλεισθένη, Σωκράτη.

377. πληθύων. In B. T. πληθύνων.

380. Aldus sic hos versus edidit: Ὡς αὐτίκ' Ἄργος ἢ τὸ Καδμείων πέδον Τιμῇ καθέξων, ἢ πρὸς οὐρανὸν βιβῶν. In membr. scriptum Καδμεῖον et καθέξον. Postremum quidem recte omnino: nam Ἄργος, ad quod participium illud refertur, neutrum est. Sed tetrius remanebat ulcus. Particulæ disjunctivæ ἢ, quas Scholiastes ridicule pro καὶ accipiendas esse ait, locum hic habere non possunt, quum duo membra sibi invicem non opponantur; quin vero alterum ex altero sequatur. Sed ille hujus loci explicatione nihil nisi ollas lippit. Palmam tamen stoliditatis sibi vindicat Johnsonus, cujus versionem videsis. Prius ἢ mutari debuit in δή. ὡς δὴ, *tanquam scilicet*, sensu ironico: posterius vero in καί. καὶ πρὸς οὐρανὸν βιβῶν, nempe αὐτὸν, τὸν Πλυνείκη.

387. τοῖς νῦν γ'—Postrema particula in T. omissa.

390. εὐσοίας. Unice hoc verum superscriptum est in T. pro varia lectione. Ceteri, ut Aldus, male εὐνοίας. Vide lexicon.

393. ἀνήρ. *Vir*, κατ' ἐξοχήν. Sic

ΙΣ. νῦν γὰρ θεοί σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
ΟΙ. γέροντα δ' ὀρθοῦν, φλαῦρον, ὃς νέος πέσῃ.
ΙΣ. καὶ μὴν Κρέοντά γ' ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
ΟΙ. ὅπως τί δράσῃ, θύγατερ; ἑρμήνευέ μοι.
ΙΣ. ὥς σ' ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
κρατῶσι μέν σου, γῆς δὲ μὴ 'μβαίνῃς ὅρων.
ΟΙ. ἡ δ' ὠφέλησις τίς θύραισι κειμένου;
ΙΣ. κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
ΟΙ. κἄνευ θεοῦ τις τοῦτό γ' ἂν γνώμῃ μάθοι.
ΙΣ. τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
χώρας θέλουσι· μηδ' ἵν' ἂν σαυτοῦ κρατοῖς.
ΟΙ. ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει;

apud Comicum Equit. 391. Ἀλλ' ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον, Κᾆτ' ἀνὴρ ἔδοξεν εἶναι.—ibid. 1254.—μέμνησ' ὅτι Ἀνὴρ γεγένησαι δι' ἐμέ.

395. ὃς νέος πέσῃ. Sic Aldus et codd. omnes; quo magis miror quî Turnebus ediderit πέσοι, quod solœcum est. Æschylus S. Th. 259. Μοχθηρὸν, ὥσπερ ἄνδρας, ὧν ἁλῷ πόλις. Ubi vide quæ notavi. Idem in Jaculatricibus apud Plutarchum: Νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων Ὀφθαλμὸς, ἥ τις ἀνδρὸς ᾖ γεγευμένη. Eurip. Med. 519. Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν, ὃς κίβδηλος ᾖ, Τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ—Noster in El. 770.—οὐδὲ καὶ κακῶς Πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται. His in exemplis, quibus alia multa addi possent, vides subjunctivum adhiberi, non optativum. φλαυρὸν in hoc versu, nec ἀδύνατον, nec χαλεπὸν significat; sed εὐτελὲς, *vile*, *futile*.

397. βαιοῦ, κοὐχὶ μυρίου. Reduplicatio, ut in priore Œdipo 58.

402. τύμβος δυστυχῶν. *Tumulus infelix*, id est, *tumulus in peregrina terra*. Pars enim quædam felicitatis esse videbatur, si quis post mortem patrio condereturˈsolo. Sic quidem recte exponit Scholiastes. Heathius vero: *Illis quidem sepulcrum tuum, si eo frustrantur, grave est futurum.* Non satis video quî hic sensus e Græcis elici possit, etiamsi δυστυχῶν per enallagen accipiatur pro δυστυχοῦσι. Hoc si voluisset poëta, scribere poterat: Κείνοις ὁ τύμβος ἀποτυχοῦσι σὸς βαρύς.

403. Perperam vulgo in fine hujus interrogationis signum positum. τις indefinitum est. *Me etiam mortuum illis infensum fore*, ἀραῖον, *si me non siverint in patria terra sepeliri, vel non monente Deo quivis facile intelliget.* Nulla hic interrogatio est, quod vel inde liquet, quod nulla subjicitur responsio.

405. μηδ' ἵν' ἂν σαυτοῦ κρατοῖς. Libri omnes κρατῇς solœce. ἵνα hic valet ὅπου, quod non intellexit Johnsonus, qui pessime vertit, *ne tui juris sis*. Sensum tamen expediverat Scholiastes: μηδὲ τιθέναι σε ὅπου κρατοῖς ἂν σαυτοῦ: *non vero te locare, ubi tui juris esse possis.*

406. κατασκιῶσι. gl. θάψουσιν. Vide ad priorem Œdipum 138.

ΙΣ. ἀλλ' οὐκ ἐᾷ τοὔμφυλον αἷμά σ', ὦ πάτερ.
ΟΙ. οὐκ ἄρ' ἐμοῦ γε μὴ κρατήσουσιν ποτέ.
ΙΣ. ἔσται ποτ' ἄρα τοῦτο Καδμείοις βάρος.
ΟΙ. ποίας φανείσης, ὦ τέκνον, ξυναλλαγῆς;
ΙΣ. τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν στῶσιν τάφοις.
ΟΙ. ἃ δ' ἐννέπεις, κλύουσα τοῦ λέγεις, τέκνον;
ΙΣ. ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ' ἑστίας.
ΟΙ. καὶ ταῦτ' ἐφ' ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
ΙΣ. ὥς φασιν οἱ μολόντες εἰς Θήβης πέδον.
ΟΙ. παίδων τις οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
ΙΣ. ἄμφω γ' ὁμοίως, κἀξεπίστασθον καλῶς.
ΟΙ. κᾆθ' οἱ κάκιστοι τῶνδ' ἀκούσαντες, πάρος
τοῦ 'μοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
ΙΣ. ἀλγῶ κλύουσα ταῦτ' ἐγώ· φέρω δ' ὅμως.
ΟΙ. ἀλλ' οἱ θεοί σφι μήτε τὴν πεπρωμένην
ἔριν κατασβέσειαν, ἐν δ' ἐμοὶ τέλος
αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
ἧς νῦν ἔχονται, κἀπαναιροῦνται δόρυ·
ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει,
μείνειεν, οὔτ' ἂν οὑξεληλυθὼς, πόλιν
ἔλθοι ποτ' αὖθις· οἵ γε τὸν φύσαντ' ἐμὲ,
οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον,
οὐκ ἔσχον, οὐδ' ἤμυναν· ἀλλ' ἀνάστατος
αὐτοῖν ἐπέμφθην, κἀξεκηρύχθην φυγάς.
εἴποις ἂν, ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατήνεσεν.

408. οὐ μὴ κρατήσουσιν. Solœce vulgo κρατήσωσιν, quod ne codicum quidem omnium auctoritas tutari posset. In T. vulgatæ lectioni nostra superscripta. Vide ad priorem Œdipum 1075.

417. ἄμφω γ'—Sic B. T. In membr. et apud Aldum ἄμφω θ'—

421. μήτε τὴν πεπρωμένην. In membr. scriptum a prima manu μήτε τῶν πεπραγμένων. In B. T. perperam σφι. Rarius illud σφι, quod pronomen est duale tertiæ personæ, librarios turbavit. Eurip. Med. 401. Πικροὺς δ' ἐγώ σφι καὶ λυγροὺς θήσω γάμους.

429. οὐδ' ἤμυναν. Aldus, ut in membr. scriptum est, ἤμυνεν.

432. κατήνεσεν. Sic B. T. In membr. ut apud Aldum, depravate κατήνυσιν.

οὐ δῆτ᾽, ἐπεί τοι τὴν μὲν αὐτίχ᾽ ἡμέραν,
ὁπηνίκ᾽ ἔζει θυμὸς, ἥδιστον δ᾽ ἐμοὶ
τὸ κατθανεῖν ἦν καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἔρωτος τοῦδ᾽ ἐφαίνετ᾽ ὠφελῶν·
χρόνῳ δ᾽ ὅτ᾽ ἤδη πᾶς ὁ μόχθος ἦν πέπων,
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
τοτηνίκ᾽ ἤδη τοῦτο μὲν, πόλις βίᾳ
ἤλαυνέ μ᾽ ἐκ γῆς χρόνιον· οἱ δ᾽ ἐπωφελεῖν,
οἱ τοῦ πατρὸς, τῷ πατρὶ δυνάμενοι, τὸ δρᾷν
οὐκ ἠθέλησαν, ἀλλ᾽ ἔπους σμικροῦ χάριν
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἐγώ.
ἐκ ταῖνδε δ᾽, οὔσαιν παρθένοιν, ὅσον φύσις
δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου,
καὶ γῆς ἄδειαν, καὶ γένους ἐπάρκεσιν·
τὼ δ᾽ ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους
καὶ σκῆπτρα κραίνειν, καὶ τυραννεύειν χθονός.
ἀλλ᾽ οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου,

443. *ἀλλ᾽ ἔπους σμικροῦ χάριν.* Aldus et membr. *ἔπους μικροῦ.* In B. *ἐπ᾽ οὐ σμικροῦ.* In T. *ἀλλά που σμικροῦ χάριν.* Facetus est Gallicus metaphrastes, qui hæc accepit de verbulo, quod Œdipo exciderat: *ut mot qui m'est échappé fut pour eux un prétexte suffisant.* Hoc autem verbulum imprecationes esse ariolatur, quibus Œdipus in priore dramate Laii occisorem devoverat a v. 236. ad 242. quo quidem nihil magis absonum excogitari poterat. Fieri potuit ut ob diras illas universus Thebanus populus Œdipum ex urbe vi ejiceret: *πόλις βίᾳ ἤλαυνέ μ᾽ ἐκ γῆς.* Sed qui patris causam suscipere debebant, potius quam eum verbulo defenderent, eum expelli passi sunt. Nihil aliud significant hæc verba *ἔπους σμικροῦ χάριν.* Possis tamen cum Camerario interpretari, *ob rem parvi momenti, levem ob prætextum, propter levem offensionem.* Nam *ἔπος* sæpe adhibetur pro *πρᾶγμα, res,* quod Heynio nec observatum fuit in Excursu xv. ad iv. Æneidos.

445. *ἐκ ταῖνδε δ᾽, οὔσαιν παρθένοιν.* Sic bene Aldus cum codd. veteribus. Prava Triclinii lectio, *κἀκ ταῖνδε,* quæ sane emendationis indiget, viro nescio cui docto suspicionem movit, scriptum a poëta fuisse *κἀκ ταῖνδε δισσαῖν.* Verum nemo non videt copulam hîc alieno loco positam, quum series orationis adversativam particulam *δὲ* flagitet.

450. *λάχωσι.* Libens *τύχωσι* amplecterer, si id liber antiquus offerret. Vide Notam ad El. 364.

οὔτε σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει. τοῦτ' ἐγᾦδα, τῆσδέ τε
μαντεῖ' ἀκούων, ξυννοῶν τά τ' ἐξ ἐμοῦ
παλαίφαθ', ἅ'μοὶ Φοῖβος ἤνυσέν ποτε.
πρὸς ταῦτα καὶ Κρέοντα πεμπόντων, ἐμοῦ
μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέλητ' ἐμοῦ
ξὺν ταῖσδε ταῖς σεμναῖσι δημούχοις θεαῖς
ἀλκὴν ποιεῖσθαι, τῇδε τῇ πόλει μέγαν
σωτῆρ' ἀρεῖσθε, τοῖς δ' ἐμοῖς ἐχθροῖς πόνους.

ΧΟ. ἐπάξιος μὲν Οἰδίπους κατοικτίσαι,
αὐτός τε, παῖδές θ' αἵδ'· ἐπεὶ δὲ τῆσδε γῆς
σωτῆρα σαυτὸν τῷδ' ἐπεμβάλλεις λόγῳ,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.

ΟΙ. ὦ φίλταθ', ὡς νυν πᾶν τελοῦντι προξένει.

ΧΟ. θοῦ νυν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ' ἃς
τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.

ΟΙ. τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.

ΧΟ. πρῶτον μὲν ἱερὰς ἐξ ἀειρύτου χοὰς
κρήνης ἐνέγκου, δι' ὁσίων χειρῶν θίγων.

ΟΙ. ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;

ΧΟ. κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.

ΟΙ. θαλλοῖσιν, ἢ κρόκαισιν; ἢ ποίῳ τρόπῳ;

ΧΟ. οἰὸς * νεογνῆς νεοπόκῳ μαλλῷ βαλών.

* νεαρᾶς edd. 1. 2.

452. τῆσδέ τε. Sic recte in B. T. In membr. ut apud Aldum τῆσδέ γε. Seq. v. concinnior videretur lectio ξυννοῶν τε τἀξ ἐμοῦ.

459. τῇδε τῇ πόλει. In B. T. τῇδε μὲν πόλει.

464. παραινέσαι. gl. ὑποθέσθαι.

466. ἐφ' ἃς. In membr. ἐφ αἷς.

472. εὔχειρος. gl. εὐτέχνου.

474. κρόκαισιν. Perperam in B. T. κρόκοισιν. Pejor lectio in hoc superscripta κρωσσοῖσιν.

475. οἰὸς νεογνῆς νεοπόκῳ μαλλῷ βαλών. Mendose in Aldina editione, ut in membr. νεοτόκῳ. In duobus aliis pessime οἰοτόκῳ μαλλῷ λαβών. Quorum verborum ultimum ex frequenti librariorum lapsu in permutandis λαβεῖν et βαλεῖν. Libri omnes habent οἰὸς νεαρᾶς, quod mendosum

ΟΙ. εἶεν· τὸ δ' ἔνθεν ποῖ τελευτῆσαί με χρή;
ΧΟ. χοὰς χέασθαι πάντα πρὸς πρώτην ἕω.
ΟΙ. ἦ τοῖσδε κρωσσοῖς, οἷς λέγεις, χέω τάδε;
ΧΟ. τρισσάς γε πηγάς· τὸν τελευταῖον δ' ὅλον.
ΟΙ. τοῦ τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.
ΧΟ. ὕδατος, μελίσσης· μηδὲ προσφέρειν μέθυ.
ΟΙ. ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;
ΧΟ. τρὶς ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
τιθεὶς ἐλαίας, τάσδ' ἐπεύχεσθαι λιτάς.
ΟΙ. τούτων ἀκοῦσαι βούλομαι. μέγιστα γάρ.
ΧΟ. ὥς σφας καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον,
αἰτοῦ σύ γ' αὐτὸς, κεἴ τις ἄλλος ἀντὶ σοῦ,
ἄπυστα φωνῶν, μηδὲ μηκύνων βοήν·
ἔπειτ' ἀφέρπειν ἄστροφος. καὶ ταῦτά σοι
δράσαντι θαρσῶν ἂν παρασταίην ἐγώ·
ἄλλως δὲ δειμαίνοιμ' ἂν, ὦ ξέν', ἀμφὶ σοί.
ΟΙ. ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων;
ΑΝ. ἠκούσαμέν τε, χὤ τι δεῖ πρόστασσε δρᾶν.
ΟΙ. ἐμοὶ μὲν οὐχ ὁδωτά. λείπομαι γὰρ ἐν
τῷ μὴ δύνασθαι, μήθ' ὁρᾶν, δυοῖν κακοῖν.
σφῷν δ' ἡτέρα μολοῦσα πραξάτω τάδε.
ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
ψυχὴν τάδ' ἐκτίνουσαν, ἣν εὔνους παρῇ.

esse titubans metrum arguit. In voce νεαρᾶς, media corripitur, nec ulla ratione produci potest. Non placet subditum ab Heathio fulcrum legente οἷός γε νεαρᾶς. Elegans est et docta Valckenarii conjectura quam pro merito suo recepimus, οἰὸς νεογνῆς. Genuinæ vocis locum invasit glossa. Hesych. νεογιλῆς, νεογνῆς, νεαρᾶς, νέας, νεωστὶ γεννηθείσης.

478. χέω τάδε. In B. T. τόδε.

479. τρισσάς γε. Perperam Aldus et membr. τρισσάς τε.

491. θαρσῶν. Perperam Aldus et codd. θαῤῥῶν.—παρασταίην. Sic emendate scriptum in B. Ceteri cum Aldo παρασταίμην, quæ forma ne Græca quidem est.

499. τάδ' ἐκτίνουσαν. Sic omnino legendum cum Cantero Nov. Lect. v. 25. invitis etiam codd. qui in mendosa impressorum lectione consentiunt, quam inepte Scholiastes interpretatur.

ἀλλ' ἐν τάχει τι πράσσετον· μόνον δ' ἐμὲ
μὴ λείπετ'. οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
ἔρημον ἕρπειν, οὐδ' ὑφηγητοῦ γ' ἄνευ.
ΙΣ. ἀλλ' εἶμ' ἐγὼ τελοῦσα· τὸν τόπον δ' ἵνα
τὰ χρεῖ' ἐφεύρω, τοῦτο βούλομαι μαθεῖν.
ΧΟ. τοὐκεῖθεν ἄλσους, ὦ ξένη, τοῦδ'· ἢν δέ του
σπάνιν τιν' ἴσχῃς, ἔστ' ἔποικος, ὃς φράσει.
ΙΣ. χωροῖμ' ἂν ἐς τόδ'· Ἀντιγόνη, σὺ δ' ἐνθάδε
φύλασσε πατέρα τόνδε. τοῖς τεκοῦσι γὰρ
οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.
ΧΟ. δεινὸν μὲν, τὸ πάλαι κείμενον ἤ-
δη κακὸν, ὦ ξεῖν', ἐπεγείρειν·
ὅμως δ' ἔραμαι πυθέσθαι---
ΟΙ. τί τοῦτο;
ΧΟ. τᾶς δειλαίας ἀπόρου φανείσας
ἀλγηδόνος, ᾇ ξυνέστας.
ΟΙ. μὴ, πρὸς ξενίας, ἀνοίξῃς,
τᾶς σᾶς. πέπονθ' ἔργ' ἀναιδῆ.
ΧΟ. τό τοι πολὺ καὶ μηδαμὰ λῆγον
χρῄζω, ξέν', ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.
ΟΙ. ἰώ μοι.
ΧΟ. στέρξον, ἱκετεύω.

504. Legitur vulgo, τὸν τόπον δ' ἵνα χρῆ'σται μ' ἐφευρεῖν. In B. χρησταί μ' ἐφευρεῖν. Ceteri nihil variant. Absurda lectio. Nihil expedit Scholiastæ explicatio, ad χρῆ'σται tantum pertinens, eaque falsa. Etiamsi vera esset, remaneret adhuc vitium in ἐφευρεῖν, verbo activo, cui subdi debet nomen rei inveniendæ. Perspicua est sententia ad quam revocanda verba: *Locum autem, ubi res quibus usus est inveniam, hoc doceri volo.* τὸν τόπον δ' ἵνα τὰ χρεῖ' ἐφεύρω, τοῦτο βούλομαι μαθεῖν.—τὰ χρεῖα, τὰ χρήσιμα. Nomen est adjectivum χρεῖος, *utilis*, quod alias etiam *indigum* notat, ut apud Eurip. Herc. Fur. 51. 1340.

511. ἐπεγείρειν. gl. ἀνακινεῖν.

515. ἀνοίξῃς. Sic libri omnes optime. In eadem perstat metaphora. Aperiuntur enim, ἀνοίγεται, id est, palam fiunt, quæ excitantur, ἃ ἐπεγείρεται. Vim verbi declarat Scholiastes: μὴ ἀναπτύξῃς μου τὰ ἀναιδῆ ἔργα. Cave verbum elegans cum ἀνώξῃς commutes, quæ futilis est Gallici interpretis conjectura.

519. στέρξον. Schol. Ms. ἤγουν πρόσδεξαι ἃ δηλονότι λέγω, καὶ μὴ ἀποστραφῇς τὴν αἰτίαν εἰπεῖν.

ΟΙ. φεῦ, φεῦ.
ΧΟ. πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.
ΟΙ. ἤνεγκον κακότατ', ὦ ξένοι,
ἤνεγκον, ἄκων μὲν, θεὸς ἴστω·
τούτων δ' αὐθαίρετον οὐδέν.
ΧΟ. ἀλλ' ἐς τί;
ΟΙ. κακᾷ μ' ἐν εὐνᾷ πόλις οὐδὲν ἴδριν
γάμων ἐνέδησεν ἄτᾳ.
ΧΟ. ἦ μητρόθεν, ὡς ἀκούω,
δυσώνυμα λέκτρ' ἔπλησας;
ΟΙ. ὤ μοι, θάνατος μὲν τάδ' ἀκούειν,
ὦ ξέν'· αὗται δὲ δύ' ἐξ ἐμοῦ---
ΧΟ. πῶς φῄς;
ΟΙ. παῖδες, δύο δ' ἄτα---
ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ματρὸς κοινᾶς
ἀπέβλαστον ὠδῖνος.
ΧΟ. σαί τ' ἄρ' εἴσ' ἀπόγονοί τε καὶ
κοιναί γε πατρὸς ἀδελφεαί.
ΟΙ. ἰώ.
ΧΟ. ἰὼ δῆτα.
μυρίων ἐπιστροφὰς κακῶν
ἔπαθες.

525. κακᾷ μ' ἐν εὐνᾷ πόλις οὐδὲν ἴδριν. Vulgo κακᾷ μὲν εὐνᾷ πόλις οὐδὲν ἴδρις. Quod ad μὲν attinet, menda manifesta est: ἴδρις defendi possit.

528. ἔπλησας. Sic scriptum in B. Ceteri cum Aldo ἐπλήσω. In T. superscriptum ἔπλησας, quod nihil aliud esse videtur quam nostræ lectionis depravatio.

531. δύο δ' ἄτα. Sic unice in T. et in membr. a prima manu, superscripta Aldo lectione, γρ. ἄται.

534. σαί τ' ἄρ' εἴσ'—Sic membr. et Aldus. Id est σαί τοι ἄρα. Bonam lectionem diversimode depravarunt librarii. In B. αὐτ' ἄρ' εἰσίν. In T. αὐτὰρ εἰσίν.

537. Aldus hunc versum Œdipo tribuit, legens ἐπιστροφαί: sequens autem verbum ἔπαθες Choro. In nullo codice persona huic versui præfixa conspicitur, sed præcedenti continuatur, in A. T. Choro: in B. Œdipo, cui, ob personarum confusionem verba ἰὼ δῆτα tributa fuerant. In tribus verbo ἔπαθες præfixa est persona Chori. Has turbas composuimus, vera restituta lectione, ἐπιστροφὰς, ut legendum esse jam viderat eruditus Britannus apud Heathium.

ΟΙ. ἔπαθον ἄλαστ' ἔχειν.
ΧΟ. ἔρεξας---
ΟΙ. οὐκ ἔρεξα.
ΧΟ. τί γάρ;
ΟΙ. ἐδεξάμην
δῶρον, ὃ μήποτ' ἐγὼ ταλακάρδιος
ἐπωφέλησα πόλεως ἐξελέσθαι.
ΧΟ. δύστανε, τί γάρ; ἔθου φόνον---
ΟΙ. τί τοῦτο; τί δ' ἐθέλεις μαθεῖν;
ΧΟ. πατρός;
ΟΙ. παπαί.
δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον.
ΧΟ. ἔκανες---
ΟΙ. ἔκανον. ἔχει δ' ἐμοὶ---
ΧΟ. τί τοῦτο;
ΟΙ. πρὸς δίκας τι.
ΧΟ. τί γάρ;
ΟΙ. ἐγὼ φράσω.
καὶ γὰρ ἀγνὼς ἐφόνευσα, κἀπώλεσα·
νόμῳ δὲ καθαρὸς, ἄϊδρις ἐς τόδ' ἦλθον.
ΧΟ. καὶ μὴν ἄναξ ὅδ' ἡμὶν Αἰγέως γόνος
Θησεὺς κατ' ὀμφὴν σὴν ἀποσταλεὶς πάρα.

## ΘΗΣΕΥΣ.

πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ
τὰς αἱματηρὰς ὀμμάτων * διαφθορὰς,
ἔγνωκά σ', ὦ παῖ Λαΐου· τανῦν θ' ὁδοῖς

* διαστροφὰς edd. 1. 2.

547. *καὶ γὰρ ἀγνὼς ἐφόνευσα.* Vulgo legitur nimis absurde, *καὶ γὰρ ἄλλους ἐφόνευσα*, quod non video qui juxta Heathii interpretationem significare possit, *Alios, ut putabam scilicet, non patrem.* Vere, ni fallor, emendat acutissimus Tyrwhittus, *ἄγνως, inscius.*

550. *ἀποσταλεὶς πάρα.* Sic recte Turnebus edidit. Aldus et codd. mendose *ἀπεστάλη πάρα.*—*κατ' ὀμφὴν σήν.* gl. *κατὰ σὴν προσαγόρευσιν.*

552. *διαφθοράς.* Nullo novandi consilio in majore editione reliqui *διαστροφὰς*, quod mihi oscitanter describenti in calamum forte venerat.

ἐν ταῖσδ' ἀκούων, μᾶλλον ἐξεπίσταμαι.
σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα
δηλοῦτον ἡμῖν ὄνθ' ὃς εἶ, καί σ' οἰκτίσας
θέλω σ' ἐρέσθαι, δύσμορ' Οἰδίπου, τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ' ἔχων,
αὐτός τε, χ' ἡ σὴ δύσμορος παραστάτις.
δίδασκε. δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις
λέξας, ὁποίας ἐξαφισταίμην ἐγώ.
ὡς οἶδά γ' αὐτὸς, ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σὺ, χὤστις πλεῖστ' ἀνὴρ ἐπὶ ξένης
ἤθλησα κινδυνεύματ' ἐν τῷ 'μῷ κάρᾳ,
ὥστε ξένον γ' ἂν οὐδέν' ὄνθ', ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσώζειν· ἐπεὶ
ἔξοιδ' ἀνὴρ ὢν, χὤτι τῆς ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.

ΟΙ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν, ὥστε βραχέα μοι δεῖσθαι φράσαι.
σὺ γάρ μ' ὃς εἰμὶ, κἀξ ὅτου πατρὸς γεγὼς,
καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς.
ὥστ' ἔστι μοι τὸ λοιπὸν οὐδὲν ἄλλο, πλὴν
εἰπεῖν ἃ χρήζω, χὠ λόγος διέρχεται.

557. θέλω σ' ἐρέσθαι. Perperam Aldus, ut in membr. θέλω τι ἔρεσθαι.

565. ὥστε ξένον γ' ἂν οὐδέν' ἐκτραποίμην. Mendóse in omuibus libris ξένον γὰρ—Nihil hîc est intricati, nullum hyperbaton. Nihil aliud erat quam turpis solœcismus facile eximendus. γὰρ alienum est a sententia, et ὑπεκτραποίμην sine ἂν stare nequit. In membr. γὰρ est a secunda manu: scriptum primo fuerat γε. At certum est, si quid aliud, a poëta γ' ἂν relictum fuisse. Heathio fraudi fuit forte prava Triclinii lectio in seq. v. μὴ οὐ συνεκσώζειν σ'· ἐπεὶ—Pronomen σε inepte intrusum fuit: illud non agnoscunt membr. nec Aldus. Hunc locum ob oculos habuisse videtur Virgilius, ubi Dido eadem humanitate, qua hîc Theseus Œdipum, Trojanos, excipit, Æn. i. 628. Me quoque per multos similis fortuna labores Jactatam hac demum voluit consistere terra. Non ignara mali miseris succurrere disco.

570. βραχέα μοι. In libris omnibus βραχί' ἐμοί. Inveuustus hiatus librariis, non Sophocli, placere potuit.

571. κἀξ ὅτου. Membr. et Aldus κἀπό του. In B. T. κἀφ' ὅτου.

574. χὠ λόγος διέρχεται. Sic tres codd. In A. superscripta altera lectio διοίχεται, quam prætulit Aldus. Neutra satis mihi placet. Mallem διοίσε-

ΘΗ. τοῦτ' αὐτό νυν δίδασχ', ὅπως ἂν ἐκμάθω.
ΟΙ. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν· τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον', ἢ μορφὴ καλή.
ΘΗ. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
ΟΙ. χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.
ΘΗ. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
ΟΙ. ὅταν θάνω 'γώ, καὶ σύ μου ταφεὺς γένῃ.
ΘΗ. τὰ λοίσθι' αἰτῇ τοῦ βίου· τὰ δ' ἐν μέσῳ,
ἢ λῆστιν ἴσχεις, ἢ δι' οὐδενὸς ποιῇ.
ΟΙ. ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
ΘΗ. ἀλλ' ἐν βραχεῖ δὴ τήνδ' ἔμ' ἐξαιτῇ χάριν.
ΟΙ. ὅρα γε μήν· οὐ σμικρὸς, οὐκ, ἀγὼν ὅδε.
ΘΗ. πότερα τὰ τῶν σῶν ἐκγόνων, ἢ 'μοῦ λέγεις;
ΟΙ. κεῖνοι κομίζειν κεῖσ' ἀναγκάζουσί με.
ΘΗ. ἀλλ' εἰ θέλοιέν γ', οὐδὲ σοὶ φεύγειν καλόν.
ΟΙ. ἀλλ' οὐδ', ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.
ΘΗ. ὦ μῶρε, θυμὸς ἐν κακοῖς οὐ ξύμφορον.
ΟΙ. ὅταν μάθῃς μου, νουθέτει· τανῦν δ' ἔα.
ΘΗ. δίδασκ'. ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.

ται, quod Hesychius exponit διαλελέξεται. Et hoc genuinum esse opinor.

575. τοῦτ' αὐτό νυν. Sic bene scriptum in T. νυν hîc valet δὴ et est encliticum.

577. σπουδαῖον. gl. περισπουδαστὸν, ἤγουν καλόν.

584. λῆστιν. In B. T. λῆσιν.

587. οὐ σμικρὸς, οὐκ, ἀγὼν ὅδε. In B. T. οὐ σμικρὸς γὰρ ἀγὼν ὅδε, metro pessum dato. Turnebus e conjectura, ut videtur, οὐ σμικρός 'στ' ἀγὼν—

588. πότερα τὰ—In B. T. πότερα δὲ—

589. ἀναγκάζουσι. In B. T. ἀναγκάσουσι.

590. ἀλλ' εἰ θέλοιέν γ'—Sic Turnebus, omissa tamen postrema particula, quam Aldus et membr. exhibent, lectione in ceteris depravata, ἀλλ' εἰ θέλοντ' ἄν γ'—In B. T. ἀλλ' εἰ θέλοιντ' ἄν.

592. θυμὸς ἐν κακοῖς. Libri omnes δὲ inserunt, θυμὸς δ' ἐν κακοῖς. Importuna particula ejici poterat, etiamsi non accessisset Stobæi auctoritas, apud quem Floril. Tit. xx. versus sic legitur: Ὦ μῶρε, θυμὸς ἐν κακοῖς οὐ σύμφορος. Nihil frequentius ellipsi nominis χρῆμα, qua adjectivum neutrum, cum substantivo diversi generis construitur. Sic in Aj. 580. κάρτα τοι φιλοίκτιστον γυνή. Proinde Stobæi σύμφορος recipi non debuit.

ἐν ταῖσδ' ἀκούων, μᾶλλον ἐξεπίσταμαι.
σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα
δηλοῦτον ἡμῖν ὄνθ' ὃς εἶ, καί σ' οἰκτίσας
θέλω σ' ἐρέσθαι, δύσμορ' Οἰδίπου, τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ' ἔχων,
αὐτός τε, χ' ἡ σὴ δύσμορος παραστάτις.
δίδασκε. δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις
λέξας, ὁποίας ἐξαφισταίμην ἐγώ.
ὡς οἶδά γ' αὐτὸς, ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σὺ, χὤστις πλεῖστ' ἀνὴρ ἐπὶ ξένης
ἤθλησα κινδυνεύματ' ἐν τὠ 'μῷ κάρᾳ,
ὥστε ξένον γ' ἂν οὐδέν' ὄνθ', ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσώζειν· ἐπεὶ
ἔξοιδ' ἀνὴρ ὤν, χὤτι τῆς ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.

ΟΙ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν, ὥστε βραχέα μοι δεῖσθαι φράσαι.
σὺ γάρ μ' ὃς εἰμὶ, κἀξ ὅτου πατρὸς γεγὼς,
καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς.
ὥστ' ἔστι μοι τὸ λοιπὸν οὐδὲν ἄλλο, πλὴν
εἰπεῖν ἃ χρῄζω, χὼ λόγος διέρχεται.

557. θέλω σ' ἐρέσθαι. Perperam Aldus, ut in membr. θέλω τι ἔρεσθαι.

565. ὥστε ξένον γ' ἂν οὐδέν' ὑπεκτραποίμην. Mendose in omnibus libris ξένον γὰρ—Nihil hic est intricati, nullum hyperbaton. Nihil aliud erat quam turpis solœcismus facile eximendus. γὰρ alienum est a sententia, et ὑπεκτραποίμην sine ἂν stare nequit. In membr. γὰρ est a secunda manu: scriptum primo fuerat γε. At certum est, si quid aliud, a poëta γ' ἂν relictum fuisse. Heathio fraudi fuit forte prava Triclinii lectio in seq. v. μὴ οὐ συνεκσώζειν σ'· ἐπεὶ—Pronomen σε inepte intrusum fuit: illud non agnoscunt membr. nec Aldus. Hunc locum ob oculos habuisse videtur Virgilius, ubi Dido eadem humanitate, qua hic Theseus Œdipum, Trojanos, excipit, Æn. i. 628. Me quoque per multos similis fortuna labores Jactatam hac demum voluit consistere terra. Non ignara mali miseris succurrere disco.

570. βραχέα μοι. In libris omnibus βραχέ' ἐμοί. Invenustus hiatus librariis, non Sophocli, placere potuit.

571. κἀξ ὅτου. Membr. et Aldus κἀπό του. In B. T. κἀφ' ὅτου.

574. χὠ λόγος διέρχεται. Sic tres codd. In A. superscripta altera lectio διοίχεται, quam prætulit Aldus. Neutra satis mihi placet. Mallem διοίσε-

ΘΗ. τοῦτ' αὐτό νυν δίδασχ', ὅπως ἂν ἐκμάθω.
ΟΙ. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν· τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον', ἢ μορφὴ καλή.
ΘΗ. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
ΟΙ. χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.
ΘΗ. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
ΟΙ. ὅταν θάνω 'γώ, καὶ σύ μου ταφεὺς γένῃ.
ΘΗ. τὰ λοίσθι' αἰτῇ τοῦ βίου· τὰ δ' ἐν μέσῳ,
ἢ λῆστιν ἴσχεις, ἢ δι' οὐδενὸς ποιῇ.
ΟΙ. ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
ΘΗ. ἀλλ' ἐν βραχεῖ δὴ τήνδ' ἔμ' ἐξαιτῇ χάριν.
ΟΙ. ὅρα γε μήν· οὐ σμικρὸς, οὐκ, ἀγὼν ὅδε.
ΘΗ. πότερα τὰ τῶν σῶν ἐκγόνων, ἢ 'μοῦ λέγεις;
ΟΙ. κεῖνοι κομίζειν κεῖσ' ἀναγκάζουσί με.
ΘΗ. ἀλλ' εἰ θέλοιέν γ', οὐδὲ σοὶ φεύγειν καλόν.
ΟΙ. ἀλλ' οὐδ', ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.
ΘΗ. ὦ μῶρε, θυμὸς ἐν κακοῖς οὐ ξύμφορον.
ΟΙ. ὅταν μάθῃς μου, νουθέτει· τανῦν δ' ἔα.
ΘΗ. δίδασκ'. ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.

ται, quod Hesychius exponit διαλελέξεται. Et hoc genuinum esse opinor.

575. τοῦτ' αὐτό νυν. Sic bene scriptum in T. νυν hîc valet δὴ et est encliticum.

577. σπουδαῖον. gl. περισπουδαστὸν, ἤγουν καλόν.

584. λῆστιν. In B. T. λῆσιν.

587. οὐ σμικρὸς, οὐκ, ἀγὼν ὅδε. In B. T. οὐ σμικρὸς γὰρ ἀγὼν ὅδε, metro pessum dato. Turnebus e conjectura, ut videtur, οὐ σμικρός ἐσθ' ἀγὼν—

588. πότερα τὰ—In B. T. πότερα δὲ—

589. ἀναγκάζουσι. In B. T. ἀναγκάσουσι.

590. ἀλλ' εἰ θέλοιέν γ'—Sic Turnebus, omissa tamen postrema particula, quam Aldus et membr. exhibent, lectione in ceteris depravata, ἀλλ' εἰ θέλοντ' ἄν γ'—In B. T. ἀλλ' εἰ θέλοιντ' ἄν.

592. θυμὸς ἐν κακοῖς. Libri omnes δὲ inserunt, θυμὸς δ' ἐν κακοῖς. Importuna particula ejici poterat, etiamsi non accessisset Stobæi auctoritas, apud quem Floril. Tit. xx. versus sic legitur: Ὦ μῶρε, θυμὸς ἐν κακοῖς οὐ σύμφορος. Nihil frequentius ellipsi nominis χρῆμα, qua adjectivum neutrum, cum substantivo diversi generis construitur. Sic in Aj. 580. κάρτα τοι φιλοίκτιστον γυνή. Proinde Stobæi σύμφορος recipi non debuit.

ΟΙ. πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.
ΘΗ. ἢ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;
ΟΙ. οὐ δῆτ'· ἐπεὶ πᾶς τοῦτό γ' Ἑλλήνων θροεῖ.
ΘΗ. τί γὰρ τὸ μεῖζον ἢ κατ' ἄνθρωπον νοσεῖς;
ΟΙ. οὕτως ἔχει μοι. γῆς ἐμῆς ἀπηλάθην
πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔστιν δ' ἐμοὶ
πάλιν κατελθεῖν μήποθ', ὡς πατροκτόνῳ.
ΘΗ. πῶς δῆτά σ' ἂν πεμψαίαθ', ὥστ' οἰκεῖν δίχα;
ΟΙ. τὸ θεῖον αὐτοὺς ἐξαναγκάζει στόμα.
ΘΗ. ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;
ΟΙ. ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί.
ΘΗ. καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά;
ΟΙ. ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίγνεται
θεοῖσι γῆρας, οὐδὲ μὴν θανεῖν ποτε·
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος.
φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος·
θνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία.
καὶ πνεῦμα ταὐτὸν οὔ ποτ' οὔτ' ἐν ἀνδράσι
φίλοις βέβηκεν, οὔτε πρὸς πόλιν πόλει.
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίγνεται, καὖθις φίλα.
καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
καλῶς τὰ πρὸς σὲ, μυρίας ὁ μυρίος
χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἰὼν,
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα

603. ἐξαναγκάζει. Perperam in B. T. ἐξαναγκάσει.

604. δείσαντας. In B. T. δείσαντες, quod ad πεμψαίατο referendum esset.

608. θεοῖσι γῆρας. In B. T. θεοῖς τὸ γῆρας, male. Tum codd. et impressi, οὐδὲ κατθανεῖν ποτε. Lectionem prætuli quam exhibet Philostratus in vita Apollonii, p. 353. ubi versus hi citantur.

617. καλῶς τὰ πρὸς σέ. Menda manifesta in librorum omnium lectione καλῶς τε πρὸς σέ: quod Heathius inepte defendit. Crediderant librarii articulum τὰ male repeti, quia τανῦν in præcedenti v. pro duabus vocibus accipiebant, quarum prior esset articulus: sed τανῦν Atticis una vox est, nihil aliud significans quam νῦν.

ἐν δορὶ διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
ἵν' οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς
ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτι Ζεὺς, χὠ Διὸς Φοῖβος σαφής.
ἀλλ', οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη,
ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων· κοὔ ποτ' Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.
ΧΟ. ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
γῇ τῇδ' ἀνὴρ ὅδ' ὡς τελῶν ἐφαίνετο.
ΘΗ. τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος
κοινὴ παρ' ἡμῖν αἰέν ἐστιν ἑστία;
ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
γῇ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
ἁγὼ σεβισθεὶς, οὔ ποτ' ἐκβαλῶ χάριν
τὴν τοῦδε, χώρᾳ δ' ἔμπαλιν κατοικιῶ.
εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
τάξω φυλάσσειν· εἰ δ' ἐμοῦ στείχειν μέτα
τόδ' ἡδὺ, τούτων, Οἰδίπους, δίδωμί σοι
κρίναντι χρῆσθαι. τῇδε γὰρ ξυνοίσομαι.

620. διασκεδῶσιν. διασκεδάσουσιν. Vide ad Œd. T. 138. ἐκ σμικρῦ λόγυ. Inepte in B. T. ἐκ μακροῦ χρόνου. Melior lectio in T. alteri superscripta. In membr. ἐκ σμικροῦ χρόνου. et supra γρ. λόγου.

630. γῇ τῇδ' ἀνὴρ ὅδ'. Perperam libri omnes γῇ τῇδ' ὅδ' ἀνήρ. Perduxerat me olim Valckenarii viri longe doctissimi auctoritas in eam opinionem, poëtas Atticos pro lubitu primam in ἀνὴρ corripuisse vel produxisse, quod postmodo falsum esse comperi. Sophocles et Aristophanes nomen ἀνὴρ non aliter adhibuerunt quam prima brevi. Apud Euripidem in Phœnissis, v. 1650. editionis Valckenarii duorum codicum ad fidem legi debebat ἄταφος ἀνὴρ ὅδ' —non vero ἄταφος ὅδ' ἀνήρ. Plurimi versus apud Comicum, in quibus hoc nomen occurrit, emendandi sunt.

632. ὅτῳ. Sic recte legitur apud Suidam in Δορύξενος. Sophoclis exemplaria scripta et impressa perperam habent ὅτου. In seq. v. lectione, κοινὴ παρ' ἡμῖν, cum Suida consentiunt membr. et Aldus. Inficeta est Triclinii lectio κοινή τ' ἄρ' ἡμῖν.

ΟΙ. ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.
ΘΗ. τί δῆτα χρῄζεις; ἢ δόμους στείχειν ἐμούς;
ΟΙ. εἴ μοι θέμις γ' ἦν. ἀλλ' ὁ χῶρος ἔσθ' ὅδε—
ΘΗ. ἐν ᾧ τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι.
ΟΙ. ἐν ᾧ κρατήσω τῶν ἔμ' ἐκβεβληκότων.
ΘΗ. μέγ' ἂν λέγοις δώρημα τῆς ξυνουσίας.
ΟΙ. εἰ σοί γ' ἅπερ φῂς ἐμμενεῖ τελοῦντί μοι.
ΘΗ. θάρσει τὸ τοῦδέ γ' ἀνδρός· οὔ σε μὴ προδῶ.
ΟΙ. οὔ τοι σ' ὑφ' ὅρκου γ', ὡς κακὸν, πιστώσομαι.
ΘΗ. οὔκουν πέρα γ' ἂν οὐδὲν ἢ λόγῳ φέροις.
ΟΙ. πῶς οὖν ποιήσεις;
ΘΗ. τοῦ μάλιστ' ὄκνος σ' ἔχει;
ΟΙ. ἥξουσιν ἄνδρες—
ΘΗ. ἀλλὰ τοῖσδ' ἔσται μέλον.
ΟΙ. ὅρα με λείπων—
ΘΗ. μὴ δίδασχ' ἃ χρή με δρᾷν.
ΟΙ. ὀκνοῦντ' ἀνάγκη.
ΘΗ. τοὐμὸν οὐκ ὀκνεῖ κέαρ.
ΟΙ. οὐκ οἶσθ' ἀπειλὰς—
ΘΗ. οἶδ' ἐγώ σε μή τινα
ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
πολλὰς δ' ἀπειλὰς, πολλὰ δὴ μάτην ἔπη
θυμὸς κατηπείλησεν· ἀλλ' ὁ νοῦς ὅταν
αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα.

643. ἢ δόμους—Accentus in membr. et in Aldina perperam notatus, ἦ δόμους. In B. T. ἐς δόμους.

648. ἐμμενεῖ. In B. T. ἐμμένει. Henr. Stephanus, nescio unde, ἐμμένοι.

649. οὔ σε μὴ προδῶ. Perperam Aldus προδῷ. Est prima persona aor. 2. qui cum particulis οὐ μὴ constructus potestatem futuri habet. τοῦδέ γ' ἀνδρὸς valet ἐμοῦ γε.

658. Aldus edidit: Πολλαὶ δ' ἀπειλαὶ, πολλὰ δὴ μάτην ἔπη Θυμῷ κατηπείλησαν.—Nec variant codd. nisi in interpunctione, qua in parte haud multum eis tribuendum est. Locus mendosus est, quod verissime decernit Toupius in Suidam iii. 16. ubi legit: Πολλοὶ δ' ἀπειλὰς, πολλὰ δὴ μάτην ἔπη Θυμῷ κατηπείλησαν. Verius ego, ni fallor, et elegantius: Πολλὰς δ' ἀπειλὰς, πολλὰ δὴ μάτην ἔπη Θυμὸς κατηπείλησεν.

κείνοις δ', ἴσως κεὶ δείν' ἐπεῤῥώσθη λέγειν
τῆς σῆς ἀγωγῆς, οἶδ' ἐγὼ, φανήσεται
μακρὸν τὸ δεῦρο πέλαγος, οὐδὲ πλώσιμον.
θαρσεῖν μὲν οὖν ἔγωγε, κἄνευ τῆς ἐμῆς
γνώμης, ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε·
ὅμως δὲ κἀμοῦ μὴ παρόντος, οἶδ' ὅτι
τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.

## ΧΟΡΟΣ.

Εὐίππου, ξένε, τᾶσδε χώρας στροφὴ α'.
ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
τὸν ἀργῆτα Κολωνόν·
ἔνθα λίγεια μινύρεται
θαμίζουσα μάλιστ' ἀηδὼν
χλωραῖς ὑπὸ βάσσαις,
τὸν οἰνῶπ' ἀνέχουσα κισσὸν,
καὶ τὰν ἄβατον θεοῦ
φυλλάδα μυριόκαρπον, * ἀνάλιον,
ἀνήνεμόν τε πάντων
χειμώνων· ἵν' ὁ βακχειώτας ἀεὶ
Διόνυσος ἐμβατεύει,
θείαις ἀμφιπολῶν τιθήναις.

* ἀνήλιον cdd. 1. 2.

668. Plutarchus in Tractatu *An seni sit gerenda Resp.* Σοφοκλῆς δὲ λέγεται μὲν ὑπὸ τῶν υἱῶν παρανοίας δίκην φεύγων, ἀναγνῶναι τὴν ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνοῦ πάροδον, ἥ ἐστιν ἀρχὴ, Εὐίππου, ξένε, τᾶσδε χώρας Ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα, Τὸν ἀργῆτα Κολωνόν· Ἔνθα λίγεια μινύρεται Θαμίζουσα μάλιστ' ἀηδὼν Χλωραῖς ὑπὸ βάσσαις. θαυμαστοῦ δὲ τοῦ μέλους φανέντος, ὥσπερ ἐκ θεάτρου, τοῦ δικαστηρίου προπεμφθῆναι μετὰ κρότου καὶ βοῆς τῶν παρόντων.

671. μινύρεται. Aldus et membr. mendose μύρεται.

674. ἀνέχουσα, *colens*, *incolens*. Compositum pro simplici. Futilis est Scholiastæ explicatio.

676. ἀνάλιον, ἀνήνεμόν τε πάντων χειμώνων. Ex Homero in Odyss. ε'. hæc adumbrata esse observat Eustathius, p. 1547. Τοὺς μὲν ἄρ οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων, Οὔτ' αὖ ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν, Οὔτ' ὄμβρος περάασκε διαμπερές. Doricam formam ἀνάλιον e cod. T. sumpsi.

θάλλει δ' οὐρανίας ὑπ' ἄχνας ἀντιστρ. α'.
ὁ καλλίβοτρυς κατ' ἦμαρ αἰεὶ
νάρκισσος, μεγάλαιν θεαῖν
ἀρχαῖον στεφάνωμ', ὅ τε
χρυσαυγὴς κρόκος· οὐδ' ἄϋπνοι
κρῆναι μινύθουσι
* Κηφισοῦ νομάδες ῥεέθρων,
ἀλλ' αἰὲν ἐπ' ἤματι
ὠκυτόκος πεδίων ἐπινίσσεται,
ἀκηράτῳ ξὺν ὄμβρῳ,
στερνούχου χθονός· οὐδὲ Μουσᾶν χοροί
νιν ἀπεστύγησαν, οὐδέ γ'
ἁ χρυσάνιος Ἀφροδίτα.
ἔστιν δ' οἷον ἐγὼ στροφὴ β'.
γᾶς Ἀσίας οὐκ ἐπακούω,
οὐδ' ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ
Πέλοπός ποτε βλαστὸν,

* Ἰλισσοῦ edd. 1. 2.

681. οὐρανίας ὑπ' ἄχνας. ὑπὸ τῆς δρόσου. Eustathius, p. 492.

687. Κηφισοῦ. Sic codd. omnes recte. Variam lectionem Ἰλισσοῦ, cujus nescio utrum Scholiastæ ipsi, an excerptoris errori mentio debeatur, prætuleram perverso judicio. Haud sane veram eam credidissem, si memoriæ minus fidens topographiam Atticæ regionis inspexissem. Cephisus non longe ab Eleusine in mare defertur. Qui Athenis Eleusinem via sacra ibant, Cephisum ponte in quem exstat Simonidis epigramma, transmittebant. Fluvius est perennis, nec unquam deficiens, cui proinde Tragicus noster vere κρήνας ἀΰπνους tribuit. Fallitur Strabo fluvium hunc confundens cum rivo qui occidentalem partem urbis alluebat, et in Phalericum sinum demittebatur. Hujus erroris ut et meæ allucinationis testem profero virum antiquitatis peritissimum, qui loca adiit et curiose inspexit, Jacobum Sponium. Vide narrationem itineris editam Lugduni a. 1678. tom. ii. p. 276. Ab opposita seu orientali urbis parte, longe a Colono, ab Eleusine longius, fluebat Ilissus, cujus hic nulla fieri debuit mentio. (*f*)

689. ἐπινίσσεται. Aldus et membr. ἐπινείσεται. Hoc verbum Reiskius censebat ad κρόκος referri.

692. οὐδέ γ' ἁ χρυσάνιος. Aldus et membr. οὐδὲ χρυσάνιος. In B. οὐδ' ἁ χρυσήνιος. Triclinius invenuste οὐδ' αὖ ἁ χρυσήνιος. Lectionem nostram ad metri et euphoniæ rationem concinnavimus.

697. Πέλοπός ποτε βλαστόν. Membr. et Aldus πώποτε, syllaba redundante.

φύτευμ' ἀχείρωτον, αὐτόποιον,
ἐγχέων φόβημα δαΐων,
ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ,
γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας·
τὸ μέν τις οὔτε νέος, οὔτε γήρᾳ
σημαίνων ἁλιώσει χερὶ πέρσας.
ὁ γὰρ ἐσαιὲν ὁρῶν κύκλος
λεύσσει νιν Μορίου Διὸς,
χ' ἁ γλαυκῶπις Ἀθάνα.
ἄλλον δ' αἶνον ἔχω ἀντιστρ. β'.
ματροπόλει τᾷδε, κράτιστον
δῶρον τοῦ μεγάλου δαίμονος, εἰπεῖν,
αὔχημα μέγιστον,
εὔϊππον, εὔπωλον, εὐθάλασσον.
ὦ παῖ Κρόνου, σὺ γάρ νιν εἰς
τόδ' εἶσας αὔχημ', ἄναξ Ποσειδὰν,
ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
πρώταισι ταῖσδε κτίσας ἀγυιαῖς.
ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία χερ-
σὶ παραπεπταμένα πλάτα

700. μέγιστα. Sic recte scriptum in T. Gl. μεγίστως. Neutrum est plurale vice adverbii. Perperam Aldus μεγίστᾳ, quod metrum non admittit. Versus constat e duabus penthemimeribus iambicis: Ὃ τᾷ | δε θάλ | λει | μέγισ | τα χώ | ρᾳ. Idem est metrum versus 702. Τὸ μὲν | τις οὔ | τε | νέος οὔ | τε γή | ρᾳ. Quem sic in pedes suos divisi, ut quivis perspicere possit, Heathium falli, quum ait ad metri rationem legendum esse οὔτοι νέος. Sive οὔτοι, sive οὔτε legas, perinde sanus et integer est versus. Sed οὔτε flagitat sermonis indoles, et nititur codicum consensu. Perperam Aldus et A. B. οὔτε νεαρός.

703. χερί. Aldus et codd. contra metri rationem χειρί.

704. ὁ γὰρ ἐσαιὲν ὁρῶν κύκλος. Aldus et membr. ὁ γὰρ εἰσορῶν κύκλος. In duobus aliis, ὁ γὰρ εἰσαιὲν ὁρῶν— Ut metrum eum antistrophico versu congruat, legendum ἐσαιέν.

715. ταῖσδε κτίσας. Sic recte in T. a secunda manu. Ceteri et Aldus ταῖσδ' ἔκτισας.

717. χερσὶ παραπεπταμένα πλάτα. Sic liquido in T. In duobus aliis, ut apud Aldum, χερσὶ παραπτομένα. Restituta genuina lectione, nunc demum congruunt antithetici versus: Ὁ γὰρ ἐσ | αιὲν ὁ | ρῶν κύκλος. Σὶ παρα | πεπταμέ | να πλάτα. At non video qui congruerent, si ex Heathii sententia legeretur σιν παρα | πτομένα |

θρώσκει, τῶν ἑκατομπόδων
Νηρῄδων ἀκόλουθος.
ΑΝ. Ὦ πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,
νῦν σοι τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη.
ΟΙ. τί δ' ἔστιν, ὦ παῖ, καινόν;
ΑΝ. ἆσσον ἔρχεται
Κρέων ὅδ' ἡμῖν οὐκ ἄνευ πομπῶν, πάτερ.
ΟΙ. ὦ φίλτατοι γέροντος, ἐξ ὑμῶν ἐμοὶ
φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
ΧΟ. θάρσει, παρέσται. καὶ γὰρ εἰ γέρων κυρῶ,
τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.
ΚΡ. ἄνδρες χθονὸς τῆσδ' ἐγγενεῖς οἰκήτορες,
ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδου,
ὃν μήτ' ὀκνεῖτε, μήτ' ἀφῆτ' ἔπος κακόν.

πλάτα. παραπτομένα glossema esse videtur, quod genuinæ voci olim appositum, ab oscitante librario in textum illatum fuit. Scilicet auctor glossæ παραπεπταμένα accepit, tanquam si esset a παρίπταμαι, quæ derivatio Grammaticorum auctoritate non destituta est. Videsis in Kœnii notis ad auctores de Dialectis, p. 310. observationem e Lexico Ms. quam ei subministravit Ruhnkenius, cui tot similia debemus. Verum significationem istam hujus loci sententia, nec verborum structura admittit. παραπεπταμένα, est a παραπετάννυμι.

725. ἐξ ὑμῶν ἤδη φαίνοιτ' ἄν. *Nunc tempus est, quo mihi ex vobis apparere possit salus.* Sic exprimi debuit vis optativi potentialis. Non enim est optativus proprie dictus. Quippe is eam significationem habens a qua denominatur, id est votum enuntians, particulam ἂν nunquam assumit. Vide quæ notavimus ad Comici Equites 400.

726. εἰ γέρων κυρῶ. Sic tres codd. Scholiastes legebat εἰ γέρων ἐγώ.

728. ἐγγενεῖς, id est αὐτόχθονες, quod sibi laudi maxime esse ducebant Athenienses. Libri omnes εὐγενεῖς, ex solemni harum vocum permutatione.

731. ὃν μήτ' ὀκνεῖτε. Perperam in B. T. ὃν μήποτ' ὀκνεῖτε. At tres codd. recte μήτ' ἀφῆτ'—Male in impressis μήτ' ἀφεῖτ', contra scribendi canonem, quem rectissimum statuit Thomas in Μή. Scilicet cum imperativo construitur verborum præsentis temporis, μὴ τύπτε, non μὴ τύψῃς; et cum subjunctivo verborum temporis indefiniti, ut in exemplo quod profert ex Aristide: μηδ' ἀπέχου μὲν ὡς φίλων, πρόῃ δὲ ὡς πολεμίους. Cui simillima est hujus versus constructio, μήτ' ὀκνεῖτε, μήτ' ἀφῆτε. Vide Indicem nostrum in Aristophanem in Μή.

ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθεὶς, ἐπεὶ
γέρων μέν εἰμι, πρὸς πόλιν δ' ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
ἀλλ' ἄνδρα τόνδε τηλικόσδ' ἐπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμεῖον πέδον,
οὐκ ἐξ ἑνὸς στείλαντος, ἀλλ' ἀστῶν ὕπο
πάντων κελευσθεὶς, οὕνεχ' ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήματα πλεῖστον πόλεως.
ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπους, κλύων ἐμοῦ,
ἵκου πρὸς οἴκους. πᾶς σε Καδμείων λεὼς
καλεῖ δικαίως· ἐκ δὲ τῶν μάλιστ' ἐγὼ,
ὅσῳ περ, εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν
κάκιστος, ἀλγῶ τοῖσι σοῖς κακοῖς πλέον,
ὁρῶν σε τὸν δύστηνον, ὄντα μὲν ξένον,
ἀεὶ δ' ἀλήτην, κἀπὶ προσπόλου μιᾶς
βιοστερῆ χωροῦντα· τὴν ἐγὼ τάλας
οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν
ἔδοξ', ὅσον πέπτωκεν ἥδε δύσμορος,

735. τηλικόσδ'—Aldus et membr. τηλικόνδ'. In duobus aliis mendose τηλίκον, quod tamen alteram lectionem firmat. Sed τηλικόσδ' quin verum sit, nullus dubito. γέρων μέν εἰμι, ἀλλὰ τηλικόσδε—ἐπεστάλην dant membr. Ceteri, ut Aldus, male ἀπεστάλην.

736. Καδμεῖον πέδον. Sic membr. In aliis libris Καδμείων.

737. ἀστῶν ὕπο. Sic B. T. recte. Alii ἀνδρῶν ὕπο.

739. τὰ τοῦδε πενθεῖν πήματα πλεῖστον πόλεως. Sic scribendum pro πήματ', ἢ πλεῖστον. Mutatum ab aliquo qui metro frustra metuebat, sensum non curabat. *Markland* ad Suppl. 481. Sic etiam eruditus alius Britannus apud Heathium.

741. In duobus codd. Καδμεῖος, superscripta altera lectione Καδμείων, quæ præstat.

744. πλέον. Vulgo γέρον, quod nihil aliud est quam fartura, et versus fulcrum. Recte Eldikius in conjecturis mecum communicatis legit πλέον. ὅσῳ πλέον ἀλγῶ τοῖς σοῖς κακοῖς. ---ἐκ δὲ τῶν. id est ἐκ δὲ τούτων, τῶν Καδμείων, ἐγὼ μάλιστα. Pessima est Turnebi lectio, quam tamen aliquanto tolerabiliorem dedit, quam eam in codd. invenerat, in quibus est :---ἐκ δὲ τῶν πάντων ἐγώ. Ὅσῳπερ εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν, Μάλιστα δ' ἀλγῶ τοῖσι σοῖς κακοῖς γέρον. Ex Aldina κάκιστος assumpsit: in ceteris etiam poterat eam sequi, nisi Sophoclem, novitatis studio, prorsus interpolatum edere constituisset.

ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
πτωχῇ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
ἔμπειρος, ἀλλὰ τοῦ 'πιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος, ὦ τάλας ἐγὼ,
ὠνείδισ' εἰς σὲ, κἀμὲ, καὶ τὸ πᾶν γένος;
ἀλλ', οὐ γάρ ἐστι τἀμφανῆ κρύπτειν, σύ νυν,
πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ,
κρύψον, θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
εἰπών· ἐπαξία γάρ· ἡ δ' οἴκοι, πλέον
δίκῃ σέβοιτ' ἂν, οὖσα σὴ πάλαι τροφός.

ΟΙ. ὦ πάντα τολμῶν, κἀπὸ παντὸς ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾷ, κἀμὲ δεύτερον θέλεις
ἑλεῖν, ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονὸς,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν.
ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦν θυμούμενος,
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκὺ,
τότ' ἐξεώθεις, κἀξέβαλλες· οὐδέ σοι
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον.
νῦν τ' αὖθις ἡνίκ' εἰσορᾷς πόλιν τ' ἐμοὶ
ξυνοῦσαν εὔνουν τήνδε, καὶ γένος τὸ πᾶν,
πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
καί τοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν;
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν

749. ἤδη δύσμορος. In B. T. ἤδ' ἡ δύσμορος.

757. κρύψον. Sic membr. et Aldus. Nescio quo sensu, nec quo auctore, Triclinius κύψον.

759. ἡ οἴκοι πόλις. id est *patria*.

769. Post hunc versum vulgo legitur inepte huc retractus versus 438. quem ex hoc loco ejiciendum esse jamdudum monuit Valckenarius ad Hippol. 1029.

775. καί τοι τίς αὕτη—interrogative. Sic liquido in B. T. ut legendum esse vidit Tyrwhittus. In aliis καίτοι τοσαύτη sensu nullo.

μηδὲν διδοίη, μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν * χρήζοις, τότε
δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέρει,
ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;
τοιαῦτα μέν τοι καὶ σὺ προσφέρεις ἐμοὶ,
λόγῳ μὲν ἐσθλὰ, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' εἰς δόμους ἄγῃς,
ἀλλ' ὡς πάραυλον οἰκίσῃς. πόλις δέ σοι
κακῶν ἄνατος τῆσδ' ἀπαλλαχθῇ χθονός.
οὐκ ἔστι σοι ταῦτ'· ἀλλὰ σοὶ τάδ' ἔστ', ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί·
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
χθονὸς λαχεῖν τοσοῦτό γ', ἐνθανεῖν μόνον.
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τὰν Θήβαις φρονῶ;
πολλῷ γ', ὅσῳπερ καὶ σαφεστέρων κλύω,
Φοίβου τε, καὐτοῦ Ζηνὸς, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα,
πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῷ λέγειν
κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
ἀλλ', οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι·
ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'. οὐ γὰρ ἂν κακῶς,
οὐδ' ὧδ' ἔχοντες, ζῶμεν, εἰ τερποίμεθα.

* χρήζεις edd. 1. 2.

778. ὧν χρήζοις. Codd. χρήζεις, mendose. Structuræ lex et temporum ratio flagitant omnino verbum optativi modi, ut in El. 629.—πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι λέγειν ἃ χρῄζοιμ'.

780. τῆσδ' ἂν ἡδονῆς. gl. χάριτος. In B. T. τῆσδέ γ' ἡδονῆς. Librarium offendit forte repetitio particulæ ἂν, quæ sic geminata millies occurrit.

785. πάραυλον. gl. ἀγρότην.

786. τῆσδ'—Perperam libri omnes τῶνδ'. Supra, 605. ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί. Aldus recte, ut membr. ἄνατος, quod compositum est ab ἄτη, βλάβη. Alii ἄναιτος.

790. τοσοῦτό γ'—Sic cum Valckenario lego. Vulgo τοσοῦτον.

792. ὅσῳπερ καὶ σαφεστέρων κλύω. Male in B. T. ἐκ σαφεστέρων. Verbum κλύω cum genitivo absque præpositione construitur, ut infra, 1117. τοῦδε χρὴ κλύειν. El. 877. ἴσθι τοῦτ' ἐμοῦ κλύουσ'.

ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
πτωχῇ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
ἔμπειρος, ἀλλὰ τοῦ 'πιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος, ὦ τάλας ἐγὼ,
ὠνείδισ' ἐς σὲ, κἀμὲ, καὶ τὸ πᾶν γένος;
ἀλλ', οὐ γάρ ἐστι τἀμφανῆ κρύπτειν, σύ νυν,
πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ,
κρύψον, θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
εἰπών· ἐπαξία γάρ· ἡ δ' οἴκοι, πλέον
δίκῃ σέβοιτ' ἂν, οὖσα σὴ πάλαι τροφός.
ΟΙ. ὦ πάντα τολμῶν, κἀπὸ παντὸς ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾷ, κἀμὲ δεύτερον θέλεις
ἑλεῖν, ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονὸς,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν.
ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦν θυμούμενος,
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκὺ,
τότ' ἐξεώθεις, κἀξέβαλλες· οὐδέ σοι
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον.
νῦν τ' αὖθις ἡνίκ' εἰσορᾷς πόλιν τ' ἐμοὶ
ξυνοῦσαν εὔνουν τήνδε, καὶ γένος τὸ πᾶν,
πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
καί τοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν;
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν

749. ἤδη δύσμορος. In B. T. ἤδ' ἡ δύσμορος.

757. κρύψον. Sic membr. et Aldus. Nescio quo sensu, nec quo auctore, Triclinius κύψον.

759. ἡ οἴκοι πόλις. id est *patria*.

769. Post hunc versum vulgo legitur inepte huc retractus versus 438. quem ex hoc loco ejiciendum esse jamdudum monuit Valckenarius ad Hippol. 1029.

775. καί τοι τίς αὕτη—interrogative. Sic liquido in B. T. ut legendum esse vidit Tyrwhittus. In aliis καίτοι τοσαύτη sensu nullo.

μηδὲν διδοίη, μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν * χρήζοις, τότε
δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέρει,
ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;
τοιαῦτα μέν τοι καὶ σὺ προσφέρεις ἐμοὶ,
λόγῳ μὲν ἐσθλὰ, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' εἰς δόμους ἄγῃς,
ἀλλ' ὡς πάραυλον οἰκίσῃς. πόλις δέ σοι
κακῶν ἄνατος τῆσδ' ἀπαλλαχθῇ χθονός.
οὐκ ἔστι σοι ταῦτ'· ἀλλὰ σοὶ τάδ' ἔστ', ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί·
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
χθονὸς λαχεῖν τοσοῦτό γ', ἐνθανεῖν μόνον.
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τἀν Θήβαις φρονῶ;
πολλῷ γ', ὅσῳπερ καὶ σαφεστέρων κλύω,
Φοίβου τε, καὐτοῦ Ζηνὸς, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα,
πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῷ λέγειν
κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
ἀλλ', οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι·
ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'. οὐ γὰρ ἂν κακῶς,
οὐδ' ὧδ' ἔχοντες, ζῶμεν, εἰ τερποίμεθα.

* χρήζεις edd. 1. 2.

778. ὧν χρήζοις. Codd. χρήζεις, mendose. Structuræ lex et temporum ratio flagitant omnino verbum optativi modi, ut in El. 629.—πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι λέγειν ἃ χρήζοιμ'.

780. τῆσδ' ἂν ἡδονῆς. gl. χάριτος. In B. T. τῆσδέ γ' ἡδονῆς. Librarium offendit forte repetitio particulæ ἂν, quæ sic geminata millies occurrit.

785. πάραυλον. gl. ἀγρότην.

786. τῆσδ'—Perperam libri omnes τῶνδ'. Supra, 605. ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί. Aldus recte, ut membr. ἄνατος, quod compositum est ab ἄτη, βλάβη. Alii ἄναιτος.

790. τοσοῦτό γ'—Sic cum Valckenario lego. Vulgo τοσοῦτον.

792. ὅσῳπερ καὶ σαφεστέρων κλύω. Male in B. T. ἐκ σαφεστέρων. Verbum κλύω cum genitivo absque præpositione construitur, ut infra, 1117. τοῦδε χρὴ κλύειν. El. 877. ἴσθι τοῦτ' ἐμοῦ κλύουσ'.

ΚΡ. πότερα νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σὰ,
ἢ σ' εἰς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;
ΟΙ. ἐμοὶ μέν ἐσθ' ἥδιστον, εἰ σὺ μήτ' ἐμὲ
πείθειν οἷός τ' εἶ, μήτε τούσδε τοὺς πέλας.
ΚΡ. ὦ δύσμορ', οὐδὲ τῷ χρόνῳ φύσας φανῇ
φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφῃ.
ΟΙ. γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει.
ΚΡ. χωρὶς τό τ' εἰπεῖν πολλὰ, καὶ τὸ τὰ καίρια.
ΟΙ. ὡς δὴ σὺ βραχέα ταῦτα * κἀν καιρῷ λέγεις.
ΚΡ. οὐ δῆθ', ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.
ΟΙ. ἄπελθ', ἐρῶ γὰρ καὶ πρὸ τῶνδε, μηδ' ἐμὲ
φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
ΚΡ. μαρτύρομαι τούσδ', οὐ σὲ, πρός γε τοὺς φίλους
οἷ' ἀνταμείβῃ ῥήματ'. ἢν σ' ἕλω ποτὲ---
ΟΙ. τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;
ΚΡ. ἦ μὴν σὺ κἄνευ τῶνδε λυπηθεὶς ἔσει.
ΟΙ. ποίῳ ξὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις;
ΚΡ. παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ
ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.
ΟΙ. οἴ μοι.

* δ' ἐν edd. 1. 2.

797. *οἶδα γάρ σε ταῦτα μὴ πείθων.* Nescio qua incogitantia pravam versionem priorum interpretum retinueram. Vertendum erat: *Quandoquidem scio me tibi hæc non persuadere.* Scilicet quæ tibi prædixi, et istud maxime, fore ut plus damni quam commodi percipias ex hoc tuo sermone.

808. *καὶ τὸ τὰ καίρια.* Tres codd. *καὶ τὰ καίρια,* ut in impressis. Aliquanto melius Suidas *καὶ τὸ καίρια.* At verum est *καὶ τὸ τὰ καίρια,* quod jam acute viderat Toupius Emendat. in Suidam iii. 316. In membr. et in T. Scholion integerrime habet *καὶ ἄλλο τὸ τὰ ἀναγκαῖα λέγειν,* ut legitur etiam in Turnebi editione. Priorem articulum in Romana scholiorum editione omissum restituimus. Sequentem versum ita scriptum libri omnes exhibent: *Ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καίρῳ λέγεις.* Nullus hîc locus adversativæ particulæ *δὲ*, sententia copulam flagitat. Nihil verius Toupii emendatione, quam recepimus. *ὡς* hîc valet *λίαν.*

813. *πρός γε τοὺς φίλους.* Sic recte B. T. in aliis *πρὸς δὲ τοὺς*—locus vulgo male interpunctus.

ΚΡ. τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.
ΟΙ. τὴν παῖδ' ἔχεις μου;
ΚΡ. τήνδε γ' οὐ μακροῦ χρόνου.
ΟΙ. ἰὼ ξένοι, τί δράσετ'; ἦ προδώσετε;
κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
ΧΟ. χώρει, ξέν', ἔξω θᾶσσον· οὔτε γὰρ τανῦν
δίκαια πράσσεις, οὔτε πρόσθεν εἴργασαι.
ΚΡ. ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
ΑΝ. οἴ μοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
θεῶν ἄρηξιν, ἢ βροτῶν;
ΧΟ. τί δρᾷς, ξένε;
ΚΡ. οὐχ ἅψομαι τοῦδ' ἀνδρὸς, ἀλλὰ τῆς ἐμῆς.
ΟΙ. ὦ γῆς ἄνακτες.
ΧΟ. ὦ ξέν', οὐ δίκαια δρᾷς.
ΚΡ. δίκαια.
ΧΟ. πῶς δίκαια;
ΚΡ. τοὺς ἐμοὺς ἄγω.
ΑΝ. ἰὼ πόλις. στροφή.
ΧΟ. τί δρᾷς, ὦ ξέν'; οὐκ ἀφήσεις; τάχ' εἰς
βάσανον εἶ χερῶν.
ΚΡ. εἴργου.
ΧΟ. σοῦ μὲν οὔ, τάδε γε μωμένου.
ΟΙ. πόλει μάχῃ γὰρ, εἴ τι πημαίνεις ἐμέ.
ΧΟ. οὐκ ἠγόρευον ταῦτ' ἐγώ;
ΚΡ. μέθες χεροῖν

820. οἴμοι. Libri ᾤμοι. Promiscue ista adhibentur. At ex Creontis responso perspicitur prius hic poni debuisse. οἴμοι—τάχα μᾶλλον οἰμώξεις. Sic in El. 788. Οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα.

825. οὔτε πρόσθεν εἴργασαι. Libri perperam οὔθ' ἃ πρόσθεν. Ortus error ex male accepta voce τανῦν, quæ nihil aliud est quam νῦν. οὔτε νῦν δίκαια πράσσεις, οὔτε πρόσθεν εἴργασαι. Sic infra, 853. οὔτε νῦν καλὰ δρᾷς, οὔτε πρόσθεν εἰργάσω. In B. τανῦν scriptum una voce. Vide Kœnium ad libellum de Dialectis, p. 50.

831. ὦ γῆς ἄνακτες. Vide ad Œd. T. 911.

τὴν παῖδα θᾶσσον.
ΧΟ. μὴ 'πίτασσ' ἃ μὴ κρατεῖς.
ΚΡ. χαλᾷν λέγω σοι.
ΧΟ. σοὶ δ' ἔγωγ' ὁδοιπορεῖν.
προβᾶθ' ὧδε, βᾶτε, βᾶτ' ἔντοποι.
πόλις ἐναίρεται, πόλις ἐμὰ, σθένει.
προβᾶθ' ὧδ' ἐμοί.
ΑΝ. ἀφέλκομαι δύστηνος, ὦ ξένοι, ξένοι.
ΟΙ. ποῦ, τέκνον, εἶ μοι;
ΑΝ. πρὸς βίαν πορεύομαι.
ΟΙ. ὄρεξον, ὦ παῖ, χεῖρας.
ΑΝ. ἀλλ' οὐδὲν σθένω.
ΚΡ. οὐκ ἄξεθ' ὑμεῖς;
ΟΙ. ὦ τάλας ἐγὼ, τάλας.
ΚΡ. οὔκουν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
ὁδοιπορήσεις· ἀλλ' ἐπεὶ νικᾷν θέλεις
πατρίδα τε τὴν σὴν καὶ φίλους, ὑφ' ὧν ἐγὼ
ταχθεὶς τάδ' ἔρδω, καὶ τύραννος ὢν ὅμως,
νίκα. χρόνῳ γὰρ, οἶδ' ἐγὼ, γνώσει τάδε,
ὅθ' οὕνεκ' αὐτὸς αὑτὸν οὔτε νῦν καλὰ
δρᾷς, οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,
ὀργῇ χάριν δοὺς, ἥ σ' ἀεὶ λυμαίνεται.
ΧΟ. ἐπίσχες αὐτοῦ, ξεῖνε.

841. προβᾶθ' ὧδε, βᾶτε, βᾶτ' ἔντοποι. Ex antistrophico versu 884. perspicuum est sic legendum esse. In Aldina προβᾶθ' ὧδ', ἐμβᾶτε, βᾶτ' ἐντόπιοι.

844. ἀφέλκομαι δύστηνος. Sic T. Ceteri et Aldus ἀφέλκομ' ὦ δύστηνος.

849. ὁδοιπορήσεις. Sic emendate in B. T. Solœce vulgo ὁδοιπορήσῃς. Vide supra ad v. 408.

853. αὐτὸς αὑτόν. Sic B. T. In membr. et in Aldina minus eleganter αὐτὸς σαυτόν. Tribus personis servit αὑτοῦ et valet ἐμαυτοῦ, σεαυτοῦ, ἑαυτοῦ. Infra, 930. αἰσχύνεις πόλιν τὴν αὐτὸς αὑτοῦ. Trach. 451. εἰ δ' αὐτὸς αὑτὸν ὧδε παιδεύεις. Vide not. ad Comici Nubes 1455.

856. ἐπίσχες αὐτοῦ, ξεῖνε. *Hic resiste, hospes.* Verba sunt Chori manum intendentis in Creontem. Meras nugas hîc agit Heathius, cujus versionem, *in eum manum injice*, non admittit Græci sermonis proprietas. Ista codd. omnes Choro tribuunt recte.

ΚΡ. μὴ ψαύειν λέγω.
ΧΟ. οὔ τοι σ' ἀφήσω, ταῖνδέ γ' ἐστερημένος.
ΚΡ. καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
θήσεις· ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
ΧΟ. ἀλλ' ἐς τί τρέψει;
ΚΡ. τόνδ' ἀπάξομαι λαβών.
ΧΟ. δεινὸν λέγεις.
ΚΡ. ὡς τοῦτο νῦν πεπράξεται,
ἢν μή μ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
ΟΙ. ὦ φθέγμ' ἀναιδὲς, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;
ΚΡ. αὐδῶ σιωπᾶν.
ΟΙ. μὴ γὰρ αἵδε δαίμονες
θεῖέν μ' ἄφωνον σοί γε τῆσδ' ἀρᾶς ἔτι,
ὅς μ', ὦ κάκιστε, ψιλὸν ὄμμ' ἀποσπάσας
πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχῃ βίᾳ.
τοιγὰρ σέ τ' αὐτὸν, καὶ γένος τὸ σὸν, θεῶν

857. ταῖνδε, ut paulo inferius ταύταιν μόναιν. Libri omnes τῶνδε.

858. ῥύσιον, proprie *pignus, quod aufertur ob rem debitam.* Eustathius ad Ἰλ. λ'. p. 877. τὸ δὲ ῥύσια δηλοῖ τὰ ἀντὶ τινῶν ῥυόμενα, ὅ ἐστιν ἑλκόμενα, καὶ ἀντὶ τῶν προαρπασθέντων ἁρπαζόμενα. ὥστε ῥύσια ἐλαύνειν, τὸ ἐρυσιάζειν καὶ λαμβάνειν ἀνθαρπάγματα ἤγουν ἐνέχυρα χρέους. Proinde μεῖζον ῥύσιον θήσεις πόλει significat, *facies, ut tuæ civitati mox aliquod majus pignus a me auferendum sit: quippe non solas illas puellas vi abducam, sed alium etiam: quocirca major erit præda, ob quam abactam civitas tua ultionem a me sumere volet, et mea vicissim populari.* Tot verbis uti necesse habui, ut vim vocis ῥύσιον declararem, et sensum loci, quem neutiquam exprimit Johnsoni versio: *Majus igitur redemptionis pretium urbi statim conflabis.*

863. ψαύσεις. Perperam Aldus et membr. ψαύεις.

865. Aldus et codd. θεῖέν μ' ἄφωνον τῆσδε γῆς, ἀρᾶς ἔτι. manifesto vitio. Neminem latere poterat librarii error sæpissime observatus in permutatione literarum Τ Γ. Nihilque proclivius erat emendatione, qua facillime sanatur lectionis ulcus τῆσδε τῆς ἀρᾶς. Mihi tamen vix probabile visum hujusmodi mendam omnes invasuram fuisse codices, nisi aliquid reconditius olim scriptum fuisset, quod librarios turbasset, persuasique mihi Sophoclem reliquisse, θεῖέν μ' ἄφωνον σοί γε τῆσδ' ἀρᾶς ἔτι. Phrasis elegans est, sed paulo rarior, qualia sunt ista Comici: in Lysistr. 530. σοί γ'; ὦ κατάρατε, σιωπῶ 'γώ; In Ranis, 1134. ἐγὼ σιωπῶ τῷδ'; Et hoc quidem ipsum videtur Scholiastes interpretatus fuisse his verbis: μὴ ἄφωνος γενοίμην εἰς τὸ καταρᾶσθαί σε.

868. σέ τ' αὐτόν. Aldus et membr. mendose σὲ καὐτόν. In B. T. paulo melius σέ γ' αὐτόν. Copula hic desideratur, σέ τε αὐτὸν, καὶ γένος τὸ σόν.

ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον
τοιοῦτον, οἷον κἀμὲ, γηρᾶναί ποτε.
ΚΡ. ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
ΟΙ. ὁρῶσι κἀμὲ καὶ σέ· καὶ φρονοῦσ' ὅτι
ἔργοις πεπονθὼς, ῥήμασίν σ' ἀμύνομαι.
ΚΡ. οὔ τοι καθέξω θυμὸν, ἀλλ' ἄξω βίᾳ,
κεἰ μοῦνός εἰμι, τόνδε, καὶ χρόνῳ βραδύς.
ΟΙ. ἰὼ τάλας. ἀντιστρ.
ΧΟ. ὅσον λῆμ' ἔχων ἀφίκου, ξέν', εἰ
τάδε δοκεῖς τελεῖν.
ΚΡ. δοκῶ.
ΧΟ. τάνδ' ἄρ' οὐκ ἔτι νέμω πόλιν.
ΚΡ. τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν.
ΟΙ. ἀκούεθ' οἷα φθέγγεται;
ΧΟ. τά γ' οὐ τελεῖ.
ΚΡ. Ζεὺς ταῦτ' ἂν εἰδείη· σὺ δ' οὐ . . . .
ΧΟ. ἀλλ' οὐχ ὕβρις τάδ';
ΚΡ. ὕβρις· ἀλλ' ἀνεκτέα.
ΧΟ. ἰὼ πᾶς λεὼς, ἰὼ γᾶς πρόμοι,
μόλετε σὺν τάχει, μόλετ'· ἐπεὶ πέραν
περῶσιν ἤδη.
ΘΗ. τίς ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ
τοῦδ' ἐπιστάτῃ Κολωνοῦ; λέξαθ', ὡς εἰδῶ τὸ πᾶν,

880. Versum hunc Stobæus in excerpta sua retulit, Floril. tit. xi. sic interpolatum: Τοῖς τοι δικαίοις χρῶ. βραχὺς νικᾷ μέγαν.

882. Hic versus senarius esse debet, ut is qui ei in strophe respondet 839. Clausula librariorum culpa deficit, quod et indicavit Triclinius hac nota λείπει. Putidum mihi videtur Burtoni supplementum, σὺ δ' ἐκ εἶδας, γέρον. Istud forte Sophoclis colorem magis referet: σὺ δ' οὐ βραβεὺς ἔσει.

884. ἰὼ γᾶς πρόμοι. Sic Aldus et veteres codd. Copulam infersit Triclinius inepte, ἰὼ γᾶς τε πρόμοι, ut versus cum strophico congrueret 841. in quo male legebat ἐντόπιοι, ubi nos recte edidimus ἔντοποι---πρόμοι. gl. πρόμαχοι.

886. περῶσιν ἤδη. Aldus cum duobus codd. περῶσι δή. Triclinius περῶσι δῆτα.

889. ὡς εἰδῶ. Sic B. T. recte. Vulgo ὡς ἴδω.

οὗ χάριν δεῦρ' ἦξα θᾶσσον, ἢ καθ' ἡδονὴν ποδός.
ΟΙ. ὦ φίλτατ', ἔγνων γὰρ τὸ προσφώνημά σου,
πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
ΘΗ. τὰ ποῖα ταῦτα; τίς δ' ὁ πημήνας; λέγε.
ΟΙ. Κρέων ὅδ', ὃν δέδορκας, οἴχεται τέκνων
ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.
ΘΗ. πῶς εἶπας;
ΟΙ. οἷά περ πέπονθ' ἀκήκοας.
ΘΗ. οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
πρὸς τούσδε βωμοὺς, πάντ' ἀναγκάσει λεὼν,
ἄνιππον ἱππότην τε θυμάτων ἄπο
σπεύδειν ἀπὸ ῥυτῆρος, ἔνθα δίστομοι
μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοὶ,
ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἐγὼ
ξένῳ γένωμαι τῷδε, χειρωθεὶς βίᾳ;
ἴθ', ὡς ἄνωγα, σὺν τάχει. τοῦτον δ' ἐγὼ,
εἰ μὲν δι' ὀργῆς ἧκον, ἧς ὅδ' ἄξιος,
ἄτρωτον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός.
νῦν δ' οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων,
τούτοισιν, οὐκ ἄλλοισιν, ἁρμοσθήσεται.
οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
κείνας ἐναργεῖς δεῦρ' ἐμοὶ στήσῃς ἄγων·
ἐπεὶ δέδρακας οὔτ' ἐμοῦ καταξίως,
οὔθ' ὧν πέφυκας αὐτὸς, οὔτε σῆς χθονὸς,
ὅστις δίκαι' ἀσκοῦσαν εἰσελθὼν πόλιν,
κἄνευ νόμου κραίνουσαν οὐδὲν, εἶτ' ἀφεὶς

900. *ἀπὸ ῥυτῆρος.* Sic Aldus et codd. veteres. Soli Triclinio debetur *ἀπαί*. Vide ad Œd. T. 847. At sensum locutionis *σπεύδειν ἀπὸ ῥυτῆρος* bene exposuit. *ἤγουν ἀπὸ μιᾶς ὁρμῆς. ἀντὶ τοῦ, ὡς ἔχει ἕκαστος σχήματος. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν διωκόντων τινὰς στρατιωτῶν, καὶ πάσας ἡνίας χαλώντων, ὥστε ταχύτερον φέρεσθαι. ῥυτῆρας γὰρ τοὺς χαλινούς φασιν, οὐ τὰ ὑποδήματα, ὡς τὰ σχόλια λέγει.* Significat *effusis habenis currere, et festinare*: exemplis eam illustravit P. Wesselingius observat. i. 30.

902. *γέλως δ' ἐγὼ*--Sic B. T. melius quam in membr. *γέλως δ' ἐμῷ*.

907. *νῦν δ' οὕσπερ*---Perperam libri omnes *ὥσπερ*.

908. In B. T. *τούτοισι κοὐκ ἄλλοισιν*.

τὰ τῆσδε τῆς γῆς κύρι', ὧδ' ἐπεισπεσὼν,
ἄγεις θ' ἃ χρῄζεις, καὶ παρίστασαι βίᾳ.
κἀμοὶ πόλιν κένανδρον ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ' ἴσον τῷ μηδενί.
καί τοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν.
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν.
οὐδ' ἄν σ' ἐπαινέσειαν, εἰ πυθοίατο
συλῶντα τἀμὰ καὶ τὰ τῶν θεῶν, βίᾳ
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ' ἂν, σῆς ἐπεμβαίνων χθονὸς,
οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν, χθονὸς,
οὔθ' εἷλκον, οὔτ' ἂν ἦγον· ἀλλ' ἠπιστάμην
ξένον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρέων.
σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
τὴν αὐτὸς αὑτοῦ, καί σ' ὁ πληθύων χρόνος
γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ' ἄγειν τινὰ,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις

915. τὰ τῆσδε τῆς γῆς κύρι'—Male Aldus τὰ τῆσδε γῆς. Pejus in membr. τὰ τῆς γῆς. Integra lectio est in B. T.

916. ἄγεις θ' ἃ χρῄζεις, καὶ παρίστασαι. Sic tres codd. ut Aldi et Turnebi editiones. Operarum errore, ut videtur, in Stephani editione excusum fuit ἄγεις τὰ χρῄζεις καὶ περίστασαι, quod in subsequentes fere omnes dimanavit : adeo parum curæ iis adhibitum fuit ab imperitis hominibus, qui ne paratis quidem subsidiis uti sciebant. Nam præter illas, quas memoravi, duas editiones, Suidas etiam in Παρίστασαι sinceram lectionem exhibet.

918. κἄμ' ἴσον. Sic in B. T. scriptum per crasin Atticam, melius quam vulgo καί μ' ἴσον.

919. οὐκ ἐπαίδευσαν κακόν. Pessime Johnsonus : *atqui te Thebæ non hoc docuerunt malum.* παιδεύειν τινὰ σοφὸν, γενναῖον, κακὸν, eodem modo dicitur quo διδάσκειν. Vide Musgravium ad Eurip. El. 379. et Hemsterhusium ad Plutum, p. 4.

922. βίᾳ pertinet ad ἄγοντα : non autem ad συλῶντα, multoque minus ad τῶν θεῶν. Pessime vulgo hic locus interpunctus.

928. ξένον. Aldus et codd. ξεῖνον.

930. πληθύων. In B. T. πληθύνων, ut supra, 377.

εἶναι βίᾳ τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
τῷ νῷ θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.
ΧΟ. ὁρᾷς ἵν' ἥκεις, ὦ ξέν'; ὡς ἀφ' ὧν μὲν εἶ,
φαίνῃ δίκαιος, δρῶν δ' ἐφευρίσκῃ κακά.
ΚΡ. ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν λέγων,
ὦ τέκνον Αἰγέως, οὔτ' ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ' ἐξέπραξα· γιγνώσκων δ' ὅτι
οὐδείς ποτ' αὐτοῖς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ' ἐμοῦ τρέφειν βίᾳ.
ᾔδη δ' ὁθ' οὕνεκ' ἄνδρα καὶ πατροκτόνον
κἄναγνον οὐ δεξαίατ', οὐδ' ὅτῳ γάμοι
ξυνόντες εὑρέθησαν ἀνόσιοι τέκνων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδη χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει,
ᾧ πίστιν ἴσχων τήνδ' ἐχειρούμην ἄγραν.
καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῷ τ' ἀρὰς ἠρᾶτα καὶ τῷ 'μῷ γένει·
ἀνθ' ὧν πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν.
θυμοῦ γὰρ οὐδέν ἐστι γῆρας ἄλλο πλὴν

940. οὔτ' ἄβουλον, ὡς σὺ φῄς. Nihil tale Theseus criminatus fuerat; cui Creon si stricte responsurus fuisset, dicere debuerat, οὔτι δούλην. Sed artificium hujus responsionis a Scholiasta jam fuit observatum.

942. αὐτοῖς ἐμπέσοι. Aldus et codd. mendose αὐτούς.

944. ᾔδη. Sic veteres codd. et Aldus. Turnebus e Triclinio male ᾔδειν. Vide Notam ad Œd. T. 433. unde liquet quarto post hunc versu, libris etiam invitis, scribi debuisse ξυνῄδη.

946. ἀνόσιοι τέκνων. Scholion: παρόσον αὐτός ἐστι τέκνων μητέρα γεγαμηκώς. Hæc nota in Romana scholiorum editione non comparet. In T. præposita est scholio ad versum 939. quod hujus notæ tanquam continuatio est.

947. Ἄρεος. Non alia forma utitur Sophocles. Vide Antig. 125. El. 1423. Fallitur Kœnius ad Gregorium, p. 286. Ἄρεος hîc semel a Sophocle positum fuisse ratus ob versum. A recto Ἄρης, Atticis usitato, non alius formari potest genitivus, quam Ἄρεος. Ab Ἄρευς est Ἄρεως. Vide Eustath. p. 518. quem jam laudavimus ad Comici Aves 835.

954. οὐδέν ἐστι γῆρας ἄλλο. Sic ordinatæ voces in membr. Vulgo οὐδὲν γῆράς ἐστιν ἄλλο:

θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.
πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς· ἐπεὶ
ἐρημία με, κεἰ δίκαι' ὅμως λέγω,
σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως,
καὶ τηλικόσδ' ὤν, ἀντιδρᾷν πειράσομαι.

ΟΙ. ὦ λῆμ' ἀναιδὲς, τοῦ καθυβρίζειν δοκεῖς,
πότερον ἐμοῦ γέροντος, ἢ σαυτοῦ, τόδε;
ὅστις φόνους μοι, καὶ γάμους, καὶ ξυμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων. θεοῖς γὰρ ἦν οὕτω φίλον,
τάχ' ἄν τι μηνίουσιν εἰς γένος πάλαι.
ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδὲν, ἀνθ' ὅτου
τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.
ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ', ὥςε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοὶ,
ὃς οὔ τι βλάστας πω γενεθλίους πατρὸς,
οὐ μητρὸς εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦν.
εἰ δ' αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ 'φάνην,
ἐς χεῖρας ἦλθον πατρὶ, καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων, εἰς οὕς τ' ἔδρων,
πῶς γ' ἂν τό γ' ἆκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;
μητρὸς δὲ, τλῆμον, οὐκ ἐπαισχύνῃ γάμους,
οὔσης ὁμαίμου σῆς, μ' ἀναγκάζων λέγειν;
οἵους ἐρῶ τάχ'. οὐ γὰρ οὖν σιγήσομαι,
σοῦ γ' εἰς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
ἔτικτε γάρ μ', ἔτικτεν, ᾤ μοι μοὶ κακῶν,

960. τοῦ καθυβρίζειν δοκεῖς--τόδε; id est κατὰ τίνος δοκεῖς ὑβρίζειν τόδε;

966. αὑτὸν, id est ἐμαυτόν. Vide Notam ad v. 853.

972. ὃς οὔ τι βλάστας πω. Aldus ὃς οὔτι βλάστας πῶς. In solo B. πως sine accentu scriptum. οὔ τι πω scribi debuit, ut 1370. Haud infrequens est hæc particularum aggregatio.

981. στόμα hic *sermonem* significat. Vide ad Œd. T. 426.

οὐκ εἰδότ' οὐκ εἰδυῖα· καὶ τεκοῦσά με,
αὑτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
ἀλλ' ἕν γ' ἄρ' οὖν ἐξοῖδα, σὲ μὲν ἑκόντ' ἐμὲ
κείνην τε ταῦτα δυσστομεῖν· ἐγὼ δέ νιν
ἄκων ἔγημα, φθέγγομαί τ' ἄκων τάδε.
ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἀκούσομαι κακὸς
γάμοισιν, οὔθ' οὓς αἰὲν ἐμφέρεις σύ μοι
φόνους πατρῴους, ἐξονειδίζων πικρῶς.
ἓν γάρ μ' ἄμειψαι μοῦνον, ὧν σ' ἀνιστορῶ.
εἴ τις σὲ, τὸν δίκαιον, αὐτίκ' ἐνθάδε
κτείνοι παραστὰς, πότερα πυνθάνοι' ἂν, εἰ
πατήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
δοκῶ μὲν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι' ἂν, οὐδὲ τοὔνδικον περιβλέποις.
τοιαῦτα μέν τοι καὐτὸς εἰσέβην κακὰ,
θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
σὺ δ', εἶ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ' ἔπος,
τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλὸν,
καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς.
κᾆθ' ὧδ' ἐπαινῶν πολλὰ, τοῦδ' ἐκλανθάνῃ,
ὅθ' οὕνεκ' εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τοῦθ' ὑπερφέρει,
ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ,

985. ἀλλ' ἕν γ' ἄρ' οὖν. Minus bene vulgo ἓν γὰρ οὖν. In his particulis scribendis sæpe peccarunt librarii.

986. δυσστομεῖν. Perperam impressi διστομεῖν. Codd. minus bene δυστομεῖν. Scribendum δυσστομεῖν, ut δυσσεβὴς, δύσσειστον, aliaque similis compositionis.

1007. τιμαῖς σεβίζειν. Sic recte Turnebus. Codd. et Aldus τιμὰς— ἥδε τοῦθ' ὑπερφέρει. Sic membr. a prima manu. Vulgo τοῦδ' perperam. ὑπερφέρειν construitur cum dativo rei qua quis alios antecellit, vel cum accusativo adjuncta, vel subaudita, ut hîc, præpositione κατά. ὑπερφέρει κατὰ τοῦτο. Mendose in Aldina εἰ δὲ τοῦδ'—

αὐτόν τ' ἐχείρου, τὰς κόρας τ' οἴχῃ λαβών.
ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι, καὶ κατασκήπτω λιταῖς,
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους, ἵν' ἐκμάθῃς
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.

ΧΟ. ὁ ξεῖνος, ὦ 'ναξ, χρηστός· αἱ δὲ συμφοραὶ
αὐτοῦ πανώλεις, ἄξιαι δ' ἀμυνάθειν.

ΘΗ. ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
σπεύδουσιν· ἡμεῖς δ', οἱ παθόντες, ἕσταμεν.

ΚΡ. τί δῆτ' ἀφαυρῷ φωτὶ προστάσσεις ποιεῖν;

ΘΗ. ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δ' ἐμοὶ
χωρεῖν, ἵν', εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
τὰς παῖδας ἡμῶν, αὐτὸς ἐκδείξῃς ἐμοί·
εἰ δ' ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν.
ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μή ποτε
χώρας φυγόντες τῆσδ' ἐπεύξονται θεοῖς.
ἀλλ' ἐξυφηγοῦ· γνῶθι δ' ὡς ἔχων ἔχῃ,
καί σ' εἷλε θηρῶνθ' ἡ τύχη· τὰ γὰρ δόλῳ
τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται.
κοὐκ ἄλλον ἕξεις εἰς τάδ'· ὡς ἐξοῖδά σε

1009. αὐτόν τ' ἐχείρου. Male vulgo divisæ voces αὐτόν τε χειρῶν.

1014. αἱ δὲ συμφοραί. Sic tres codd. In impressis ξυμφοραί.

1018. ἀφαυρῷ, id est ἀσθενεῖ. Perperam in libris nostris ἀμαυρῷ, quæ voces et alibi commutatæ.

1019. πομπὸν δ' ἐμοὶ— Hanc scripturam sensus manifesto flagitat. Male in libris nostris πομπὸν δέ με.

1023. οὐ μή ποτε—ἐπεύξονται. Sic legendum ad linguæ normam. οὐ μὴ, quod sæpe observavimus, cum futuro indicativo formæ activæ vel mediæ construitur. In B. T. ἐπεύξωνται a secunda manu: a prima, ut in membr. est apud Aldum ἐπεύχωνται, pejore menda: nam nihil tam apertum est, quam futurum tempus hic requiri Eadem fere sententia mulier in Comici, Thesmoph. 710. Mnesilocho ait: Ἀλλ' οὐδ' ἥξεις ἔθεν ἥκεις, Φαύλως τ' ἀποδρὰς οὐ λέξεις Οἷον δράσας διέδυς ἔργον.

1028. εἰς τάδ'. Sic B. T. Alii εἰς τόδ'. Sensus est, si quid video, perspicuus, qualem eum in versione expressi: *neque alium habebis*, qui tibi opituletur, εἰς τάδε, *in peragendis his meis mandatis*. ἄλλον Gallicus interpres, eo quo est acumine, ad nomen δόλῳ refert in præcedenti gnome; quæ relatio ut manifestior sit, conjicit legendum ἄλλο, sicque Latine vertit; *non alium habebis dolum in hoc.* Euge, euge, lepide! laudo commentum tuum.

οὐ ψιλὸν, οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν
ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν.
ἀλλ' ἔσθ' ὅτῳ σὺ πιστὸς ὢν ἔδρας τάδε.
ἃ δεῖ μ' ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν.
νοεῖς τι τούτων, ἢ μάτην τανῦν τέ σοι
δοκεῖ λελέχθαι, χὤτε ταῦτ' ἐμηχανῶ;

**ΚΡ.** οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὢν ἐρεῖς ἐμοί·
οἴκοι δὲ χ' ἡμεῖς εἰσόμεσθ' ἃ χρὴ ποιεῖν.

**ΘΗ.** χωρῶν ἀπείλει νῦν· σὺ δ' ἡμῖν, Οἰδίπους,
ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι,
ἢν μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι,
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.

**ΟΙ.** ὄναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν,
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.

## ΧΟΡΟΣ.

Εἴην ὅθι δαΐων — στροφὴ α'.
ἀνδρῶν τάχ' ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη
μίξουσιν, ἢ πρὸς Πυθίαις,
ἢ λαμπάσιν ἀκταῖς,
οὗ Πότνιαι σεμνὰ τιθη-
νοῦνται τέλη
θνατοῖσιν, ὧν καὶ χρυσέα
κλῄς ἐπὶ γλώσσᾳ βέβακε
προσπόλων Εὐμολπιδᾶν·
ἔνθ' οἶμαι τὸν ἐγρεμάχαν

1031. πιστὸς, id est πίσυνος, πεποιθώς.---ἕδρας τάδε. Sic rursus B. T. In aliis τόδε.

1039. πιστωθείς. Aldus et membr. πιστηθείς.

1043. προμηθίας Aldus et Turnebus ediderunt recte. Stephani operæ male excuderunt προμηθείας, quod in subsequentes editiones permanavit.

1049. σεμνὰ---τέλη. Sic legendum. Male vulgo σεμναὶ, quo modo versus antistrophico non congruit.

1054. τὸν ἐγρεμάχαν. Diversa lectio scholiastæ memorata τὸν ἐρυβώταν, est in membran. et in Aldina editione.

Θησέα καὶ τὰς διστόλους
ἀδμῆτας ἀδελφὰς
αὐτάρκει τάχ' ἐμμίξειν βοᾷ
τούσδ' ἀνὰ χώρους.
ἤ που τὸν ἐφέσπερον — ἀντιστρ. α'.
πέτρας νιφάδος πέλωσ'
Οἰάτιδος ἐκ νομοῦ,
πώλοισιν, ἢ ῥιμφαρμάτοις
φεύγοντες ἁμίλλαις;
ἁλώσεται δεινὸς ὁ πρόσ-
χώρων Ἄρης,
δεινὰ δὲ Θησειδᾶν ἀκμά.
πᾶς γὰρ ἀστράπτει χαλινὸς,
πᾶσα δ' ὁρμᾶται κατ' ἀμ-
πυκτήρια φάλαρα πώλων
ἄμβασις, οἳ τὰν Ἱππίαν
τιμῶσιν Ἀθάναν,
καὶ τὸν πόντιον γαιάοχον
Ῥέας φίλον υἱόν.
ἔρδουσιν, ἢ μέλλουσιν; ὡς — στροφὴ β'.
προμνᾶταί τι μοι
γνώμα, τάχ' ἂν δώσειν
τὰν δεινὰ τλᾶσαν, δεινὰ δ'
εὑροῦσαν πρὸς ὁμαίμων πάθη.
τελεῖ, τελεῖ Ζεύς τι κατ' ἆμαρ·
μάντις εἴμ' ἐσθλῶν ἀγώνων.
εἴθ' ἀελλαία ταχύῤῥωστος πελειὰς
αἰθερίας νεφέλας

1056. ἀδελφάς. Sic recte T. Alii ἀδελφεάς, ut Aldus, contra metri rationem.

1061. Οἰάτιδος. Hoc nomen diversimode Grammatici veteres accipiunt. Vide Lexica. Scholiastæ explicatio probabilior videtur.

1064. Perperam vulgo post ἁλώσεται distinguunt---δεινὸς ὁ---Triclinius γε infersit, ob metrum scilicet, quia in strophico versu [illegible] legebat.

1078. εὑροῦσαν πρὸς ὁμαίμων πάθη. Sic legendum: vulgo πρὸς αὐθομαίμων, syllaba redundante.

κύρσαιμ', αὐτῶν δ' ἀγώνων
θεωρήσασα τοὐμὸν ὄμμα.
ἰὼ θεῶν παντάρχα Ζεῦ, ἀντιστρ. β'.
παντόπτα, πόροις
γᾶς τᾶσδε δαμούχοις
ἐπινικίῳ σθένει τὸν
εὔαγρον τελεῶσαι λόχον·
σεμνά τε παῖς Παλλὰς Ἀθάνα.
καὶ τὸν ἀγρευτὰν Ἀπόλλω,
καὶ κασιγνήταν πυκνοστίκτων ὀπαδὸν
ὠκυπόδων ἐλάφων,
στέργω διπλᾶς ἀρωγὰς
μολεῖν γᾷ τᾷδε καὶ πολίταις.

Ὦ ξεῖν' ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς,
ὡς ψευδόμαντις. τὰς κόρας γὰρ εἰσορῶ
τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας.
ΟΙ. ποῦ, ποῦ; τί φῄς; πῶς εἶπας;
ΑΝ. ὦ πάτερ, πάτερ,
τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
ΟΙ. ὦ τέκνον, ἦ πάρεστον;
ΑΝ. αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν, φιλτάτων τ' ὀπαόνων.
ΟΙ. προσέλθετ', ὦ παῖ, πατρὶ, καὶ τὸ μηδαμὰ
ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.

1085. ἰὼ θεῶν παντάρχα Ζεῦ. Aldus et duo codd. ἰὼ Ζεῦ πάνταρχε θεῶν. In T. ὦ Ζεῦ τε παντάρχα θεῶν.

1089. εὔαγρον τελεῶσαι λόχον. Aldus et codd. τελειῶσαι. Antithetici versus, ut eos edidimus, examussim quadrant. Asynarteti sunt e dactylica et iambica syzygia. Εὑροῦ | σαν πρὸς ὁ | μαίμων | πάθη. Εὔαγ | ρον τελε | ῶσαι | λόχον.

1094. στέργω, *rogo, oro, amanter precor.* Sic Latini verbo *amo* utuntur. Plautus Men. ii. 3. 71. *Sed scin' quid te amabo, ut facias.* iii. 3. 1. *Menæchme, amare te ait multum Erotium, Ut hoc nunc una opera ad aurificem deferas.*

1099. Membr. et Aldus, ὦ πάτερ, ὦ πάτερ.

1105. σῶμα βαστάσαι δότε. Sic Aldus et codd. veteres bene. In T.

ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον
τοιοῦτον, οἷον κἀμὲ, γηρᾶναί ποτε.
ΚΡ. ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
ΟΙ. ὁρῶσι κἀμὲ καὶ σέ· καὶ φρονοῦσ' ὅτι
ἔργοις πεπονθὼς, ῥήμασίν σ' ἀμύνομαι.
ΚΡ. οὔ τοι καθέξω θυμὸν, ἀλλ' ἄξω βίᾳ,
κεἰ μοῦνός εἰμι, τόνδε, καὶ χρόνῳ βραδύς.
ΟΙ. ἰὼ τάλας. ἀντιστρ.
ΧΟ. ὅσον λῆμ' ἔχων ἀφίκου, ξέν', εἰ
τάδε δοκεῖς τελεῖν.
ΚΡ. δοκῶ.
ΧΟ. τάνδ' ἄρ' οὐκ ἔτι νέμω πόλιν.
ΚΡ. τοῖς τοι δικαίοις χῴ βραχὺς νικᾷ μέγαν.
ΟΙ. ἀκούεθ' οἷα φθέγγεται;
ΧΟ. τά γ' οὐ τελεῖ.
ΚΡ. Ζεὺς ταῦτ' ἂν εἰδείη· σὺ δ' οὔ . . . .
ΧΟ. ἀλλ' οὐχ ὕβρις τάδ';
ΚΡ. ὕβρις· ἀλλ' ἀνεκτέα.
ΧΟ. ἰὼ πᾶς λεὼς, ἰὼ γᾶς πρόμοι,
μόλετε σὺν τάχει, μόλετ'· ἐπεὶ πέραν
περῶσιν ἤδη.
ΘΗ. τίς ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ
τοῦδ' ἐπιστάτῃ Κολωνοῦ; λέξαθ', ὡς εἰδῶ τὸ πᾶν,

880. Versum hunc Stobæus in excerpta sua retulit, Floril. tit. xi. sic interpolatum: Τοῖς τοι δικαίοις χρῶ. βραχὺς νικᾷ μέγαν.

882. Hic versus senarius esse debet, ut is qui ei in strophe respondet 839. Clausula librariorum culpa deficit, quod et indicavit Triclinius hac nota λείπει. Putidum mihi videtur Burtoni supplementum, σὺ δ' ἐκ εἶδας, γέρον. Istud forte Sophoclis colorem magis referet: σὺ δ' οὐ βραβεὺς ἔσει.

884. ἰὼ γᾶς πρόμοι. Sic Aldus et veteres codd. Copulam inferit Triclinius inepte, ἰὼ γᾶς τε πρόμοι, ut versus cum strophico congrueret 841. in quo male legebat ἐντόπιοι, ubi nos recte edidimus ἔντοποι---πρόμοι. gl. πρόμαχοι.

886. περῶσιν ἤδη. Aldus cum duobus codd. περῶσι δή. Triclinius περῶσι δῆτα.

889. ὡς εἰδῶ. Sic B. T. recte. Vulgo ὡς ἴδω.

οὗ χάριν δεῦρ' ἦξα θᾶσσον, ἢ καθ' ἡδονὴν ποδός.
ΟΙ. ὦ φίλτατ', ἔγνων γὰρ τὸ προσφώνημά σου,
πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
ΘΗ. τὰ ποῖα ταῦτα; τίς δ' ὁ πημήνας; λέγε.
ΟΙ. Κρέων ὅδ', ὃν δέδορκας, οἴχεται τέκνων
ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.
ΘΗ. πῶς εἶπας;
ΟΙ. οἷά περ πέπονθ' ἀκήκοας.
ΘΗ. οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
πρὸς τούσδε βωμοὺς, πάντ' ἀναγκάσει λεὼν,
ἄνιππον ἱππότην τε θυμάτων ἄπο
σπεύδειν ἀπὸ ῥυτῆρος, ἔνθα δίστομοι
μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοὶ,
ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἐγὼ
ξένῳ γένωμαι τῷδε, χειρωθεὶς βίᾳ;
ἴθ', ὡς ἄνωγα, σὺν τάχει. τοῦτον δ' ἐγὼ,
εἰ μὲν δι' ὀργῆς ἧκον, ἧς ὅδ' ἄξιος,
ἄτρωτον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός.
νῦν δ' οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων,
τούτοισιν, οὐκ ἄλλοισιν, ἁρμοσθήσεται.
οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
κείνας ἐναργεῖς δεῦρ' ἐμοὶ στήσῃς ἄγων·
ἐπεὶ δέδρακας οὔτ' ἐμοῦ καταξίως,
οὔθ' ὧν πέφυκας αὐτὸς, οὔτε σῆς χθονὸς,
ὅστις δίκαι' ἀσκοῦσαν εἰσελθὼν πόλιν,
κἄνευ νόμου κραίνουσαν οὐδὲν, εἶτ' ἀφεὶς

900. ἀπὸ ῥυτῆρος. Sic Aldus et codd. veteres. Soli Triclinio debetur ἀπαί. Vide ad Œd. T. 847. At sensum locutionis σπεύδειν ἀπὸ ῥυτῆρος bene exposuit. ἤγουν ἀπὸ μιᾶς ὁρμῆς. ἀντὶ τοῦ, ὡς ἔχει ἕκαστος σχήματος. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν διωκόντων τινὰς στρατιωτῶν, καὶ πάσας ἡνίας χαλώντων, ὥστε ταχύτερον φέρεσθαι. ῥυτῆρας γὰρ τοὺς χαλινούς φασιν, οὐ τὰ ὑποδήματα, ὡς τὰ σχόλια λέγει. Significat *effusis habenis currere, et festinare*: exemplis eam illustravit P. Wesselingius observat. i. 30.

902. γέλως δ' ἐγὼ--Sic B. T. melius quam in membr. γέλως δ' ἐμῷ.

907. νῦν δ' οὕσπερ---Perperam libri omnes ὥσπερ.

908. In B. T. τούτοισι κοὐκ ἄλλοισιν.

τὰ τῆσδε τῆς γῆς κύρι', ὧδ' ἐπεισπεσὼν,
ἄγεις θ' ἃ χρῄζεις, καὶ παρίστασαι βίᾳ.
κἀμοὶ πόλιν κένανδρον ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ' ἴσον τῷ μηδενί.
καί τοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν.
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν.
οὐδ' ἄν σ' ἐπαινέσειαν, εἰ πυθοίατο
συλῶντα τἀμὰ καὶ τὰ τῶν θεῶν, βίᾳ
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ' ἄν, σῆς ἐπεμβαίνων χθονὸς,
οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν, χθονὸς,
οὔθ' εἷλκον, οὔτ' ἂν ἦγον· ἀλλ' ἠπιστάμην
ξένον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρέων.
σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
τὴν αὐτὸς αὑτοῦ, καί σ' ὁ πληθύων χρόνος
γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ' ἄγειν τινὰ,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις

915. τὰ τῆσδε τῆς γῆς κύρι'—Male Aldus τὰ τῆσδε γῆς. Pejus in membr. τὰ τῆς γῆς. Integra lectio est in B. T.

916. ἄγεις θ' ἃ χρῄζεις, καὶ παρίστασαι. Sic tres codd. ut Aldi et Turnebi editiones. Operarum errore, ut videtur, in Stephani editione excusum fuit ἄγεις τὰ χρῄζεις καὶ περίστασαι, quod in subsequentes fere omnes dimanavit : adeo parum curæ iis adhibitum fuit ab imperitis hominibus, qui ne paratis quidem subsidiis uti sciebant. Nam præter illas, quas memoravi, duas editiones, Suidas etiam in Παρίστασαι sinceram lectionem exhibet.

918. κἄμ' ἴσον. Sic in B. T. scriptum per crasin Atticam, melius quam vulgo καί μ' ἴσον.

919. οὐκ ἐπαίδευσαν κακόν. Pessime Johnsonus : *atqui te Thebæ non hoc docuerunt malum.* παιδεύειν τινὰ σοφὸν, γενναῖον, κακὸν, eodem modo dicitur quo διδάσκειν. Vide Musgravium ad Eurip. El. 379. et Hemsterhusium ad Plutum, p. 4.

922. βίᾳ pertinet ad ἄγοντα : non autem ad συλῶντα, multoque minus ad τῶν θεῶν. Pessime vulgo hic locus interpunctus.

928. ξένον. Aldus et codd. ξεῖνον.

930. πληθύων. In B. T. πληθύνων, ut supra, 377.

εἶναι βίᾳ τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
τῷ νῷ θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.
ΧΟ. ὁρᾷς ἵν' ἥκεις, ὦ ξέν'; ὡς ἀφ' ὧν μὲν εἶ,
φαίνῃ δίκαιος, δρῶν δ' ἐφευρίσκῃ κακά.
ΚΡ. ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν λέγων,
ὦ τέκνον Αἰγέως, οὔτ' ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ' ἐξέπραξα· γιγνώσκων δ' ὅτι
οὐδείς ποτ' αὐτοῖς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ' ἐμοῦ τρέφειν βίᾳ.
ᾔδη δ' ὁθ' οὕνεκ' ἄνδρα καὶ πατροκτόνον
κἄναγνον οὐ δεξαίατ', οὐδ' ὅτῳ γάμοι
ξυνόντες εὑρέθησαν ἀνόσιοι τέκνων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδη χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει,
ᾧ πίστιν ἴσχων τήνδ' ἐχειρούμην ἄγραν.
καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῷ τ' ἀρὰς ἠρᾶτα καὶ τῷ 'μῷ γένει·
ἀνθ' ὧν πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν.
θυμοῦ γὰρ οὐδέν ἐστι γῆρας ἄλλο πλὴν

940. οὔτ' ἄβουλον, ὡς σὺ φῄς. Nihil tale Theseus criminatus fuerat; cui Creon si stricte responsurus fuisset, dicere debuerat, οὔτε δούλην. Sed artificium hujus responsionis a Scholiasta jam fuit observatum.

942. αὐτοῖς ἐμπέσοι. Aldus et codd. mendose αὐτούς.

944. ᾔδη. Sic veteres codd. et Aldus. Turnebus e Triclinio male ᾔδειν. Vide Notam ad Œd. T. 433. unde liquet quarto post hunc versu, libris etiam invitis, scribi debuisse ἐξῄδη.

946. ἀνόσιοι τέκνων. Scholion: παρόσον αὐτός ἐστι τέκνων μητέρα γεγαμηκώς. Hæc nota in Romana scholiorum editione non comparet. In T. præposita est scholio ad versum 939. quod hujus notæ tanquam continuatio est.

947. Ἄρεος. Non alia forma utitur Sophocles. Vide Antig. 125. El. 1423. Fallitur Kœnius ad Gregorium, p. 286. Ἄρεος hîc semel a Sophocle positum fuisse ratus ob versum. A recto Ἄρης, Atticis usitato, non alius formari potest genitivus, quam Ἄρεος. Ab Ἄρευς est Ἄρεως. Vide Eustath. p. 518. quem jam laudavimus ad Comici Aves 835.

954. οὐδέν ἐστι γῆρας ἄλλο. Sic ordinatæ voces in membr. Vulgo οὐδὲν γῆράς ἐστιν ἄλλο:

θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.
πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς· ἐπεὶ
ἐρημία με, κεὶ δίκαι' ὅμως λέγω,
σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως,
καὶ τηλικόσδ' ὢν, ἀντιδρᾶν πειράσομαι.

ΟΙ. ὦ λῆμ' ἀναιδὲς, τοῦ καθυβρίζειν δοκεῖς,
πότερον ἐμοῦ γέροντος, ἢ σαυτοῦ, τόδε;
ὅστις φόνους μοι, καὶ γάμους, καὶ ξυμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων. θεοῖς γὰρ ἦν οὕτω φίλον,
τάχ' ἄν τι μηνίουσιν εἰς γένος πάλαι.
ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδὲν, ἀνθ' ὅτου
τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.
ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ', ὥςε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοὶ,
ὃς οὔ τι βλάστας πω γενεθλίους πατρὸς,
οὐ μητρὸς εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦν.
εἰ δ' αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ 'φάνην,
ἐς χεῖρας ἦλθον πατρὶ, καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων, εἰς οὕς τ' ἔδρων,
πῶς γ' ἂν τό γ' ἆκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;
μητρὸς δὲ, τλῆμον, οὐκ ἐπαισχύνῃ γάμους,
οὔσης ὁμαίμου σῆς, μ' ἀναγκάζων λέγειν;
οἵους ἐρῶ τάχ'. οὐ γὰρ οὖν σιγήσομαι,
σοῦ γ' εἰς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
ἔτικτε γάρ μ', ἔτικτεν, ᾤ μοι μοι κακῶν,

960. τοῦ καθυβρίζειν δοκεῖς--τόδε; id est κατὰ τίνος δοκεῖς ὑβρίζειν τόδε;

966. αὑτὸν, id est ἐμαυτόν. Vide Notam ad v. 853.

972. ὃς οὔ τι βλάστας πω. Aldus ὃς οὔτι βλάστας πῶς. In solo B. πως sine accentu scriptum. οὔ τι πω scribi debuit, ut 1370. Haud infrequens est hæc particularum aggregatio.

981. στόμα hic *sermonem* significat. Vide ad Œd. T. 426.

οὐκ εἰδότ᾽ οὐκ εἰδυῖα· καὶ τεκοῦσά με,
αὑτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
ἀλλ᾽ ἕν γ᾽ ἄρ᾽ οὖν ἐξοῖδα, σὲ μὲν ἑκόντ᾽ ἐμὲ
κείνην τε ταῦτα δυσστομεῖν· ἐγὼ δέ νιν
ἄκων ἔγημα, φθέγγομαί τ᾽ ἄκων τάδε.
ἀλλ᾽ οὐ γὰρ οὔτ᾽ ἐν τοῖσδ᾽ ἀκούσομαι κακὸς
γάμοισιν, οὔθ᾽ οὓς αἰὲν ἐμφέρεις σύ μοι
φόνους πατρῴους, ἐξονειδίζων πικρῶς.
ἓν γάρ μ᾽ ἄμειψαι μοῦνον, ὧν σ᾽ ἀνιστορῶ.
εἴ τις σὲ, τὸν δίκαιον, αὐτίκ᾽ ἐνθάδε
κτείνοι παραστὰς, πότερα πυνθάνοι᾽ ἂν, εἰ
πατήρ σ᾽ ὁ καίνων, ἢ τίνοι᾽ ἂν εὐθέως;
δοκῶ μὲν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι᾽ ἂν, οὐδὲ τοὔνδικον περιβλέποις.
τοιαῦτα μέν τοι καὐτὸς εἰσέβην κακὰ,
θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
σὺ δ᾽, εἶ γὰρ οὐ δίκαιος, ἀλλ᾽ ἅπαν καλὸν
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ᾽ ἔπος,
τοιαῦτ᾽ ὀνειδίζεις με τῶνδ᾽ ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλὸν,
καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς.
κᾆθ᾽ ὧδ᾽ ἐπαινῶν πολλὰ, τοῦδ᾽ ἐκλανθάνῃ,
ὅθ᾽ οὕνεκ᾽ εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τοῦθ᾽ ὑπερφέρει,
ἀφ᾽ ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ᾽ ἐμὲ,

985. ἀλλ᾽ ἕν γ᾽ ἄρ᾽ οὖν. Minus bene vulgo ἓν γὰρ οὖν. In his particulis scribendis sæpe peccarunt librarii.

986. δυσστομεῖν. Perperam impressi διστομεῖν. Codd. minus bene δυστομεῖν. Scribendum δυσστομεῖν, ut δυσσεβὴς, δύσσευστον, aliaque similis compositionis.

1007. τιμαῖς σεβίζειν. Sic recte Turnebus. Codd. et Aldus τιμὰς— ἥδε τοῦθ᾽ ὑπερφέρει. Sic membr. a prima manu. Vulgo τοῦδ᾽ perperam. ὑπερφέρειν construitur cum dativo rei qua quis alios antecellit, vel cum accusativo adjuncta, vel subaudita, ut hîc, præpositione κατά. ὑπερφέρει κατὰ τοῦτο. Mendose in Aldina εἰ δὲ τοῦδ᾽—

αὐτόν τ' ἐχείρου, τὰς κόρας τ' οἴχῃ λαβών.
ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι, καὶ κατασκήπτω λιταῖς,
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους, ἵν' ἐκμάθῃς
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.
ΧΟ. ὁ ξεῖνος, ὦ 'ναξ, χρηστός· αἱ δὲ συμφοραὶ
αὐτοῦ πανώλεις, ἄξιαι δ' ἀμυνάθειν.
ΘΗ. ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
σπεύδουσιν· ἡμεῖς δ', οἱ παθόντες, ἕσταμεν.
ΚΡ. τί δῆτ' ἀφαυρῷ φωτὶ προστάσσεις ποιεῖν;
ΘΗ. ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δ' ἐμοὶ
χωρεῖν, ἵν', εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
τὰς παῖδας ἡμῶν, αὐτὸς ἐκδείξῃς ἐμοί·
εἰ δ' ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν.
ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μή ποτε
χώρας φυγόντες τῆσδ' ἐπεύξονται θεοῖς.
ἀλλ' ἐξυφηγοῦ· γνῶθι δ' ὡς ἔχων ἔχῃ,
καί σ' εἷλε θηρῶνθ' ἡ τύχη· τὰ γὰρ δόλῳ
τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται.
κοὐκ ἄλλον ἕξεις εἰς τάδ'· ὡς ἐξοῖδά σε

1009. *αὐτόν τ' ἐχείρου.* Male vulgo divisæ voces *αὐτόν τε χειροῦ.*

1014. *αἱ δὲ συμφοραί.* Sic tres codd. In impressis *ξυμφοραί.*

1018. *ἀφαυρῷ*, id est *ἀσθενεῖ.* Perperam in libris nostris *ἀμαυρῷ*, quæ voces et alibi commutatæ.

1019. *πομπὸν δ' ἐμοὶ*— Hanc scripturam sensus manifesto flagitat. Male in libris nostris *πομπὸν δέ με.*

1023. *οὐ μή ποτε---ἐπεύξονται.* Sic legendum ad linguæ normam. *οὐ μὴ*, quod sæpe observavimus, cum futuro indicativo formæ activæ vel mediæ construitur. In B. T. *ἐπεύξωνται* a secunda manu : a prima, ut in membr. est apud Aldum *ἐπεύχωνται*, pejore menda : nam nihil tam apertum est, quam futurum tempus hic requiri Eadem fere sententia mulier in Comici Thesmoph. 710. Mnesilocho ait : *Ἀλλ' οὔθ' ἥξεις ὅθεν ἥκεις, Φαύλως τ' ἀποδρὰς οὐ λέξεις Οἷον δράσας διέδυς ἔργον.*

1028. *εἰς τάδ'.* Sic B. T. Alii *εἰς τόδ'.* Sensus est, si quid video, perspicuus, qualem eum in versione expressi : *neque alium habebis*, qui tibi opituletur, *εἰς τάδε, in peragendis his meis mandatis. ἄλλον* Gallicus interpres, eo quo est acumine, ad nomen *δόλῳ* refert in præcedenti gnome ; quæ relatio ut manifestior sit, conjicit legendum *ἄλλο*, sicque Latine vertit ; *non alium habebis dolum in hoc.* Euge, euge, lepide ! laudo commentum tuum.

οὐ ψιλὸν, οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν
ἥκοντα τόλμης τῆς παρεστώσης ταvῦν.
ἀλλ' ἔσθ' ὅτῳ σὺ πιστὸς ὢν ἔδρας τάδε.
ἃ δεῖ μ' ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν.
νοεῖς τι τούτων, ἢ μάτην ταvῦν τέ σοι
δοκεῖ λελέχθαι, χὤτε ταῦτ' ἐμηχανῶ;

ΚΡ. οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὢν ἐρεῖς ἐμοί·
οἴκοι δὲ χ' ἡμεῖς εἰσόμεσθ' ἃ χρὴ ποιεῖν.

ΘΗ. χωρῶν ἀπείλει νῦν· σὺ δ' ἡμῖν, Οἰδίπους,
ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι,
ἢν μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι,
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.

ΟΙ. ὄναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν,
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.

## ΧΟΡΟΣ.

στροφὴ α'.

Εἴην ὅθι δαΐων
ἀνδρῶν τάχ' ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη
μίξουσιν, ἢ πρὸς Πυθίαις,
ἢ λαμπάσιν ἀκταῖς,
οὗ Πότνιαι σεμνὰ τιθη-
νοῦνται τέλη
θνατοῖσιν, ὧν καὶ χρυσέα
κλῂς ἐπὶ γλώσσᾳ βέβακε
προσπόλων Εὐμολπιδᾶν·
ἔνθ' οἶμαι τὸν ἐγρεμάχαν

1031. πιστὸς, id est πίσυνος, πεποιθώς.---ἕδρας τάδε. Sic rursus B. T. In aliis τόδε.

1039. πιστωθείς. Aldus et membr. πιστηθείς.

1043. προμηθίας Aldus et Turnebus ediderunt recte. Stephani operæ male excuderunt προμηθείας, quod in subsequentes editiones permanavit.

1049. σεμνὰ---τέλη. Sic legendum. Male vulgo σεμναὶ, quo modo versus antistrophico non congruit.

1054. τὸν ἐγρεμάχαν. Diversa lectio scholiastæ memorata τὸν ὀρειβάταν, est in membran. et in Aldina editione.

Θησέα καὶ τὰς διστόλους
ἀδμῆτας ἀδελφὰς
αὐτάρκει τάχ' ἐμμίξειν βοᾷ
τούσδ' ἀνὰ χώρους.
ἤ που τὸν ἐφέσπερον  ἀντιστρ. α'.
πέτρας νιφάδος πέλωσ'
Οἰάτιδος ἐκ νομοῦ,
πώλοισιν, ἢ ῥιμφαρμάτοις
φεύγοντες ἁμίλλαις;
ἁλώσεται δεινὸς ὁ πρόσ-
χώρων Ἄρης,
δεινὰ δὲ Θησειδᾶν ἀκμά.
πᾶς γὰρ ἀστράπτει χαλινὸς,
πᾶσα δ' ὁρμᾶται κατ' ἀμ-
πυκτήρια φάλαρα πώλων
ἄμβασις, οἳ τὰν Ἱππίαν
τιμῶσιν Ἀθάναν,
καὶ τὸν πόντιον γαιάοχον
Ῥέας φίλον υἱόν.
ἔρδουσιν, ἢ μέλλουσιν; ὡς  στροφὴ β'.
προμνᾶταί τι μοι
γνώμα, τάχ' ἂν δώσειν
τὰν δεινὰ τλᾶσαν, δεινὰ δ'
εὑροῦσαν πρὸς ὁμαίμων πάθη.
τελεῖ, τελεῖ Ζεύς τι κατ' ἆμαρ·
μάντις εἴμ' ἐσθλῶν ἀγώνων.
εἴθ' ἀελλαία ταχύῤῥωστος πελειὰς
αἰθερίας νεφέλας

1056. ἀδελφάς. Sic recte T. Alii ἀδελφεὰς, ut Aldus, contra metri rationem.

1061. Οἰάτιδος. Hoc nomen diversimode Grammatici veteres accipiunt. Vide Lexicon. Scholiastæ explicatio probabilior videtur.

1064. Perperam vulgo post ἁλώσεται distinguunt---δεινὸς ὁ---Triclinius γε infersit, ob metrum scilicet, quia in strophico versu σεμναὶ legebat.

1078. εὑροῦσαν πρὸς ὁμαίμων πάθη. Sic legendum: vulgo πρὸς αὐθομαίμων, syllaba redundante.

κύρσαιμ', αὐτῶν δ' ἀγώνων
θεωρήσασα τοὐμὸν ὄμμα.
ἰὼ θεῶν παντάρχα Ζεῦ, *ἀντιστρ. β'.*
παντόπτα, πόροις
γᾶς τᾶσδε δαμούχοις
ἐπινικίῳ σθένει τὸν
εὔαγρον τελεῶσαι λόχον·
σεμνά τε παῖς Παλλὰς Ἀθάνα.
καὶ τὸν ἀγρευτὰν Ἀπόλλω,
καὶ κασιγνήταν πυκνοστίκτων ὀπαδὸν
ὠκυπόδων ἐλάφων,
στέργω διπλᾶς ἀρωγὰς
μολεῖν γᾷ τᾷδε καὶ πολίταις.

Ὦ ξεῖν' ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς,
ὡς ψευδόμαντις. τὰς κόρας γὰρ εἰσορῶ
τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας.
ΟΙ. ποῦ, ποῦ; τί φής; πῶς εἶπας;
ΑΝ. ὦ πάτερ, πάτερ,
τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
ΟΙ. ὦ τέκνον, ἦ πάρεστον;
ΑΝ. αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν, φιλτάτων τ' ὀπαόνων.
ΟΙ. προσέλθετ', ὦ παῖ, πατρί, καὶ τὸ μηδαμὰ
ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.

1085. *ἰὼ θεῶν παντάρχα Ζεῦ.* Aldus et duo codd. *ἰὼ Ζεῦ πάνταρχε θεῶν.* In T. *ὦ Ζεῦ τε παντάρχα θεῶν.*

1089. *εὔαγρον τελεῶσαι λόχον.* Aldus et codd. *τελειῶσαι.* Antithetici versus, ut eos edidimus, examussim quadrant. Asynarteti sunt e dactylica et iambica syzygia. Κύροῦ | σαν πρὸς ὁ | μαίμων | πάθη. Εὔαγ | ρον τελε | ῶσαι | λόχον.

1094. *στέργω, rogo, oro, amanter precor.* Sic Latini verbo *amo* utuntur. Plautus Men. ii. 3. 71. *Sed scin' quid te amabo, ut facias.* iii. 3. 1. *Menæchme, amare te ait multum Erotium, Ut hoc nunc una opera ad aurificem deferas.*

1099. Membr. et Aldus, *ὦ πάτερ, ὦ πάτερ.*

1105. *σῶμα βαστάσαι δότε.* Sic Aldus et codd. veteres bene. In T.

ΑΝ. αἰτεῖς ἃ τεύξει· ξὺν πόθῳ γὰρ ἡ χάρις.
ΟΙ. ποῦ δῆτα, ποῦ 'στον;
ΑΝ. αἵδ' ὁμοῦ πελάζομεν.
ΟΙ. ὦ φίλτατ' ἔρνη.
ΑΝ. τῷ τεκόντι πᾶν φίλον.
ΟΙ. ὦ σκῆπτρα φωτὸς---
ΑΝ. δυσμόρου γε δύσμορα.
ΟΙ. ἔχω τὰ φίλτατ'· οὐδ' ἔτ' ἂν πανάθλιος
θανὼν ἂν εἴην, σφῷν παρεστώσαιν ἐμοί.
ἐρείσατ', ὦ παῖ, πλευρὸν ἀμφιδέξιον,
ἐμφῦτε τῷ φύσαντι, κἀναπαύσατον
τοῦ πρόσθ' ἐρήμου τοῦ τε δυστήνου πλάνου.
κἀμοὶ τὰ πραχθέντ' εἴπαθ' ὡς βράχιστ', ἐπεὶ
ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.
ΑΝ. ὅδ' ἔσθ' ὁ σώσας· τοῦδε χρὴ κλύειν, πάτερ,
καὶ σοίγε τοὔργον τοὐμὸν ὧς ἔσται βραχύ.
ΟΙ. ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρὲς,
τέκν' εἰ φανέντ' ἄελπτα μηκύνω λόγον.
ἐπίσταμαι γὰρ τήνδε σὴν ἐς τάσδ' ἐμοὶ
τέρψιν, παρ' ἄλλου μηδενὸς πεφασμένην.
σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν.

βαστάσαι τόδε, cum glossa θελήσατε: quod ineptissimum. βαστάσαι hîc valet ψηλαφῆσαι. Vide Suidam in voce.

1109. δυσμόρου γε. Perperam libri omnes δυσμόρου τε.

1113. κἀναπαύσατον. Aldus et membr. minus bene κἀναπαύσετον. Pessime Triclinius πλευρὸν ἀμφὶ δεξιὸν ἐμφῦσα. Ad postremam vocem illius nota hæc est, quam suo loco omisi: Τὸ ΕΜΦΥΣΑ, πρὸς τὴν μίαν τῶν παίδων νοητέον, ἵν' εἴη τὸ ΣΑ βραχὺ διὰ τὸ μέτρον, ἐπεὶ καὶ πρὸς τὴν μίαν ποιεῖται τὸν λόγον, λέγων· Ὦ παῖ, ποιήσατε τόδε. εἰ δ' ἐπὶ τῶν δύο δυϊκῶς εἴποις, οὐκ ὀρθὸν ἔσται τὸ μέτρον. Sed meræ nugæ ista sunt, et disputatio περὶ καπνοῦ σκιᾶς. Vera lectio est ἐμφῦτε. In seq. v. membr. habent τοῦ πρόσθεν ἐρήμου—Mox κἀμοὶ dedi pro eo quod est in libris omnibus καί μοι.

1118. Vocula ὧς in Aldina perperam omissa.

1120. τέκν' εἰ φανέντ' ἄελπτα. Sic recte in B. T. In aliis τέκν' ἐμφανέντ'—τέκνα φανέντα accusativus est, vel, si mavis, nominativus absolutus. Vid. ad Œd. T. 101. ἄελπτα, neutrum plurale pro adverbio. Ordo est: εἰ μηκύνω λόγον, τῶν ἐμῶν τέκνων ἀέλπτως φανέντων.

καὶ σοὶ θεοὶ πόροιεν, ὡς ἐγὼ θέλω,
αὐτῷ τε καὶ γῇ τῇδ'· ἐπεὶ τό γ' εὐσεβὲς
μόνοις παρ' ὑμῖν εὗρον ἀνθρώπων ἐγὼ,
καὶ τοὐπιεικὲς, καὶ τὸ μὴ ψευδοστομεῖν.
εἰδὼς δ' ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε.
ἔχω γὰρ ἃ 'χω διὰ σὲ, κοὐκ ἄλλον βροτῶν.
κἀμοὶ χέρ', ὦ 'ναξ, δεξιὰν ὄρεξον, ὡς
ψαύσω, φιλήσω τ', εἰ θέμις, τὸ σὸν κάρα.
καί τοι τί φωνῶ; πῶς δ' ἂν ἄθλιος γεγὼς
θιγεῖν θελήσαιμ' ἀνδρὸς, ᾧ τις οὐκ ἔνι
κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε,
οὐδ' οὖν ἐάσω. τοῖς γὰρ ἐμπείροις βροτῶν
μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
σὺ δ' αὐτόθεν μοι χαῖρε, καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ εἰς τόδ' ἡμέρας.

ΘΗ. οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον,
τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
οὐδ' εἰ πρὸ τοῦ 'μοῦ προὔλαβες τὰ τῶνδ' ἔπη.
βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.
οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
δείκνυμι δ'. ὧν γὰρ ὤμοσ', οὐκ ἐψευσάμην
οὐδέν σε, πρέσβυ. τάσδε γὰρ πάρειμ' ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
χὤπως μὲν ὅδ' ἀγὼν ἡρέθη, τί δεῖ μάτην
κομπεῖν, ἅ γ' εἴσει καὐτὸς ἐκ ταύταιν ξυνών;
λόγον δ', ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην· ἐπεὶ

1148. Hic versus in Aldina et in codd. legitur: *χὤπως μὲν ἀγὼν οὗτος ἡρέθη, τί δεῖ μάτην*—prorsus *ἀμέτρως*. Legendum: *Χὤπως μὲν ὅδ' ἀγὼν ἡρέθη, τί δεῖ μάτην*— Voculæ *ὅδ'* superscriptum glossema *οὗτος* in versum irrepsit. Mihi olim, ut Heathio, legendum videbatur, *χὤπως μὲν ὤ'γὼν ἡρέθη*—At magis blanditur postmodo nata conjectura.

1150. *λόγον*, rem, *πρᾶγμα*: quod de *ἔπος* observavi supra, 443. seu *nuntium*.

σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.
πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεών.
ΟΙ. τί δ' ἔστι, τέκνον Αἰγέως; δίδασκ' ἐμὲ,
ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν, ὧν σὺ πυνθάνῃ.
ΘΗ. φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
οὐκ ὄντα, συγγενῆ δὲ, προσπεσόντα πως
βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
θύων ἔκυρον, ἡνίχ' ὡρμώμην ἐγώ.
ΟΙ. ποδαπόν; τί προσχρῄζοντα τῷ θακήματι;
ΘΗ. οὐκ οἶδα πλὴν ἕν. σοῦ γὰρ, ὡς λέγουσί μοι,
βραχύν τιν' αἰτεῖ μῦθον, οὐκ ὄγκου πλέων.
ΟΙ. ποῖόν τιν'; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.
ΘΗ. σοὶ φασὶν αὐτὸν ἐς λόγους ἐλθεῖν μολόντ'
αἰτεῖν, ἀπελθεῖν τ' ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.
ΟΙ. τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν;
ΘΗ. ὅρα κατ' Ἄργος εἴ τις ὑμῖν ἐγγενὴς
ἔσθ', ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.
ΟΙ. ὦ φίλτατ', ἐπίσχες οὗπερ εἶ.
ΘΗ. τί δ' ἔστι σοι;
ΟΙ. μή μου δεηθῇς.

1153. οὐδὲν ἄνθρωπον. Perperam in libris, οὐδέν' ἀνθρώπων. Sensus est, ἄνθρωπος οὐδὲν πρᾶγμα ἀτίζειν δεῖ. Seu ἄνθρωπον ὄντα οὐδὲν πρᾶγος ἀτίζειν δεῖ. Vide Marklandum ad Suppl. 19.

1155. ὡς μὴ εἰδότ'—η ει in unam syllabam coalescunt, ut η οι, η ου, η ω. Vide Antig. 263. 535. Trach. 321. Μὴ ante diphthongum aut vocalem longam cum ea coalescit, nunquam eliditur. Corrigendus Bentleius ad Menandrum, p. 30.

1162. πλέων. Sic codd. In impressis πλέον, neglecto Atticismo, quem aliis in locis etiam restituimus. Vide Antig. 721. Aj. 1150. πλέως occurrit Phil. 1074. pluralis πλέῳ Aj. 1112.

1165. ἀπελθεῖν τ' ἀσφαλῶς. Copulam a librariis omissam, quæ salva constructione abesse non potest, bene reponit Heathius. φασὶν αὐτὸν αἰτεῖν ἐλθεῖν μολόντα σοι ἐς λόγους, ΚΑΙ ἀπελθεῖν---Sic infra, 1288. διδοὺς ἐμοὶ, λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ ξὺν ἐξόδῳ.

1169. ὦ φίλτατ', ἐπίσχες οὗπερ εἶ. Hæc est librorum omnium lectio, eaque optima, quam anapæsti in secunda sede metu alii aliter depravatum iverunt, temere omnes, partim vero imperitissime. Iis quæ observavi ad Eurip. Hecub. 832. ubi ostendi ἴσχες ne Græcum quidem esse, addam in Menandri fragm. apud Stobæum, in Floril. Grotii, p. 115. v. 2. ex auctoritate Regii cod. legen-

ΘΗ. πράγματος ποίου; λέγε.
ΟΙ. ἔξοιδ' ἀκούων τῶνδ', ὅς ἐσθ' ὁ προστάτης.
ΘΗ. καὶ τίς ποτ' ἐστὶν, ὃν ἂν ἐγὼ ψέξαιμί τι;
ΟΙ. παῖς οὑμὸς, ὦ 'ναξ, στυγνὸς, οὗ λόγων ἐγὼ
ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.
ΘΗ. τί δ'; οὐκ ἀκούειν ἐστὶ, καὶ μὴ δρᾶν, ἃ μὴ
χρῄζεις; τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν;
ΟΙ. ἔχθιστον, ὦ 'ναξ, φθέγμα τοῦθ' ἥκει πατρί·
καὶ μή μ' ἀνάγκῃ προσβάλῃς τάδ' εἰκάθειν.
ΘΗ. ἀλλ' εἰ τὸ θάκημ' ἐξαναγκάζει, σκόπει,
μή σοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα.
ΑΝ. πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
τὸν ἄνδρ' ἔασον τόνδε τῇ θ' αὑτοῦ φρενὶ
χάριν παρασχεῖν, τῷ θεῷ θ' ἃ βούλεται·
καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης, ἃ μή σοι ξυμφέροντα λέξεται.
λόγων δ' ἀκοῦσαι τίς βλάβη; τά τοι καλῶς
εὑρημέν' ἔργα τῷ λόγῳ μηνύεται.

dum esse:---τοῦ δέ γ' εὐτυχεῖν ἀεὶ Παρέσχες αὐτὸν τοῖς ἐρῶσιν ἄξιον. Quum Jo. Burton affirmantem viderem se *Florentinæ Editionis* auctoritate reposuisse ὦ φίλτατ' ἴσχες οὕπερ εἶ, indagavi quænam illa esse posset Florentina Editio, cujus mihi nullum indicium dabat Fabricii Bibliotheca. Nullam tum aliam noveram præter illam, quam anno MDXXII. excuderunt heredes Phil. Juntæ, in qua liquido conspicitur nostra lectio ἐπίσχες: vixque mihi temperabam quin crederem notulam illam ab homine male sobrio scriptam fuisse. Tandem multo post tempore in notitiam meam venit, supellectilique meæ librariæ accessit alia Florentina Editio anni MDXLVII. in eadem Juntarum officina excusa, quæ revera lectionem a Burtono indicatam exhibet, ὦ φίλτατ' ἴσχες. Sed illius tanta non est auctoritas, ut barbarismum in Sophoclis poësin invehamus.

1172. ὃν ἂν ἐγὼ ψέξαιμί τι. Perperam codd. ὅν γ' ἐγὼ ψέξαιμί τι. Deterius impressi ψέξαιμί σοι. Particulam ἂν reposuimus, quæ salva constructionis lege abesse non potest.

1174. ἐξανασχοίμην. Non vacat præpositio, cujus vim senties, si verba sic ordines: οὐ ἐκ πάντων ἀνδρῶν ἄλγιστα ἐγὼ ἀνασχοίμην ἂν κλύων λόγων.

1180. μή σοι. Sic tres codd. Perperam in impressis μή μοι.

ἔφυσας αὐτόν· ὥστε μηδὲ δρῶντά σε
τὰ τῶν κάκιστα δυσσεβεστάτων, πάτερ,
θέμις, σέ γ' εἶναι, κεῖνον ἀντιδρᾷν κακῶς.
ἀλλ' ἔα 'υτόν. εἰσὶ χᾀτέροις γοναὶ κακαὶ,
καὶ θυμὸς ὀξύς. ἀλλὰ νουθετούμενοι
φίλων ἐπῳδαῖς, ἐξεπᾴδονται φύσιν.
σὺ δ' εἰς ἐκεῖνα μὴ τανῦν ἀποσκόπει
πατρῷα καὶ μητρῷα πήμαθ', ἅ 'παθες·
κᾂν κεῖνα λεύσῃς, οἶδ' ἐγὼ, γνώσει κακοῦ
θυμοῦ τελευτὴν, ὡς κακὴ προσγίγνεται.
ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα,

1189. μηδὲ δρῶντα. Perperam in libris μήτι. Mendose etiam quæ sequuntur scripta τὰ τῶν κακίστων δυσσεβεστάτων. Toupii emendationem, ut certissimam et elegantissimam, recepi, quam protulit ad Suidam ii. 80. τὰ τῶν κάκιστα δυσσεβεστάτων. Neutrum est plurale κάκιστα, vice adverbii, ut supra, 700. μέγιστα. Pro glossa superscriptum fuerat κακίστως, quod in κακίστων mutatum, textum invasit. In σέ γ' εἶναι, eleganter abundat verbum, ut in τὸ νῦν εἶναι, ἑκών γε εἶναι. Vide auctorem libelli de Dialectis, §. xxix. de Dial. Attica, et Piersonum ad Mœridem, p. 364.

1192. ἀλλ' ἔα 'υτόν. Sic scriptum oportuit pro ἀλλ' ἔα αὐτὸν, *at missum eum fac*. Perperam in impressis et codd. ἀλλ' αὐτὸν, vel αὐτόν. De hoc loco egi ad Comici Ranas 1243. Parisinorum hominum quos ibi innui conjecturæ longe sunt futilissimæ, nec quibus refellendis immorer dignæ.

1196. ἅ 'παθες, una voce scribi debuit, e duabus conflata ἃ ἔπαθες. Fit crasis vocalium α ε in α, quod ideo producitur, ut τἀμὰ ex τὰ ἐμά. ἁ'γὼ, ex ἃ ἐγώ. aliaque hujus generis infinita, quæ divisim excudi solent cum elisionis signo, male. Nulla in his est elisio, sed vocum coalitio. Mirum est Henr. Stephanum hìc offendisse. In versu 361. Ἐγὼ τὰ μὲν παθήμαθ', ἅ 'παθον, πάτερ, contra fidem editionum Aldi et Turnebi edidit ἃ ἔπαθον, ingrato hiatu, qualem in scena non ferebant Athenienses.

1197. Codd. et impressi habent κᾂν κεῖνα λύσῃς, quod sensu prorsus cassum, manifeste depravatum est. Reiskius conjecit κᾂν κεῖν' ἀτίσῃς: Toupius, κᾂν κεῖν' ἰάσῃς. Absurde uterque. *Nam hæc si nihili facias*, vel *nam hæc si omittas*, plane contrarium est ejus quod sententia fert, quodque ex sermonis serie Antigonen cogitare liquet. Proclivis erat emendatio, literulam reponendo, quæ librariorum culpa exciderat: κᾂν κεῖνα λεύσῃς. Id jamdudum ipse videram, et postmodo lubens comperi mecum sentire virum ingeniosum et perquam sagacem Thomam Tyrwhitt, cujus in schedis mecum benigne communicatis ista reperi: *Legendum* λεύσσῃς. *Sensus est: Ne respicias ad illas calamitates, &c. Quin si illas spectes, intelliges, etc.* At vero λεύσῃς scribendum in aoristo, non λεύσσῃς in præsenti.

1199. In codd. ut in impressis le-

τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
ἀλλ' ἡμὶν εἶκε. λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρῄζουσιν, οὐδ' αὐτὸν μὲν εὖ
πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.
ΟΙ. τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτ' ἐμὲ,
λέγοντες· ἔστω δ' οὖν ὅπως ὑμῖν φίλον.
μόνον, ξέν', εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτέ.
ΘΗ. ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς, χρῄζω κλύειν,
ὦ πρέσβυ. κομπεῖν δ' οὐχὶ βούλομαι· σὺ δὲ
σῶς ἴσθ', ἐάν περ κἀμέ τις σώζῃ θεῶν.

## ΧΟΡΟΣ.

Ὅστις τοῦ πλέονος μέρους στροφή.
χρῄζει, τοῦ μετρίου παρεὶς,
ζώειν, σκαιοσύναν φυλάσσων
ἐν ἐμοὶ κατάδηλος ἔσται.
ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
ἁμέραι κατέθεντο δὴ
λύπας ἐγγυτέρω· τὰ τέρπον-
τα δ' οὐκ ἂν ἴδοις, ὁπό-
τε γ' ἄν τις ἐς πλέον πέσῃ

gitur ἴχεις γὰρ οὐ βίαια τἀνθυμήματα. Quod Johnsonus vertit: *Habes enim argumenta non per vim obtrusa.* Absurdam versionem ex absurdis Græcis et fœde corruptis nasci consentaneum erat. Locum depravatum esse vidit Heathius, sed nihil amplius: inepta est ejus conjectura, totaque quam dedit hujus loci versio, inficetissima est. Nos verissime poëtæ manum restituimus: Ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα. Vide Lexicon in Βαιόν. Inde orta depravatio, quod quum librarius οὐ pro οὐχὶ scripsisset, alius postmodo, ne titubaret versus, βίαια scripsit pro βαιὰ, de sententia minus quam de metro solicitus. In οὐχὶ paragogen sæpe omiserunt librarii, quod observavi ad priorem Œdipum 993.

1210. σῶς ἴσθ'---Sic bene Jos. Scaliger, teste Valckenario ad Hippol. 304. Subauditur participium, quicum imperativus ille ἴσθι fere jungi solet, ut in Œd. T. 1181. ἴσθι δύσποτμος γεγώς. Codd. et impressi σῶν ἴσθ'---Inepta glossa in T. ἤγουν σῶον εἰμί.

1219. ὁπότε γ' ἄν τις. Sic legendum metri gratia. Aldus ὁπότ' ἄν τις.

τοῦ θέλοντος, οὐδ᾽ ἔπι κόρος
ἰσοτέλεστος Ἄϊδος,
ὅτε Μοῖρ᾽ ἀνυμέναιος,
ἄλυρος, ἄχορος, ἀναπέφηνε,
θάνατος ἐς τελευτάν.
μὴ φῦναι τὸν ἅπαντα νι- ἀντιστρ.
κᾷ λόγον· τὸ δ᾽, ἐπὴν φανῇ,
βῆναι κεῖθεν ὅθεν περ ἥκει,
πολὺ δεύτερον, ὡς τάχιστα.
ὡς εὖτ᾽ ἂν τὸ νέον παρῇ
κούφας ἀφροσύνας φέρον,
τίς πλάγχθη πολύμοχθος ἔξω;
τίς οὐ καμάτων ἔνι;
φόνοι, στάσεις, ἔρις, μάχαι,
καὶ φθόνος· τό τε κατάμεμπτον
ἐπιλέλογχε πύματον
ἀκρατὲς, ἀπροσόμιλον,
γῆρας ἄφιλον, ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ.
ἐν ᾧ τλάμων ὅδ᾽, οὐκ ἐγὼ μόνος, ἐπῳδός.
πάντοθεν βόρειος ὥς τις ἀκτὰ
κυματοπλὴξ χειμερία κλονεῖται,
ὣς καὶ τόνδε κατάκρας
δειναὶ κυματοαγεῖς
ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι·

1225. Hanc sententiam antiquæ fabulæ Sileno tribuebant, qui quum a Mida captus esset, hoc ei muneris pro sua missione dedisse scribitur: docuisse regem, *non nasci homini longe optumum esse; proxumum autem, quamprimum mori.* Ita Cicero Tuscul. i. 48. ad quem locum vide quæ collegit Jo. Davisius. Perperam in libris ἐπεὶ φανῇ.

1236. Eustathius ad Il. κ᾽. p. 790. χαλεπότητες δὲ γήρως ἑτεροῖαί τε φαίνονται, καὶ ὁποίαν δὲ ἐκτίθεται Σοφοκλῆς φράσας οὕτω. Ἀκρατὲς, ἀπροσόμιλον γῆρας, ἄφιλον, ἵνα, τουτέστιν ὅπου, πρόπαντα κακὰ κακῶν ξυνοικεῖ. ὧν ἓν λέγει, καὶ τὸ ἀπὸ τῶν οἰκείων ἀμελεῖσθαι τὸν γέροντα. δριμέως δὲ ΑΚΡΑΤΕΣ ἐκεῖνος γῆρας φησὶν, οὐ τὸ ἀκόλαστον, ἀλλὰ τὸ ποιοῦν πάρεσιν, ὡς μὴ ἔχειν τὸν γέροντα κρατεῖν ἑαυτοῦ.

αἱ μὲν ἀπ' ἀελίου δυσμᾶν,
αἱ δ' ἀνατέλλοντος,
αἱ δ' ἀνὰ μέσσαν ἀκτῖν',
αἱ δὲ νυχίαν ἀπὸ ῥιπᾶν.

ΑΝ. Καὶ μὴν ὅδ' ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος
ἀνδρῶν γε μοῦνος, ὦ πάτερ, δι' ὀμμάτων
ἀστακτὶ λείβων δάκρυον ὧδ' ὁδοιπορεῖ.
ΟΙ. τίς οὗτος;
ΑΝ. ὅνπερ καὶ πάλαι κατείχομεν
γνώμῃ, πάρεστι δεῦρο Πολυνείκης ὅδε.

## ΠΟΛΥΝΕΙΚΗΣ.

οἴ μοι, τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ' ὁρῶν
πατρὸς γέροντος; ὃν ξένης ἐπὶ χθονὸς
ξὺν σφῷν ἐφεύρηκ' ἐνθάδ' ἐκβεβλημένον,
ἐσθῆτι σὺν τοιᾷδε, τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πίνος,
πλευρὰν μαραίνων, κρατὶ δ' ὀμματοστερεῖ
κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται·
ἀδελφὰ δ', ὡς ἔοικε, τούτοισιν φορεῖ
τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἃ 'γὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω·

1259. *γέρων πίνος.* Sic legendum esse apud eruditos constat, non *πόνος*, quod codd. nostri juxta impressos exhibent. Infra, 1597. *ἔλυσε δυσπινεῖς στολάς.* Hoc post alios monuit etiam Toupius, Addend. in Theocritum, p. 394. ubi in sup. v. legendum esse statuit, *'Εσθῆτι σὺν τοιᾷδέ γ', ἧς ὁ δυσφιλὴς*—Quia vulgatum *τῆς* ab Atticorum auribus alienum est. Scilicet ille legem Atticismi comprobatam volebat, quam condiderat Jo. Piersonus Verisimil. p. 74. Verum commentum hoc jamdudum merito explosum fuit, Attici poëtæ articulum præpositivum vice articuli relativi, *ὁ* pro *ὅς*, *τοὺς* pro *οὓς* adhibent passim. Vide Marklandum ad Suppl. 858. et nos ad Æschyli S. Th. 37. Persas 776. Tanta est apud Sophoclem exemplorum copia, ut res extra omnem dubitationem posita sit. Vide supra, 304. 747. Œd. T. 1055. 1379. 1427. Antig. 1086. Trach. 47. 728. Phil. 14.

1263. *θρεπτήρια.* Hoc nomen plerumque mercedem altoribus debitam significat, hîc vero, ipsa alimenta.

1264. *ἄγαν ἐκμανθάνω.* In B. T.

καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν· τοῦτο μὴ 'ξ ἄλλων πύθῃ.
ἀλλ' ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοὶ, πάτερ,
παρασταθήτω. τῶν γὰρ ἡμαρτημένων
ἄκη μέν ἐστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι.
τί σιγᾷς;
φώνησον, ὦ πάτερ, τι· μή μ' ἀποστραφῇς.
οὐδ' ἀνταμείβῃ μ' οὐδέν; ἀλλ' ἀτιμάσας
πέμψεις, ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,
πειράσατ' ἀλλ' ὑμεῖς γε κινῆσαι πατρὸς
τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα·
ὡς μή μ' ἄτιμον, τοῦ θεοῦ γε προστάτην,
οὕτως ἀφῇ γε, μηδὲν ἀντειπὼν ἔπος.
ΑΝ. λέγ', ὦ ταλαίπωρ', αὐτὸς ὧν χρείᾳ πάρει.
τὰ πολλὰ γάρ τοι ῥήματ' ἢ τέρψαντά τι,
ἢ δυσχεράναντ', ἢ κατοικτίσαντά πως,
παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.
ΠΟ. ἀλλ' ἐξερῶ· καλῶς γὰρ ἐξηγῇ σύ μοι·
πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
ἀρωγὸν, ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν
ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ ξὺν ἐξόδῳ.

inserta particula γε. Vide ad Œd. T. 439.

1266. τοῦτο μὴ 'ξ ἄλλων πύθῃ. Sic ex vi sententiæ legendum. Vulgo τἄλλα μὴ 'ξ ἄλλων πύθῃ. Aldus mendose πάθῃ, nullo addicente e nostris codd.

1270. προσφορὰ, *exprobratio*. Hanc vocem perperam interpretantur Scholiastes et Heathius.

1277. δυσπρόσοιστον. Perperam in B. T. δυσπρόσιτον.

1278. Quam dedimus ex Turnebo, horum versuum lectionem habent sine ulla varietate codd. omnes. Perperam Aldus, ὡς μήτ'· ἄτιμον—οὕτως μ' ἀφῇ γε.

1282. κατοικτίσαντα, significatione transitiva, *misericordiam moventia*: ut δυσχεράναντα, *molestiam creantia, offendentia*. Pro τέρψαντα, Turnebus perperam e Triclinio τρέψαντα.

1287. τῆσδε τῆς γῆς. Aldus et membr. τῆσδε γῆς.

καὶ ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βουλήσομαι,
καὶ ταῖνδ' ἀδελφαῖν, καὶ πατρὸς κυρεῖν ἐμοί.
ἃ δ' ἦλθον, ἤδη σοι θέλω λέξαι, πάτερ.
γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγάς,
τοῖς σοῖς πανάρχοις οὕνεκ' ἐνθακεῖν θρόνοις
γονῇ πεφυκὼς ἠξίουν γεραιτέρᾳ.
ἀνθ' ὧν μ' Ἐτεοκλῆς, ὢν φύσει νεώτερος,
γῆς ἐξέωσεν, οὔτε νικήσας λόγῳ,
οὔτ' εἰς ἔλεγχον χειρὸς οὔτ' ἔργου μολὼν,
πόλιν δὲ πείσας. ὧν ἐγὼ μάλιστα μὲν
τὴν σὴν Ἐριννὺν αἰτίαν εἶναι λέγω·
ἔπειτα κἀπὸ μαντέων ταύτῃ κλύω.
ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικὸν,
λαβὼν Ἄδραστον πενθερὸν, ξυνωμότας
ἔστησ' ἐμαυτῷ, γῆς ὅσοιπερ Ἀπίας
πρῶτοι καλοῦνται, καὶ τετίμηνται δορὶ,
ὅπως τὸν ἑπτάλογχον ἐς Θήβας στόλον
ξὺν τοῖσδ' ἀγείρας, ἢ θάνοιμι πανδίκως,
ἢ τοὺς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
εἶεν. τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
σοὶ προστροπαίους, ὦ πάτερ, λιτὰς ἔχων,
αὐτός γ' ἐμαυτοῦ, ξυμμάχων τε τῶν ἐμῶν,
οἳ νῦν ξὺν ἑπτὰ τάξεσι, ξὺν ἑπτά τε
λόγχαις, τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν·
οἷος δορύσσους Ἀμφιάρεως, τὰ πρῶτα μὲν
δορὶ κρατύνων, πρῶτα δ' οἰωνῶν ὁδοῖς·
ὁ δεύτερος δ' Αἰτωλὸς Οἰνέως τόκος
Τυδεύς· τρίτος δ' Ἐτέοκλος Ἀργεῖος γεγώς·

1300. ταύτῃ κλύω. Sic B. T. in aliis κλύων male. In T. diversa lectio apposita ταύτην, quod nihili est.

1301. Ἄργος Δωρικὸν est Peloponnesus, quam supra, 696. appellat Δωρίδα νῆσον, quæ et priscis incolis Ἀπία dicta fuit. Vide Eustathium ad Periegetam 419.

1305. ἐς Θήβας. Sic B. T. ut rursus 1325. quo posteriore loco ἐς membr. etiam habent.

τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
Ταλαός· ὁ πέμπτος δ' εὔχεται κατασκαφῇ
Καπανεὺς τὸ Θήβης ἄστυ δηώσειν τάχα·
ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,
ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
μητρὸς, λοχευθεὶς πιστὸς Ἀταλάντης γόνος·
ἐγὼ δ' ὁ σὸς, κεἰ μὴ σὸς, ἀλλὰ τοῦ κακοῦ
πότμου φυτευθεὶς, σός γέ τοι καλούμενος,
ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν.
οἵ σ' ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς, πάτερ,
ἱκετεύομεν ξύμπαντες ἐξαιτούμενοι,
μῆνιν βαρεῖαν εἰκάθειν ὁρμωμένῳ
τῷδ' ἀνδρὶ τοῦ 'μοῦ πρὸς κασιγνήτου τίσιν,
ὅς μ' ἐξέωσε, κἀπεσύλησεν πάτρας.
εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,
οἷς ἂν σὺ προσθῇ, τοῖσδ' ἔφασκ' εἶναι κράτος.
πρός νύν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων,
αἰτῶ πιθέσθαι καὶ παρεικάθειν, ἐπεὶ
πτωχοὶ μὲν ἡμεῖς, καὶ ξένοι, ξένος δὲ σύ·
ἄλλους δὲ θωπεύοντες οἰκοῦμεν σύ τε
κἀγὼ, τὸν αὐτὸν δαίμον' ἐξειληχότες.
ὁ δ' ἐν δόμοις τύραννος, ὢ τάλας ἐγὼ,
κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἁβρύνεται·
ὃν, εἰ σὺ τῇ 'μῇ ξυμπαραστήσει φρενὶ,

1323. ἐγὼ δ' ὁ σός. Articulus hic ex indole linguæ adesse debet. Male in libris ἐγὼ δὲ σός.

1326. οἵ σ' ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς ἱκετεύομεν. Pessime Johnsonus vertit: *qui te pro filiis horum et salute supplicamus.* ἀντὶ idem valet quod πρὸς in obtestationibus: et παίδων τῶνδε ad nullas alias personas referri potest, quam ad præsentes Œdipi filias: *per hasce tuas filias et tuam salutem.*

1329. Perperam in plurimis editionibus excusum video τοὐμοῦ πρὸς κασιγνήτου. Crasis est τοὐμοῦ ex τὸ ἐμοῦ. At cum elisione τοῦ 'μοῦ est τοῦ ἐμοῦ.

1333. πρὸς θεῶν ὁμογνίων. Eurip. Androm. 915. Ἀλλ' ἄντομαί σε, Δίαʹ καλοῦσ' ὁμόγνιον. Vide Lexicon.

1337. ἐξειληχότες. Sic cum Valckenario lego, quem vide ad Hippolytum, p. 251. Mendose in libris ἐξειληφότες.

1340. ξυμπαραστήσει. Turnebus ex

βραχεῖ ξὺν ὄγκῳ καὶ χρόνῳ διασκεδῶ.
ὥστ' ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων,
στήσω δ' ἐμαυτὸν, κεῖνον ἐκβαλὼν βίᾳ.
καὶ ταῦτα, σοῦ μὲν ξυνθέλοντος, ἔστι μοι
κομπεῖν· ἄνευ σοῦ δ', οὐδὲ σωθῆναι σθένω.

ΧΟ. τὸν ἄνδρα, τοῦ πέμψαντος οὕνεκ', Οἰδίπου,
εἰπὼν ὁποῖα ξύμφορ', ἔκπεμψαι πάλιν.

ΟΙ. ἀλλ' εἰ μὲν, ἄνδρες, τῆσδ' ὁ δημοῦχος χθονὸς
μὴ 'τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
Θησεὺς, δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους,
οὐδ' ἄν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπῄσθετο·
νῦν δ' ἀξιωθεὶς εἶσι, κἀκούσας γ' ἐμοῦ
τοιαῦθ', ἃ τὸν τοῦδ' οὔ ποτ' εὐφρανεῖ βίον.
ὅς γ', ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων,
ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ' ἀπήλασας,
κἄθηκας ἄπολιν, καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πόνῳ
ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοί.
οὐ κλαυστὰ δ' ἐστὶν, ἀλλ' ἐμοὶ μὲν οἰστέα

Triclinio perperam dedit ξυμπαραστήσεις. Atticam formam, quam ubique reponimus, hic forte in codice suo repererat, pro qua Aldus dedit ξυμπαραστήσῃ. In membr. ξυμπαραστήσεις. Verbum activum est et transitivum συμπαριστάναι, quod exstat apud Pindarum Olymp. vi. 72. Τᾷ μὲν ὁ Χρυσοκόμας πραΰμητίν τ' Ἐλευθὼ συμπαρίστασίν τε Μοίρας. Hic vero neutralis significatio obtinet, quæ soli formæ mediæ inest.

1341. ξὺν ὄγκῳ καὶ χρόνῳ. Sic B. T. et membr. a prima manu, superscripta altera lectione, quam Aldus prætulit, καὶ πόνῳ.

1347. ἔκπεμψαι. In B. superscriptum ἔκπεμψον, nescio utrum pro varia lectione, an pro interpretamento. Sane præstat ἔκπεμψαι, *dimitte a te*. Eadem est vis verbi medii in Eurip. Androm. 826. Τέκνον, κάλυπτε στέρνα, σύνδησαι πέπλοις. Ubi in antiquissimo cod. scriptum σύνδησον, quod non aliter probari possit, quam si legatur σύνδησον πέπλους.

1348. τῆσδ' ὁ δημοῦχος. In omnibus libris, articulo perperam omisso, τῆσδε δημοῦχος.

1351. οὐδ' ἄν ποτ'---id est οὐδέ ποτ' ἄν---Male in libris οὔτ' ἄν, quod qui retinuerunt, accipere saltem debuerunt pro οὔ τοι ἄν.

1360. κλαυστά. Turnebus e Tri-

ὦ τοῦδ' ὅμαιμοι παῖδες, ἀλλ' ὑμεῖς, ἐπεὶ
τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ' ἀρωμένου,
μή τοι με, πρὸς θεῶν, σφῷν ἐάν γ' αἱ τοῦδ' ἀραὶ
πατρὸς τελῶνται, καί τις ὑμῖν ἐς δόμους
νόστος γένηται, μή μ' ἀτιμάσητέ γε,
ἀλλ' ἐν τάφοισι θέσθε κἀν κτερίσμασι.
καὶ σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ' ἀνδρὸς, οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.
ΑΝ. Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τι μοι.
ΠΟ. ὦ φιλτάτη, τὸ ποῖον, Ἀντιγόνη; λέγε.
ΑΝ. στρέψαι στράτευμ' ἐς Ἄργος ὡς τάχιστά γε,
καὶ μὴ σέ τ' αὐτὸν καὶ πόλιν διεργάσῃ.
ΠΟ. ἀλλ' οὐχ οἷόν τε. πῶς γὰρ αὖθις ἂν πάλιν
στράτευμ' ἄγοιμι ταυτὸν, εἰσάπαξ τρέσας;
ΑΝ. τί δ' αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;
ΠΟ. αἰσχρὸν τὸ φεύγειν, καὶ τὸ πρεσβεύοντ' ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.
ΑΝ. ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρεις

1407. Aldus et membr. sic hunc versum exhibent: *Μή τοι με πρὸς θεῶν σφῷιν γ' ἂν αἱ τοῦδ' ἀραὶ*— In B. *σφῶν γ' ἂν αἱ τοῦδ' ἀραί.* Turnebus e Triclinio dedit, *σφῷιν ἂν γ' αἱ τοῦδ' ἀραί.* Quæ lectiones perinde sunt mendosæ: *σφῷιν* dissyllabum Atticis poëtis prorsus inusitatum est. Veram lectionem minima mutatione restituimus, *σφῷν ἐάν γ' αἱ τοῦδ' ἀραὶ*—Pronomen *σφῷν* abundat, ut sæpe *μοι*, *σοι*. *Si vobis patris hujus diræ perficiantur.* Id est, *si quando patris hujus diras eventu comprobatas videritis.*

1417. *σέ τ' αὐτόν.* Perperam in omnibus libris *σέ γ' αὐτόν.* Perpetua est harum particularum confusio. Initio seq. versus Aldus edidit *ἀλλ' οὐχ οἷόν γε* pro *οἷόν τε.* Ferri potuit v. 1310. *αὐτός γ' ἐμαυτοῦ.*

1418. Libri omnes solœce, *πῶς γὰρ αὖθις αὖ πάλιν στράτευμ' ἄγοιμι*---optativus potentialis particulam *ἂν* comitem requirit, et *πῶς* cum optativo sine *ἂν* Græce non adhibetur. Tam putidum solœcismum nimis stolida patientia tulerunt Sophoclis editores. Vide indicem nostrum in Aristophanem voce *ἄν*.

1424. *ἐς ὀρθὸν ἐκφέρεις.* Sic cum Tyrwhitto lego. *ὁρᾷς οὖν ὡς ἐκφέρεις ἐς ὀρθὸν τὰ μαντεύματα τοῦδε, ἐς*—In libris *ἐκφέρει* sensu nullo aut pravo.

καὶ μὴ 'ξατιμάζητον, εἰ τυφλοῦ πατρὸς
τοιώδ' ἔφυτον. αἵδε γὰρ τάδ' οὐκ ἔδρων.
τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος
Δίκη ξύνεδρος Ζηνὸς ἀρχαίοις νόμοις.
σὺ δ' ἔρρ' ἀπόπτυστός τε, κἀπάτωρ ἐμοῦ,
κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀρὰς,
ἅς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίου
δορὶ κρατῆσαι, μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν, κτανεῖν θ' ὑφ' οὗπερ ἐξελήλασαι.
τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ τοῦ Ταρτάρου
στυγνὸν πατρῷον Ἔρεβος, ὥς σ' ἀποικίσῃ·
καλῶ δὲ τάσδε δαίμονας· καλῶ δ' Ἄρη,
τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
καὶ ταῦτ' ἀκούσας στεῖχε, κἀξάγγελλ' ἰὼν
καὶ πᾶσι Καδμείοισι, τοῖς σαυτοῦ θ' ἅμα
πιστοῖσι συμμάχοισιν, οὕνεκ' Οἰδίπους
τοιαῦτ' ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.

ΧΟ. Πολύνεικες, οὔ τε ταῖς παρελθούσαις ὁδοῖς
ξυνήδομαί σοι· νῦν τ' ἴθ' ὡς τάχος πάλιν.

ΠΟ. οἴ μοι κελεύθου, τῆς τ' ἐμῆς δυσπραξίας,
οἴ μοι δ' ἑταίρων· οἷον ἄρ' ὁδοῦ τέλος
Ἄργους ἀφωρμήθημεν, ὢ τάλας ἐγώ;
τοιοῦτον, οἷον οὐδὲ φωνῆσαί τινι
ἔξεσθ' ἑταίρων, οὐδ' ἀποστρέψαι πάλιν,
ἀλλ' ὄντ' ἄναυδον τῇδε συγκύρσαι τύχῃ.

1379. τοιώδ' ἔφυτον. Mendose in Aldina τοιάδ'—

1382. Δίκη ξύνεδρος Ζηνός. Pindarus Olymp. viii. 28. σώτειρα, Διὸς Ξενίου πάρεδρος Θέμις. Ad quem locum vide Schmidii notam. Supra, 1267. Αἰδὼς dicitur Jovis assidere solio.

1402. οὐδὲ φωνῆσαί τινι. Sic optime Tyrwhittus, eodem sensu quo Polynices ipse infra, 1429. οὐδ' ἀγγελοῦμεν φλαῦρα. Mendose vulgo φωνῆσαί τινα.

ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν.
ΧΟ. νέα τάδε νεόθεν ἦλθ' ἐμοὶ — στροφὴ α'.
βαρύποτμα κακὰ
παρ' ἀλαοῦ ξένου,
εἴ τι μοῖρα μὴ κιχάνει.
μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων
ἔχω φράσαι.
ὁρᾷ, ὁρᾷ ταῦτ' ἀεὶ
χρόνος, ἐπεὶ μὲν ἕτερα
τάδε παρ' ἦμαρ αὖθις αὔξων ἄνω---
ἔκτυπεν αἰθήρ, ὦ Ζεῦ.
ΟΙ. ὦ τέκνα, τέκνα, πῶς ἄν, εἴ τις ἔντοπος,
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;
ΑΝ. πάτερ, τί δ' ἐστὶ τἀξίωμ', ἐφ' ᾧ καλεῖς;
ΟΙ. Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται
βροντὴ πρὸς Ἅδην. ἀλλὰ πέμψαθ' ὡς τάχος.
ΧΟ. ἴδε μάλα μέγας ἐρείπεται — ἀντιστρ. α'.
κτύπος ὅδ' ἄφατος
Διόβολος· ἐς ἄκραν

Sic bene in T. In aliis κακῶν. Deterius in B. μήποτ' ἀνυστῆναι κακῶν, et ex emendatione, μή ποτ' ἂν στῆναι.

1455. Aldus et membr. ἐπεὶ μὲν ἕτερα τάδε πήματ' αὖθις αὔξων ἄνω. At in B. τάδ' ἐπ' ἤματ' αὖθις, quod depravatum videri possit e lectione quam e Scholiasta eruit Canterus Nov. Lect. vii. 11. τάδε παρ' ἦμαρ αὖθις. Forte verius esset ταῦτ' ἐπ' ἤματ' αὖθις.

1458. δεῦρο Θησέα πόροι. Sic codd. omnes et ipse Triclinius. Imperite Turnebus versus sustendandi gratia ἂν inseruit, Θησέ' ἂν πόροι. Scilicet ignorabat α finale accusativi nominum in εὺς apud Atticos semper produci. Vide Etymol. M. in Βασιλεύς. Suidam in Ἀτρέα. Clarkium ad Il. α'. 265.

1463. Male Aldus contra metri rationem κτύπος ἄφατος ὅδε. Male etiam seq. v. ἐς δ' ἄκραν. Languidam sermonem reddit istud δὲ, qui per asyndeta longe melius procedit. Versus est dimeter pæonicus brachycatal. Strophicum interpolavit Triclinius: παρά γ' ἀλαοῦ ξένου. Quæ facillima erat æquandorum metrorum ratio, eam non vidit hominis stupor.

1464. κτύπος Διόβολος. Eustathius ad Il. η'. 479. Ἐκ τοῦ Ζεὺς σμερδαλέα κτυπέων, λαβὼν ὁ Σοφοκλῆς ἔφη τὸ, Μέγας κτύπος, ἄφατος, Διόβολος. ἐν οἷς δηλοῖ ἐκεῖνος, καὶ ὅτι βέλη Διὸς, οὐ μόνον κεραυνοὶ, καὶ τὰ τοιαῦτα, ἀλλὰ καὶ βρονταί. ὁμοίως καὶ τοὺς ῥαγδαίους ὑετοὺς, καὶ μάλιστα τοὺς χειμερίους, τοιούτῳ λόγῳ δύσομβρα βέλη λέγει. (Antig. 358.)

δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.
ἔπτηξα θυμόν. οὐρανία γὰρ ἀστραπὴ
φλέγει πάλιν.
τί μὰν ἀφήσει τέλος;
δέδια δ'. οὐ γὰρ ἅλιον
ἀφορμᾷ ποτ', οὐδ' ἄνευ ξυμφορᾶς.
ὦ μέγας αἰθὴρ, ὦ Ζεῦ.

ΟΙ. ὦ παῖδες, ἥκει τῷδ' ἐπ' ἀνδρὶ θέσφατος
βίου τελευτὴ, κοὐκ ἔτ' ἔστ' ἀποστροφή.

ΑΝ. πῶς οἶσθα; τῷ δὲ τοῦτο συμβαλὼν ἔχεις;

ΟΙ. καλῶς κάτοιδ'· ἀλλ' ὡς τάχιστά μοι μολὼν
ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.

ΧΟ. ἔα, ἔα. στροφὴ β'.
ἰδοὺ μάλ' αὖθις ἀμφίσταται
διαπρύσιος ὄτοβος.
ἵλαος, ὦ δαῖμον, ἵλαος, εἴ τι γᾷ
ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
ἐναισίου δὲ συντύχοιμι,
μηδ' ἄλαστον ἄνδρ' ἰδὼν,
ἀκερδῆ χάριν μετάσχοιμί πως.
Ζεῦ ἄνα, σοὶ φωνῶ.

ΟΙ. ἆρ' ἐγγὺς ὡὐνήρ; ἆρ' ἔτ' ἐμψύχου, τέκνα,

1469. δέδια δ'. Sic recte T. et Turnebus ad metri rationem. Aldus perperam δέδια τόδ'—

1470. οὐδ' ἄνευ. Sic bene Heathius. Male in libris οὐκ ἄνευ.

1474. Et hunc versum pessime interpolavit Triclinius: Πῶς οἶσθα τοῦτο; τῷ δὲ συμβαλὼν ἔχεις;

1481. ἀφεγγές. Perperam in scholiis legitur ἀφθεγγὲς, sicuti scriptum est in B. T. prava lectio ex interpretatione ἄῤῥητον orta.

1482. ἐναισίου δὲ συντύχοιμι. Sic Aldus et veteres codd. In T. ἐναισίῳ. Apud Suidam ἐναισίμῳ, in Kusteri editione: Mediolanensis habet ἐναισίῳ. Illud tuetur Toupius i. 133. sed ei nequaquam ausculto. Verbum compositum sæpissime casum adsciscit, quicum simplex construi solet. Vide quæ notavimus ad Eurip. Or. 1291. cujus rei aliud illico se offert exemplum: ἀκερδῆ χάριν μετάσχοιμι, pro ἀκερδέος χάριτος. Vel, si mavis, μετάσχοιμι positum est pro σχοίην, et συντύχοιμι pro τύχοιμι.

1486. ἆρ' ἐγγὺς ὡὐνήρ; Perperam libri omnes contra metri et sermonis legem, ἀνήρ. Dixi supra vocem ἀνὴρ non aliter a Sophocle adhibitam fuis-

κιχήσεταί μου καὶ κατορθοῦντος φρένα;
ΑΝ. τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦναι φρενί;
ΟΙ. ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
δοῦναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.
ΧΟ. ἰοὺ, ἰού. ἀντιστρ. β'.
ἰὼ παῖ, βᾶθι, βᾶθ', εἴτ' ἄκραν
ἐπ' αἰγιαλὸν ἐναλίῳ
Ποσειδαωνίῳ θεῷ τυγχάνεις
βούθυτον ἑστίαν ἁγίζων, ἴκου.
ὁ γὰρ ξένος σε καὶ πόλισμα

quam priore correpta. Præterea ἀνὴρ sine articulo hominem quemcunque significat, ut si Gallice diceres *y a-t-il un homme près d'ici?* sed quando de viro definito sermo est, linguæ indoles articulum abesse non patitur. Olim voces plene, absque unius literæ elisione pingebantur. Ubicunque ad pronuntiandi rationem scribimus ὡ᾽νὴρ, ὡὑτὸς, in antiquissimis Sophoclis exemplaribus exaratum fuerat Ο ΑΝΗΡ, Ο ΑΥΤΟΣ, pro quibus serioris ævi minus docti librarii, ista per crasin legenda esse ignorantes, exararunt ἀνὴρ, αὐτὸς, omisso articulo, qui tamen in codd. nostris sæpissime glossæ loco adscriptus conspicitur. Quod autem dixi, certam et definitam personam non aliter nomine ἀνὴρ indigetari, quam si ei adjungatur articulus, id verum esse nulla non ostendit pagina, ubi casus obliquos articulus semper comitatur, τὸν ἄνδρα, τἀνδρὸς, τἀνδρί. Sic passim τὸν αὐτὸν, τοῖς αὐτοῖς, τοὺς αὐτοὺς reperias pro *eundem, iisdem, eosdem;* nunquam vero pronomen hoc sensu sine articulo. Quod in obliquis non admittitur, id in recto locum habere posse nemo sibi persuadebit. Optime in Eurip. Medea, 769. Aldus ediderat οὗτος γὰρ ὡ᾽νὴρ, quod retinere debebam, ut et ejusdem dramatis v. 687. edere, Σοφὸς γὰρ ὡ᾽νὴρ, καὶ τρίβων τὰ τοιάδε. In Rheso, 122. sinceram scripturam exhibet codd. Florentinus teste Valckenario ad Phœn. p. 274. Αἴθων γὰρ ὡ᾽νὴρ, καὶ πεπύργωται θράσει. Frequens est in Sophoclis exemplaribus hæc menda, qua ne fœdaretur hæc editio, sedulo cavi.

1488. Hunc versum Aldus perperam Choro tribuit.

1490. ἥνπερ τυγχάνων ὑπεσχόμην. Notanda hypallage, pro ἥνπερ ἔτυχον ὑποσχόμενος. Vide Eustathium ad Il. γ'. p. 505. et Kœnium ad libellum de Dialectis, p. 35.

1491. ἰοὺ, ἰού. Has voces Triclinius addidit, ut antistrophe numero versuum par esset strophæ.

1493. ἐπ' αἰγιαλόν. Sic bene Heathius. Libri omnes ἐπὶ γύαλον. Nec idcirco, ut nupero editori Parisino videtur, scribi debuit ἄκρον, quia αἰγιαλὸν generis est masculini. Nam ἄκραν non magis ad αἰγιαλὸν refertur, quam ad γύαλον, quod et ipsum generis est neutrius: sed ordo est, εἴτε ἄκραν βούθυτον ἑστίαν ἐπ' αἰγιαλὸν ἁγίζεις.

1496. Solœca videtur oratio, ὁ ξένος ἐπαξιοῖ σε παρασχεῖν χάριν. Ex communi loquendi more dicere videtur debuisse, παρασχεῖν σοι καὶ πολίσματι καὶ φίλοις χάριν. Post ἐπαξιοῖ distinguendum est commate: ἐπαξιοῖ σε καὶ

καὶ φίλους ἐπαξιοῖ
δικαίαν χάριν παρασχεῖν, παθών.
σπεῦσον, ἄϊσσ', ὦ 'ναξ.
ΘΗ. τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου;
μή τις Διὸς κεραυνὸς, ἤ τις ὀμβρία
χάλαζ' ἐπιῤῥάξασα; πάντα γὰρ θεοῦ
τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.
ΟΙ. ἄναξ, ποθοῦντι προὐφάνης, καί σοι θεῶν
τύχην τις ἐσθλὴν τῆσδ' ἔθηκε τῆς ὁδοῦ.
ΘΗ. τί δ' ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ;
ΟΙ. ῥοπὴ βίου μοι. καί σ', ἅπερ ξυνῄνεσα,
θέλω, πόλιν τε τήνδε, μὴ ψεύσας θανεῖν.
ΘΗ. ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
ΟΙ. αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι,
ψεύδοντες οὐδὲν σημάτων προκειμένων.
ΘΗ. πῶς εἶπας, ὦ γεραιὲ, δηλοῦσθαι τάδε;
ΟΙ. αἱ πολλὰ βρονταὶ διατελεῖς, τὰ πολλά τε
στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη.
ΘΗ. πείθεις με. πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ,
κοὐ ψευδόφημα. χὤ τι χρὴ ποιεῖν λέγε.
ΟΙ. ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοι

πόλισμα καὶ φίλους, ὥστε παθὼν παρασχεῖν δικαίαν χάριν. Perperam scripti et impressi libri παθῶν.

1498. σπεῦσον. Hanc vocem non agnoscunt veteres codd. in quibus hic versus mancus cum strophico non congruit. Defectum supplevit Triclinius.

1506. τῆσδ' ἔθηκε τῆς ὁδοῦ. Sic voces ordinandas esse nemo non videre poterat. Inconcinne vulgo θῆκε τῆσδε τῆς ὁδοῦ. Attici rarissime augmentum omittunt, quo nulla hic poëtam adigebat necessitas.

1514. αἱ πολλὰ βρονταὶ διατελεῖς. Sic tres codd. Male Aldus αἱ πολλαί. Nec melius Turnebus τὰ πολλά. Neutrum plurale πολλὰ, ut sæpissime, adverbii vicem sustinet. Glossa recte καταπολύ. Seq. v. στράψαντα dedi ex emendatione Jo. Piersoni Verisimil. p. 139. Male vulgo στρέψαντα.

1517. κοὐ ψευδόφημα. Perperam in B. T. ψευδόθυμα, quod mendose scriptum pro ψευδόμυθα; estque hoc glossema genuinæ vocis.

γήρως ἄλυπα τῇδε κείσεται πόλει.
χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον δὲ φράζε μή ποτ' ἀνθρώπων τινὶ,
μήθ' οὗ κέκευθε, μήτ' ἐν οἷς κεῖται τόποις·
ὥς σοι πρὸ πολλῶν ἀσπίδων, ἀλκὴν ὅδε,
δορός τ' ἐπακτοῦ, γειτόνων ἀεὶ τιθῇ.
ἃ δ' ἐξάγιστα, μηδὲ κινεῖται λόγῳ,
αὐτὸς μαθήσει, κεῖσ' ὅταν μόλῃς μόνος·
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ,
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως.
ἀλλ' αὐτὸς αἰεὶ σῶζε, χὤταν εἰς τέλος
τοῦ ζῆν ἀφικνῇ, τῷ προφερτάτῳ μόνῳ
σήμαιν'· ὁ δ' αἰεὶ τῷ 'πιόντι δεικνύτω.
χ' οὕτως ἀδῆον τήνδ' ἐνοικήσεις πόλιν
Σπαρτῶν ἀπ' ἀνδρῶν. αἱ δὲ μυρίαι πόλεις,

1519. *γήρως ἄλυπα*, non significat *ἄλυπα ἕως γήρως*, ut perperam Scholiastes interpretatur, sed *ὑπὸ γήρως μὴ λυπηθησόμενα*: *quæ senium nunquam sentient, quæ nullo consenescent ævo.* Sic bene accipit Heathius, et miror a quoquam aliter accipi potuisse.

1526. *ἃ δ' ἐξάγιστα.* Huc pertinet Hesychii glossa: Ἐξάγιστα. *πάντα τὰ ἱερὰ καὶ ἀφωσιωμένα, ἃ οὐχ οἷόν τε ἐκκομίζεσθαι τῶν ἱερῶν. ἔνιοι δὲ ἁγνὰ ἀπέδοσαν.* Erudita sunt, nec tamen usquequaque vera, quæ de hac voce disputat Abreschius ad Æschylum, p. 327. Animadvertere poterat ei Sophoclem significationem diversam tribuisse ab ea, qua Æschylus verbum *ἐξαγίζειν* adhibuit, quaque ipsum verbale ab aliis adhibetur, *ἐξάγιστα* hic valet *valde sancta*, præpositione significationem intendente, ut recte Meibomio observatum. Nemo sibi facile persuadebit in hoc versu, *ἃ δ' ἐξάγιστα, μηδὲ κινεῖται λόγῳ*, negationem ad verbum *κινεῖται* pertinentem, repetendam esse cum *ἐξάγιστα*. Prolata exempla nihil probant, quum in eorum nullo sit particula *μηδὲ*, quæ non negativa solum, sed etiam adversativa est, proinde non eo quo vult ille modo in prius membrum retrahi potest.

1531. *ἀφικνῇ.* Sic membr. et Aldus. In aliis *ἀφίκῃ*.

1532. *ὁ δ' αἰεὶ τῷ 'πιόντι δεικνύτω.* De potestate adverbii *αἰεὶ* in hujusmodi formulis vide Valckenarium ad Herodotum, p. 353. et inde corrige errorem Mosis *Du Soul* hanc vocem ut otiosam Plutarcho eximenti, interpretesque laudanti, quod eam omiserint. Militum, qui e Cannensi pugna fuga evaserant, senatus jussu in Siciliam deportatorum, Marcellus opera uti volens a senatu veniam petiit ex iis continue exercitum sup-

κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν.
θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφεὶς τις εἰς τὸ μαίνεσθαι τραπῇ·
ὃ μὴ σὺ, τέκνον Αἰγέως, βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.
χῶρον δ', ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν,
στείχωμεν ἤδη, μηδέ γ' ἐντρεπώμεθα.
ὦ παῖδες, ὧδ' ἕπεσθ'. ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινὸς, ὥσπερ σφὼ πατρί.
χωρεῖτε, καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτ' ἐμὲ
αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί.
τῇδ', ὧδε τῇδε βᾶτε. τῇδε γάρ μ' ἄγει
Ἑρμῆς ὁ πομπὸς, ἥ τε νερτέρα θεός.
ὦ φῶς ἀφεγγὲς, πρόσθε πού ποτ' ἦσθ' ἐμόν·
νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας.
ἤδη γὰρ ἕρπω, τὸν τελευταῖον βίον
κρύψων παρ' Ἅδην. ἀλλὰ, φίλτατε ξένων,
αὐτός τε, χώρα θ' ἥδε, πρόσπολοί τε σοὶ,
εὐδαίμονες γένοισθε· κἀπ' εὐπραξίᾳ
μέμνησθ' ἐμοῦ θανόντος εὐτυχεῖς ἀεί.

ΧΟ. Εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν — στροφή.
καὶ σὲ λιταῖς σεβίζειν,
ἐννυχίων ἄναξ,
Ἀϊδωνεῦ, Ἀϊδωνεῦ . . . . .
λίσσομαι μήτ' ἐπίπονα,
μήτ' ἐπὶ βαρυαχεῖ

plendi, donec omnes in legionem transcripti fuissent; αἰτούμενος ἐκ τούτων ἀεὶ τῆς στρατιᾶς τὸ ὑπολεῖπον ἀποπληροῦν.

1535. οἰκῇ, pro διοικῇ.

1560. λίσσομαι μήτ' ἐπίπονα. Sic recte codd. veteres et Aldus. ἐπίπονα neutrum plurale pro ἐπιπόνως. Versus dimeter est trochaicus catal. ad quam metri formam antistrophicus revocandus est. In T. scriptum ἐπὶ πόνῳ; ut in scholiis legitur.

ξένον ἐξανύσαι
μόρῳ τὰν παγκευθῆ κάτω
νεκρῶν πλάκα, καὶ Στύγιον
δόμον. πολλῶν γὰρ ἂν καὶ μάταν
πημάτων ἱκνουμένων,
πάλιν σε δαίμων δίκαιος αὔξοι.
ὦ χθόνιαι θεαὶ, σῶμά τ' ἀνικάτου ἀντιστρ.
θηρὸς, ὃν ἐν πύλαισι
φασὶ πολυξέστοις
εὐνᾶσθαι, κνυζᾶσθαί τ' ἐξ ἄντρων,
ἀδάματον φύλακ' Ἀΐδα,
λόγος αἰὲν ἀνέχει
. . . . . . . .
ὅν, ὦ Γᾶς παῖ καὶ Ταρτάρου,
κατεύχομαι ἐν καθαρῷ
βῆναι ὁρμωμένῳ νερτέρας
τῷ ξένῳ νεκρῶν πλάκας.
σέ τοι κικλήσκω τὸν αἰὲν ἄϋπνον.

1562. ἐξανύσαι. Vulgo ineptissime ἐκτανύσαι. Scholiastam ἐξανύσαι legisse, ex ejus explicatione perspicuum est: nec aliter scribere potuit Tragicus, qui ἀνύειν et composita eodem, quo hîc modo, sæpius usurpat. Antig. 805. τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον τήνδ' Ἀντιγόνην ἀνύτουσαν. Aj. 606. κακὰν ἐλπίδ' ἔχων ἔτι μέ ποτ' ἀνύσειν τὸν ἀπότροπον ἀΐδηλον Ἅιδαν. Loquendi forma elliptica est: plene ἐξανύσαι ὁδὸν εἰς τὰν νεκρῶν πλάκα. Vide Marklandum ad Eurip. Supplices, ubi similis est locutio v. 1142. ποταμοὶ δ' ἤνυσαν τὸν Ἀΐδαν.

1571. κνυζᾶσθαι. Sic B. T. In aliis κνυζεῖσθαι.

1572. Aldus edidit ἀδάματον φύλακα παρ' Ἀΐδα. In B. ἀδάμαντος φύλακα παρ' Ἀΐδα. Prope verum accedit Triclinii lectio, quam sprevit Turnebus, licet Aldina meliorem, ἀδάματον φύλακ' Ἀΐδα. Legendum ad metri rationem ἀδάματον φύλακ' Ἀΐδα. Sicque versus hic, ut strophicus, dimeter est trochaicus catalect.

1574. ὦ Γᾶς παῖ καὶ Ταρτάρου. Juxta Hesiodum Theogon. 306. natus erat Cerberus ex Echidna et Typhone. Initio versus ὅν referendum videtur ad personam quæ in versu qui ante hunc excidit, invocabatur: tametsi ad ipsum etiam Cerberum referri potest.

1578. τὸν αἰὲν ἄϋπνον. Sic codd. veteres et Aldus, quod et postulat tam metri quam sententiæ ratio. Cerberus enim invocatur, qui semper insomnis fuisse fingitur. Triclinius a

## ΑΓΓΕΛΟΣ.

Ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα·
ἃ δ' ἦν τὰ πραχθέντ', οὔθ' ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν, οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ.
ΧΟ. ὄλωλε γὰρ δύστηνος;
ΑΓ. ὡς λελοιπότα
κεῖνον τὸν αἰεὶ βίοτον ἐξεπίστασο.
ΧΟ. πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
ΑΓ. τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
ὡς μὲν γὰρ ἐνθένδ' εἷρπε, καὶ σύ που παρὼν
ἔξοισθ', ὑφηγητῆρος οὐδενὸς φίλων,
ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος.
ἐπεὶ δ' ἀφῖκτο τὸν καταῤῥάκτην ὀδὸν
χαλκοῖς βάθροισι γῆθεν ἐῤῥιζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστων μιᾷ,
κοίλου πέλας κρατῆρος, οὗ τὰ Θησέως
Περίθου τε κεῖται πίστ' ἀεὶ ξυνθήματα·
ἀφ' οὗ μέσος στὰς, τοῦ τε Θορικίου πέτρου,

sententia aberravit, sed metri rationem habuit legendo τὸν αἰὲν ἄυπνον, quod ex mente Scholiastæ interpretatur τὸν ἀεὶ κοιμώμενον θάνατον. Scholiastæ lectionem αἰένυπνον agnoscit Eustathius, p. 1201. quæ metro plane repugnat.

1581. οὔθ' ὁ μῦθος. Sic B. T. et membr. etiam a secunda manu. Primo scriptum fuit οὔ τῳ, ut Aldus edidit.

1588. ὑφηγητῆρος. Sic una voce in veteribus codd. scriptum. In T. ut in Aldina divisim ὑφ' ἡγητῆρος. Vide ad priorem Œdipum 1260.

1590. ὀδόν. Asperatur hæc vox in veteribus codd. ut et apud Eustathium, qui hujus loci meminit p. 156. Ὅτι δὲ οὐδὸς παρὰ τὸ ὁδεύεσθαι, ὡς εἴρηται, γίνεται, δηλοῦσι καὶ παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ πολλὰ τῶν ἀντιγράφων, ὀδὸν δίχα τοῦ ο γράφοντα τὸν οὐδὸν ἐν τῷ, Καταῤῥάκτην ὀδὸν χαλκοῖσι βάθροισι γῆθεν ἐῤῥιζωμένον. Sed certum est eam tenuari debere. Vide Lexicon in Ὁδος.

1592. κελεύθων ἐν πολυσχίστων μιᾷ. Perperam libri omnes πολυσχίστῳ.

1595. Corrupta est hujus loci in libris omnibus scriptura. Sic eum exhibuit Aldus: Ἐφ' οὗ μέσου στὰς, τοῦ τε Θορικίου πέτρου, Κοίλης τ' Ἀχέρδου, κἀπὸ λαΐνου τάφου Καθέζετ'· εἶτ' ἔδυσε δυσπινεῖς στολάς. Quatuor hic indicantur puncta, quorum in medio substitit Œdipus, et desedit; κοῖλος κρατὴρ,

κοίλης τ' ἀχέρδου, κἀπὸ λαΐνου τάφου,
'καθέζετ'· εἶτ' ἔλυσε δυσπινεῖς στολάς.
κἄπειτ' ἀΰσας παῖδας, ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν·
τὼ δ' εὐχλόου Δήμητρος εἰς ἐπόψιον
πάγον μολοῦσα, τάσδ' ἐπιστολὰς πατρὶ
ταχεῖ 'πόρευσαν ξὺν χρόνῳ, λουτροῖς τέ νιν
ἐσθῆτί τ' ἐξήσκησαν, ᾗ νομίζεται.
ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν,
κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,
'κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
'ρίγησαν, ὡς ἤκουσαν· ἐς δὲ γούνατα
πατρὸς πεσοῦσαι 'κλαιον, οὐδ' ἀνίεσαν
στέρνων ἀραγμοὺς, οὐδὲ παμμήκεις γόους.
ὁ δ', ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν,
πτύξας ἐπ' αὐταῖς χεῖρας, εἶπεν· Ὦ τέκνα,
οὐκ ἔστ' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατήρ.
ὄλωλε γὰρ δὴ πάντα τἀμὰ, κοὐκ ἔτι

πέτρα Θορικίη, κοίλη ἄχερδος, λάϊνος τάφος. Juxta vulgatam lectionem stetit Œdipus simul super quatuor his locis, quod absurdum est. Proinde nihil juvat Canteri emendatio legentis κἀπὶ λαΐνου τάφου. Quin legendum omnino: 'Αφ' οὗ μέσος στὰς, τοῦ τε Θορικίου πέτρου, Κοίλης τ' ἀχέρδου, κἀπὸ λαΐνου τάφου, 'καθίζετ'· εἶτ' ἔλυσε δυσπινεῖς στολάς. Ceteras Aldinæ lectionis mendas jam sustulerant alii editores. καθίζετ' Turnebus dedit: ἔλυσε Stephano debetur. Utrumque repræsentant codd. nostri B. T. ΑΧΕΡΔΟΣ utrum nomen sit appellativum, an loci cujusdam proprium, sunt qui dubitent. *Pirum silvestrem* significat, et κοίλη ἄχερδος *sepem*, αἱμασιὰν notare possit, qua locus ubi substitit Œdipus una ex parte claudebatur. Vide Eustathium, p. 1748. l. 47. Locus inter Atticæ pagos recensetur 'Αχερδοῦς, cujus gentile 'Αχερδούσιος. Sed illius patrius casus esset 'Αχερδοῦντος, non 'Αχερδοῦ. Suidas in 'Αχερδος legit κἀπὸ λαΐνου τάφρου.

1600. τὼ δ'. Sic bene T. et Scholiastes; quod etiam in B. superscriptum vulgato τὰ—Perperam in impressis τάδ'.—Cererem, quam hic epitheto εὔχλοον distinguit, Athenienses colebant Χλόης appellatione, cujus mentio apud Comicum in Lysistr. 835.

1606. ἐκτύπησε Ζεὺς χθόνιος, Eurip. Hippol. 1212. Ἔνθεν τις ἠχὼ, χθόνιος ὡς βροντὴ Διὸς, Βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν.

τὴν δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν·
σκληρὰν μὲν, οἶδα, παῖδες. ἀλλ' ἓν γὰρ μόνον
τὰ πάντα λύει ταῦτ' ἔπος μοχθήματα.
τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον
ἢ τοῦδε τἀνδρὸς ἔσχεθ', οὗ τητώμεναι
τὸν λοιπὸν ἤδη βίοτον εὖ διάξετον.---
τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι
λύγδην ἔκλαιον πάντες. ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ', οὐδέ τ' ὀρώρει βοὴ,
ἦν μὲν σιωπή· φθέγμα δ' ἐξαίφνης τινὸς
θώϋξεν αὐτὸν, ὥστε πάντας ὀρθίας
στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός·
  Ὦ οὗτος, οὗτος, Οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.---
ὁ δ', ὡς ἐπήσθετ' ἐκ θεοῦ καλούμενος,
αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα.
κἀπεὶ προσῆλθεν, εἶπεν· Ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις,
ὑμεῖς τε, παῖδες, τῷδε· καὶ καταίνεσον
μή ποτε προδώσειν τάσδ' ἑκὼν, τελεῖν δ' ὅσ' ἂν
μέλλῃς φρονῶν εὖ ξυμφέροντ' αὐταῖς ἀεί.---

1619. Aldus edidit τὸν λοιπὸν ἤδη βίοτον διάξετον, metro ruente ob syllabæ defectum: nec aliter scriptus est hic versus in tribus codd. Turnebus e conjectura, ut videtur, αὖ inseruit, quod nihili est. Recte Wesselingius Observat. p. 97. reponit εὖ. *Vult enim pater, filias, se misero liberatas, tandem felicius ævum acturas.* Verba sunt ipsius viri doctissimi. Sic autem ista cum præcedentibus cohærent: κοὐκ ἔτι τὴν δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν. Wesselingio obloquitur nuperus Parisinus editor, qui quum αὖ tuetur nulla auctoritate invectum, non animadvertit se nebulam pro Junone amplecti.

1622. οὐδέ τ' ὀρώρει βοή. Sic emendate scriptum in tribus codd. ut Aldus, Turnebus, et Stephanus ediderunt. Prava lectio et prava distinctio recentiores editiones invasit, οὐδ' ἔτ' ὀρώρει βοή.

1624. θώϋξεν αὐτόν. Exemplum hic habemus omissi augmenti in aoristo, quod rarissimum est apud poëtas Atticos, nec tamen mendosum. Sic in Trach. 769. Ἱδρὼς ἀνῄει χρωτὶ, καὶ προσπτύσσετο. Vide quæ notavimus ad Euripidis Androm. 955.

ὁ δ', ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
κατήνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ.
ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς Οἰδίπους
ψαύσας ἀφαυραῖς χερσὶν ὧν παίδων, λέγει·
Ὦ παῖδε, τλάσας χρὴ τὸ γενναῖον φρενὶ
χωρεῖν τόπων ἐκ τῶνδε, μηδ', ἃ μὴ θέμις,
λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν.
ἀλλ' ἕρπεθ' ὡς τάχιστα· πλὴν ὁ κύριος
Θησεὺς παρέστω μανθάνων τὰ δρώμενα.---
τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις
στένοντες ὡμαρτοῦμεν. ὡς δ' ἀπήλθομεν,
χρόνῳ βραχεῖ στραφέντες, ἐξαπείδομεν,
τὸν ἄνδρα; τὸν μὲν οὐδαμοῦ παρόντ' ἔτι,
ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ' ἀντέχοντα κρατὸς, ὡς δεινοῦ τινὸς
φόβου φανέντος, οὐδ' ἀνασχετοῦ βλέπειν.
ἔπειτα μέν τοι βαιὸν, οὐδὲ σὺν χρόνῳ,
ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα,
καὶ τὸν θεῶν Ὄλυμπον ἐν ταυτῷ λόγῳ.
μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετ', οὐδ' ἂν εἷς
θνητῶν φράσειε, πλὴν τὸ Θησέως κάρα.
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν, οὔτε ποντία
θύελλα κινηθεῖσα τῷ τότ' ἐν χρόνῳ·
ἀλλ' ἤ τις ἐκ θεῶν πομπὸς, ἢ τὸ νερτέρων

Bacchas 1123. et ad Æschyli Persas 414. Ridicule Heathius legendum pronuntiat ἰθώϋξεν.

1639. ἀφαυραῖς χερσίν. Male vulgo ἀμαυραῖς. Has voces jam supra commutatas vidimus v. 1018.

1640. τὸ γενναῖον. Subauditur κατά. Perperam in B. T. pro φρενὶ scriptum φέρειν.

1641. μηδ' ἃ μὴ θέμις. Sic legendum esse jam viderat Henr. Stephanus, qui ita scriptum esse in quibusdam codd. observavit. Id e nostris solus habet B. a secunda manu.

1651. χεῖρ' ἀντέχοντα κρατός. Male in B. T. ἔχοντα χεῖρα κρατός.

εὔνουν διαστὰν γῆς ἀλάμπετον βάθρον.
ὡ'νὴρ γὰρ οὐ στενακτὸς, οὐδὲ σὺν νόσοις
ἀλγεινὸς ἐξεπέμπετ', ἀλλ', εἴ τις βροτῶν,
θαυμαστός. εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
ΧΟ. ποῦ δ' αἵ τε παῖδες, χ' οἱ προπέμψαντες φίλων;
ΑΓ. αἵδ' οὐχ ἑκάς. γόων γὰρ οὐκ ἀσήμονες
φθόγγοι σφε σημαίνουσι δεῦρ' ὁρμωμένας.
ΑΝ. αἶ, αἶ. φεῦ, 'στιν, ἔστι νῷν δὴ στροφὴ α'.
οὐ τὸ μὲν, ἄλλο δὲ μὴ, πατρὸς ἔμφυτον
ἄλαστον αἷμα δυσμόροιν στενάζειν,
ᾧ τινι τὸν πολὺν
ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
ἐν πυμάτῳ δ' ἀλόγιστα παροίσομεν
ἰδόντε καὶ παθοῦσαι.
ΧΟ. τί δ' ἔστιν;
ΑΝ. οὐκ ἔστιν μὲν εἰκάσαι, φίλοι.
ΧΟ. βέβηκεν;
ΑΝ. ὡς μάλιστ' ἂν * εἰς πόθον λάβοις.
τί γάρ; ὅτῳ μήτ' Ἄρης, μήτε

* ἐν πόθῳ cdd. 1. 2.

1662. γῆς ἀλάμπετον βάθρον. Codd. et impressi ἀλύπητον. Alteram lectionem Scholiastæ memoratam prætuli, cujus significatio huic loco aptior est. Nec quî regulis analogiæ repugnare vox ἀλάμπετος Piersono Verisimil. p. 165. videri potuerit, satis intelligo. Sane a verbo λάμπω derivatur ἀλαμπὴς, quod exstat Trachin. 691. unde ἀλάμπετος. Postremum hoc legitur in veteri epigrammate in Heraclitum apud Diogenem Laertium, et in Analectis nostris, tom. iii. p. 259. Μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλεο βίβλον Τοῦ 'Φεσίου· μάλα τοι δύσβατος ἀτραπιτός. Ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης Εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου. Piersoni conjecturæ futiles sunt, nec referri dignæ.

1663. ὡ'νήρ. Perperam in libris ἀνήρ.

1674. εἴχομεν. Male contra metri anapæstici legem Aldus et codd. veteres ἔχομεν.

1676. ἰδόντε καὶ παθοῦσαι. Sic in B. T. In ceteris παθούσα, minus eleganter. At Sophoclem scripsisse opinor ἰδόντε καὶ παθόντε.

1678. Ista personis aliter dividi possent. In T. ita distributa sunt, ut ea exhibemus. In vett. codd. ut in Aldina versus 1679. et tres sequentes Choro tribuuntur. In membr. ex librarii oscitantia Chori persona linea inferius quam oportuit notata

πόντος ἀντέκυρσεν, ἄσκο-
ποι δὲ πλάκες ἔμαρψαν ἐν ἀφα-
νεῖ τινι μόρῳ φαινόμεναι.
τάλαινα· νῷν δ' ὀλεθρία
νὺξ ἐπ' ὄμμασιν βέβηκε.
πῶς γὰρ ἢ τιν' ἀπίαν γᾶν, ἢ
πόντιον κλύδων' ἀλώμεναι, βίου
δύσοιστον ἕξομεν τροφάν;

ΙΣ. οὐ κάτοιδα. στροφὴ β'.
κατά με φόνιος Ἀΐδας ἕλοι
πατρὶ ξυνθανεῖν γεραιῷ
τάλαιναν· ὡς ἔμοιγ' ὁ μέλ-
λων βίος οὐ βιωτός.

ΧΟ. ὦ διδύμα τέκνων ἀρίστα,
τὸ φέρον ἐκ θεοῦ καλῶς
χρὴ φέρειν, μηδ' ἄγαν φλέγεσθον·
οὔ τοι κατάμεμπτα.

fuit, nempe ante versum 1682. qui versui 1679. subjectus est, quia in illo codice versus in singulis paginis per tres columnas digesti sunt in eadem transversa linea se invicem excipientes. Hanc personarum distinctionem secutus est in versione Vitus Winsemius; nostram Georgius Ratallerus. Erudito Britanno in nova editione Pentalogiæ Jo. Burtoni tertia placet: nempe βέβηκεν absque interrogatione Antigonæ continuari, reliquamque versus partem cum quatuor sequentibus Choro tribui.—εἰς πόθον λάβοις. Vulgo εἰ πόθῳ. Canterus legendum conjecerat ἐν πόθῳ λάβοις. Elegantior est nostra lectio, quam ob oculos probabile est habuisse librarium codicis T. in quo scriptum a prima manu εἰ πόθον. (*h.*)

1683. Versus dimeter est iambicus, ut antistrophicus 1710. Proinde τάλαινα non est in duali.

1688. Hic versus et quatuor sequentes in Aldina et veteribus codd. Antigonæ continuantur.

1693. Recte in Turnebi editione excusam, ὦ διδύμα τέκνων ἀρίστα. Nam hîc duo adjectiva numero duali posita sunt, ut ex antistrophico versu 1720. liquet.

1694. τὸ φέρον. Temere solicitatur hæc lectio ab eruditis viris, quibus legi placet τὸ παρόν. *Quod fors fert*; τὸ φέρον ἐκ θεοῦ. Sic Terentius Phorm. i. 2. 88. Quod fors feret, feremus æquo animo. Palladas in Epigr. Analectorum nostrorum tom. ii. p. 482. Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου. Hîc φέρον accipi debet pro φερόμενον, activum pro passivo, ut in exemplis quæ protulimus ad v. 74.

1695. In hunc et sequentem versum mala manus alienas voces infersit, quas ipsa metri ratio spurias esse ostendit. In Aldina et veteribus codd. legitur: φέρειν χρὴ, μηδ' ἄγαν οὕτω φλέγεσθον. οὔ τοι κατάμεμπτ'

ΑΝ. πόθος καὶ κακῶν ἄρ' ἦν τις. ἀντιστρ. α'.
καὶ γὰρ ὃ μηδαμὰ δὴ φίλον, ἦν φίλον,
ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον.
ὦ πάτερ, ὦ φίλος,
ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος,
οὐδὲ γέρων ἀφίλητος ἐμοί ποτε,
καὶ τᾷδε μὴ κυρήσεις.
ΧΟ. ἔπραξεν οὖν---
ΑΝ. ἔπραξεν οἷον ἤθελε.
ΧΟ. τὸ ποῖον;
ΑΝ. ἇς ἔχρῃζε γᾶς ἐπὶ ξένας
ἔθανε· κοίταν δ' ἔχει νέρθεν
εὐσκίαστον αἰὲν, οὐδὲ
πένθος ἔλιπ' ἄκλαυστον. ἀεὶ
γὰρ ὄμμα σε τόδ', ὦ πάτερ, ἐμὸν
στένει δακρύον· οὐδ' ἔχω
πῶς με χρὴ τὸ σὸν τάλαιναν
ἀφανίσαι τοσόνδ' ἄχος. ἰὼ, μὴ

ἴδηστον. Antistrophici autem versus in iisdem libris sic leguntur: λήγετε τοῦδ' ἄχους. κακῶν γὰρ δυσάλωτος οὐδείς. In his legitima metri forma non aliter concinnari potest, quam si, recisis insititiis, ad hunc modum disponantur: Χρὴ φέρειν, μηδ' ἄγαν φλέγεσθον· Οὔ τοι κατάμεμπτα. Λήγετον τοῦδ' ἄχους, κακῶν γὰρ Οὐδεὶς δυσάλωτος.

1698. καὶ γὰρ ὃ μηδαμὰ δὴ φίλον, ἦν φίλον. Versus est dimeter anapæsticus, ut strophicus 1671. Proinde legi debet, ut eum exhibemus. In veteribus codd. καὶ γὰρ ὃ μηδαμῆ δὴ τὸ φίλον φίλον. In T. scriptum ὃ, et apposita inepta glossa, λείπει διδούς. In Aldina, καὶ γὰρ ὃ μηδαμῆ τὸ φίλον φίλον. Quibus in lectionibus nec metri nec sententiæ habita ratio. De μηδαμὰ ultima brevi vide quæ notavimus ad Æschyli Persas 429.

1703. καὶ τᾷδε μὴ κυρήσεις. Perperam vulgo καὶ τάδε, metro et sententia reclamante: male etiam κυρήσῃς. Recte in T. τᾷδε cum glossa τῇδε: in membr. a prima manu κυρήσεις.

1704. ἔπραξεν οἷον ἤθελε. Sic in Aj. 967.—ὧν γὰρ ἠράσθη τυχεῖν, Ἐκτήσαθ' αὑτῷ, θάνατον, ὅνπερ ἤθελε.

1708. ἄκλαυστον. Sic bene membr. Vulgo ἄκλαυτον.

1710. δακρύον. Triclinius nescio qua socordia dedit δακρύῤῥοον. Intellexit versum esse dimetrum iambicum, sed non meminit observationis quam ipse fecit ad priorem Œdipum 1515.

γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες, ἀλλ'
ἔρημος ἔθανες ὧδ' ἐμοί.
ΙΣ. ὦ τάλαινα, ἀντιστρ. β'.
τίς ἄρα με πότμος αὖθις ὧδ'
ἔρημος, ἄπορος, ἐπιμένει,
σέ τ', ὦ φίλα . . . . .
πατέρος ὧδ' ἐρήμας;
ΧΟ. ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσε
τὸ τέλος, ὦ φίλαι, βίου,
λήγετον τοῦδ' ἄχους, κακῶν γὰρ
οὐδεὶς δυσάλωτος.
ΑΝ. πάλιν, φίλα, συθῶμεν. στροφὴ γ'.
ΙΣ. ὡς τί ῥέξωμεν;
ΑΝ. ἵμερος ἔχει με---
ΙΣ. τίς;
ΑΝ. τὰν χθόνιον ἑστίαν ἰδεῖν---
ΙΣ. τίνος;
ΑΝ. πατρός. τάλαιν' ἐγώ.
ΙΣ. θέμις δὲ πῶς τάδ' ἐστί; μῶν οὐχ ὁρᾷς---
ΑΝ. τί τόδ' ἐπέπληξας;
ΙΣ. καὶ τόδ', ὡς---
ΑΝ. τί τόδε μάλ' αὖθις . . . . .
ΙΣ. . . . . . . . . . . . . . . . .
ἄταφος ἔπιτνε, δίχα τε παντός.

1719. πατέρος. Libri omnes πατρός.

1725. In membr. ὡς τί ῥέξομεν. Quæ scriptura si probetur, hic versiculus cum præcedenti in unum contribuendus, qui senarius erit: sicque duo primi antistrophes in unum coalescent: Φίλαι τρέσητε μηδέν. Ἀλλὰ ποῖ φύγω; ὡς, ut finale significans, sæpe cum futuro indicativi construitur. Vide Eurip. Med. 1316. nostræ editionis. Alcest. 74. ubi juxta veteres libros omnes legendum: Στείχω δ' ἐπ' αὐτὴν, ὡς κατάρξωμαι ξίφει. Androm. 717. Ἔπαιρε σαυτὴν, ὡς ἐγὼ, καίπερ γέρων, Πλεκτὰς ἱμάντων στροφίδας ἐξανύσωμαι. Haud minus bona videtur ceterorum librorum lectio, ὡς τί ῥέξωμεν; sic supra, 398. ὅπως τί δράσῃ.

1727. τὰν χθόνιον. Sic B. T. recte Vulgo τὰν χθονίαν.

1728. τάλαιν' ἐγώ. Perperam in libris ἔγωγε.

ΑΝ. ἄγε με, καὶ τότ' ἐνάριξον.
ΙΣ. αἶ, αἶ, δυστάλαινα. ποῖ δῆτ'
αὖθις ὧδ' ἔρημος, ἄπορος
αἰῶνα τλάμων ἕξω;
ΧΟ. φίλαι, τρέσητε μηδέν. ἀντιστρ. γ'.
ΑΝ. ἀλλὰ ποῖ φύγω;
ΧΟ. καὶ πάρος ἀπεφύγετον
σφῷν τὸ μὴ πιτνεῖν κακῶς.
ΑΝ. φρονῶ---
ΧΟ. τί δῆθ' ὑπερνοεῖς;
ΑΝ. ὅπως μολούμεθ' ἐς δόμους οὐκ ἔχω.
ΧΟ. μηδέ γε μάτευε. μόγος ἔχει---
ΑΝ. καὶ πάρος· ἐπεὶ . . . . .
τοτὲ μὲν πέρα, τοτὲ δ' ὕπερθεν.
ΧΟ. μέγ' ἄρα πέλαγος ἐλάχετόν τι.
ΑΝ. ναὶ, ναί.
ΧΟ. ξύμφημι καὐτός.
ΑΝ. φεῦ, φεῦ· ποῖ μόλωμεν, ὦ Ζεῦ;
ἐλπίδων γὰρ ἐς τίν' ἡμᾶς
δαίμων τανῦν γ' ἐλαύνει;
ΘΗ. παύετε θρήνων, παῖδες. ἐν οἷς γὰρ
χάρις ἡ χθονία ξύν γ' ἀπόκειται,
πενθεῖν οὐ χρή· νέμεσις γάρ.
ΑΝ. ὦ τέκνον Αἰγέως, προσπίτνομέν σοι.

1739. ἀπεφύγετον. Male in libris ἀπεφεύγετον.

1749. ἐλπίδων γὰρ ἐς τίν' ἡμᾶς. Sic legendum esse, tam structuræ quam metri ratio arguit. De se et sorore loquitur Antigone, ποῖ μόλωμεν. Tum, quemadmodum strophicus 1735. versus hic trochaicus dimeter esse debet. Perperam in libris ἐλπίδων γὰρ ἐς τί με.

1751. παύετε θρήνων. Sic in scholiis legitur, ut primus edidit Henr. Stephanus. Codd. παύετε θρῆνον. Hos versus male Choro tribui in libris cum Tyrwhitto et Heathio censeo. Vulgo claudicante versu ξυναπόκειται.

1754. προσπίτνομεν. Male in veteribus codd. ut in Aldina, προσπίπτομεν, solemni librariorum errore in hac forma. πίτνειν prima brevi frequenter adhibent Tragici, ubi metri lex syllabam longam verbi πίπτειν non admittit.

ΘΗ. τίνος, ὦ παῖδες, * χρείαν ἀνύσαι;
ΑΝ. τύμβον θέλομεν
προσιδεῖν αὐταὶ πατρὸς ἡμετέρου.
ΘΗ. ἀλλ' οὐ θεμιτὸν κεῖσ' ἐστὶ μολεῖν.
ΑΝ. πῶς εἶπας, ἄναξ, κοίραν' Ἀθηνῶν;
ΘΗ. ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος,
μήτε πελάζειν ἐς τούσδε τόπους,
μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν
θήκην ἱερὰν, ἣν κεῖνος ἔχει.
καὶ ταῦτά μ' ἔφη πράσσοντα, καλῶς
χώραν ἕξειν αἰὲν ἄλυπον.
ταῦτ' οὖν ἔκλυε δαίμων ἡμῶν,
χὠ πάντ' ἀΐων Διὸς Ὅρκος.
ΑΝ. ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν κείνῳ,
ταῦτ' ἂν ἀπαρκοῖ· Θήβας δ' ἡμᾶς
τὰς Ὠγυγίους πέμψον, ἐάν πως
διακωλύσωμεν ἰόντα φόνον
τοῖσιν ὁμαίμοις.
ΘΗ. δράσω καὶ τάδε, καὶ πάντα γ' ὅσ' ἂν
μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν,
καὶ τῷ κατὰ γῆς, ὃν νέον ἔῤῥει,
πρὸς χάριν. οὐ γάρ δεῖ μ' ἀποκάμνειν.
ΧΟ. ἀλλ' ἀποπαύετε, μήτ' ἐπὶ πλείω
θρῆνον ἐγείρετε.
πάντως γὰρ ἔχει τάδε κῦρος.

* χρείας edd. 1. 2.

1755. τίνος χρείαν. Libri omnes χρείας, contra structuræ legem. τίνος χρείαν ἀνύσαι θέλουσαι; verbum ἀνύσαι cum quarto casu semper construitur. (i)

1758. Aldus et codd. omnes habent ἀλλ' οὐ θεμιτὸν κεῖσε μολεῖν. Turnebus σοι infersit. Melius nos κεῖσ' ἐστὶ μολεῖν.

1773. καὶ πάντα γ' ὅσ' ἄν. Aldus et membr. καὶ πάνθ' ὅσα ἄν. In B. καὶ πάνθ' ὅσ' ἄν.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΑΝΤΙΓΟΝΗ.

ΤΑ ΤΟΥ

# ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΝΤΙΓΟΝΗ.

ΙΣΜΗΝΗ.

ΧΟΡΟΣ.

ΚΡΕΩΝ.

ΦΥΛΑΞ.

ΑΙΜΩΝ.

ΤΕΙΡΕΣΙΑΣ.

ΑΓΓΕΛΟΣ.

ΕΥΡΥΔΙΚΗ.

ΕΞΑΓΓΕΛΟΣ.

# ΥΠΟΘΕΣΙΣ ΑΝΤΙΓΟΝΗΣ.

ΑΠΟΘΑΝΟΝΤΑ Πολυνείκην ἐν τῇ πρὸς τὸν ἀδελφὸν μονομαχίᾳ, Κρέων ἄταφον ἐκβαλὼν, κηρύττει μηδένα αὐτὸν θάπτειν, θάνατον τὴν ζημίαν ἀπειλήσας. τοῦτον Ἀντιγόνη ἡ ἀδελφὴ θάπτειν πειρᾶται. καὶ δὴ λαθοῦσα τοὺς φύλακας, ἐπιβάλλει χῶμα· οἷς ἐπαπειλεῖ θάνατον ὁ Κρέων, εἰ μὴ τὸν τοῦτο δράσαντα ἐξεύροιεν. οὗτοι τὴν κόνιν τὴν ἐπιβεβλημένην καθάραντες, οὐδὲν ἧττον ἐφρούρουν. ἐπελθοῦσα δὲ ἡ Ἀντιγόνη, καὶ γυμνὸν εὑροῦσα τὸν νεκρὸν, ἀνοιμώξασα, ἑαυτὴν εἰσαγγέλλει. ταύτην ὑπὸ τῶν φυλάκων παραδεδομένην Κρέων καταδικάζει, καὶ ζῶσαν εἰς τύμβον καθεῖρξεν. ἐπὶ τούτοις Αἵμων, ὁ Κρέοντος υἱὸς, ὃς ἐμνᾶτο αὐτὴν, ἀγανακτήσας, ἑαυτὸν ἐπισφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίου ταῦτα προθεσπίσαντος· ἐφ' ᾧ λυπηθεῖσα Εὐρυδίκη, ἡ τοῦ Κρέοντος γαμετὴ, ἑαυτὴν κατασφάζει. καὶ τέλος, θρηνεῖ Κρέων τὸν τοῦ παιδὸς καὶ τῆς γαμετῆς θάνατον.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ

## ΑΝΤΙΓΟΝΗΣ ΥΠΟΘΕΣΙΣ.

ΑΝΤΙΓΟΝΗ παρὰ τὴν πρόσταξιν τῆς πόλεως θάψασα τὸν Πολυνείκην, ἐφωράθη, καὶ εἰς μνημεῖον κατάγειον ἐντεθεῖσα παρὰ τοῦ Κρέοντος, ἀνήρηται· ἐφ' ᾗ καὶ Αἵμων δυσπαθήσας διὰ τὸν εἰς αὐτὴν ἔρωτα, ξίφει ἑαυτὸν διεχρήσατο. ἐπὶ δὲ τούτου θανάτῳ καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε.

Τὸ μὲν δρᾶμα τῶν καλλίστων Σοφοκλέους. στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωΐδα ἱστορούμενα, καὶ τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνην, ἃς ὁ μὲν Ἴων ἐν τοῖς διθυράμβοις καταπρησθῆναί φησιν ἀμφοτέρας ἐν τῷ ἱερῷ τῆς Ἥρας ὑπὸ Λαοδάμαντος τοῦ Ἐτεοκλέους· Μίμνερμος δέ φησι τὴν μὲν Ἰσμήνην προσομιλοῦσαν Θεοκλυμένῳ ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι. τὸ δὲ δρᾶμα τὴν ἐπιγραφὴν ἔσχεν ἀπὸ τῆς παρεχούσης τὴν ὑπόθεσιν Ἀντιγόνης.

Κεῖται δὲ ἡ μυθοποιΐα καὶ παρ' Εὐριπίδῃ ἐν Ἀντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵμονος, δίδοται πρὸς γάμου κοινωνίαν, καὶ τίκτει τὸν Μαίμονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Θήβαις ταῖς Βοιωτικαῖς. ὁ δὲ Χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γερόντων· προλογίζει δὲ ἡ Ἀντιγόνη· ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν Κρέοντος βασιλείων. τὸ δὲ κεφάλαιόν ἐστι, τάφος Πολυνείκους, Ἀντιγόνης ἀναίρεσις, θάνατος Αἵμονος, καὶ μόρος Εὐρυδίκης, τῆς Αἵμονος μητρός. φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας, εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης. λέλεκται δὲ τὸ δρᾶμα τοῦτο τριακοστὸν δεύτερον.

11. Perperam in codice scriptum ὑπὸ Λαομέδοντος. Notus Laodamas Eteoclis filius ex Apollodoro aliisque auctoribus quos ad illum laudat in notis doctissimus Editor, p. 643. καταπρησθῆναι, seu potius καταπρησχθῆναι, significat ὑβρισθῆναι, *stupratas fuisse*, vel *quorumvis ludibrio expositas fuisse*.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΑΝΤΙΓΟΝΗ.

---

### ΑΝΤΙΓΟΝΗ.

Ω ΚΟΙΝΟΝ αὐτάδελφον Ἰσμήνης κάρα,
ἆρ' οἶσθ' ὅ τι Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν
ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;
οὐδὲν γὰρ οὔτ' ἀλγεινὸν, οὔτ' ἀτήριον,
οὔτ' αἰσχρὸν, οὔτ' ἄτιμόν ἐσθ', ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν.
καὶ νῦν τί τοῦτ' αὖ φασὶ πανδήμῳ πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως;
ἔχεις τι, κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;

### ΙΣΜΗΝΗ.

ἐμοὶ μὲν οὐδεὶς μῦθος, Ἀντιγόνη, φίλων

4. *οὔτ' ἀτήριον.* Libri omnes scripti et impressi *οὔτ' ἄτης ἄτερ*, quod absurdum est et plane contrarium ejus, quod sententia postulat. Manifesta est lectionis depravatio, librarii socordiæ tribuenda. De hoc loco egi ad Æschyli Prom. 1021. ubi conjecturam protuli, vulgata lectione, qua nihil deterius esse possit, sane meliorem, *οὔτ' ἀήσυλον.* Postmodo vero sagaciori investigatione genuinam lectionem deprehendere mihi visus sum, *οὔτ' ἀτήριον.* Legitimæ formæ sunt *ἀτηρὸς*, *ἀτήριος*: ut *ἀλιτηρὸς*, *ἀλιτήριος*: *ἐπώνυμος*, *ἐπωνύμιος* apud Pindarum. *ἔντοπος*, *ἐντόπιος*: et alia permulta. Frequenter occurrit *ἀτηρός*: rarior est altera forma, cujus exemplum in promptu non habeo. Citatur quidem ex Æschylo in Eumen. 1010. sed metri anapæstici lex ostendit pro *ἀτήριον* ibi reponendum esse *ἀτηρόν*. Satis est vocem esse probi commatis, et analogiæ regulis haud repugnare.

οὔθ' ἡδὺς, οὔτ' ἀλγεινὸς ἵκετ', ἐξ ὅτου
δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο,
μιᾷ θανόντων ἡμέρᾳ διπλῇ χερί·
ἐπεὶ δὲ φροῦδός ἐστιν Ἀργείων στρατὸς
ἐν νυκτὶ τῇ νῦν, οὐδὲν οἶδ' ὑπέρτερον,
οὔτ' εὐτυχοῦσα μᾶλλον, οὔτ' ἀτωμένη.
ΑΝ. ᾔδη καλῶς, καί σ' ἐκτὸς αὐλείων πυλῶν
τοῦδ' οὕνεκ' ἐξέπεμπον, ὡς μόνη κλύοις.
ΙΣ. τί δ' ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος.
ΑΝ. οὐ γὰρ τάφου νῷν τὼ κασιγνήτω Κρέων,
τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει;
Ἐτεοκλέα μὲν, ὡς λέγουσι, σὺν δίκῃ
χρησθεὶς δικαίᾳ καὶ νόμῳ, κατὰ χθονὸς
ἔκρυψε, τοῖς ἔνερθεν ἔντιμον θεοῖς·
τὸν δ' ἀθλίως θανόντα Πολυνείκους νέκυν
ἀστοῖσί φασιν ἐκκεκηρύχθαι τὸ μὴ
τάφῳ καλύψαι, μηδὲ κωκῦσαί τινα,
ἐᾷν δ' ἄκλαυστον, ἄταφον, οἰωνοῖς γλυκὺν
θησαυρὸν, εἰσορμῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντά σοι,
κἀμοὶ, λέγω γὰρ κἀμὲ, κηρύξαντ' ἔχειν,

18. ᾔδη. Sic Scholiastam legisse, quis non colligat ex ejus nota, ἀντὶ τοῦ ᾔδειν? Hunc locum in animo habuisse probabile est Eustathium ad Il. α'. p. 50.

20. καλχαίνουσ'—Eurip. Heracl. 40. Ἐγὼ μὲν ἀμφὶ τοῖσδε καλχαίνων τέκνοις.

21. τὼ κασιγνήτω—τὸν μὲν, τὸν δέ. Pro τῶν κασιγνήτων τὸν μὲν, τὸν δέ. Simile est schema in his Homeri versibus, quibuscum hunc Tragici locum comparat Eustathius, p. 517. Τρῶες δὲ μεγάθυμοι ἐπεὶ ἴδον υἷε Δάρητος, Τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ' ὄχεσφιν. Sic infra, 561. τὼ παῖδε φημὶ τώδε, τὴν μὲν, τὴν δὲ—pro τῶν παίδων τῶνδε τὴν μὲν, τὴν δὲ—

25. τοῖς ἔνερθεν ἔντιμον θεοῖς. Sic legendum. Confer 77. 745 1070. Male vulgo νεκροῖς.

27. τὸ μὴ τάφῳ καλύψαι. Sic libri omnes, sine οὐ, quod infra, 544. additum. Vide notam ad priorem Œdipum 1387.

30. εἰσορμῶσι. Sic optime eruditus Britannus in nova editione Pentalogiæ, Jo. Burton. Vulgo εἰσορῶσι sensu nullo. Conjecerat Valckenarius ad Phœn. p. 549. ἐνθορεῦσι, minus felici-

καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖς μὴ οὐκ εἰδόσι
σαφῆ προκηρύξοντα· καὶ τὸ πρᾶγμ' ἄγειν
οὐχ ὡς παρ' οὐδέν· ἀλλ' ὃς ἂν τούτων τι δρᾷ,
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.
οὕτως ἔχει σοι ταῦτα, καὶ δείξεις τάχα,
εἴτ' εὐγενὴς πέφυκας, εἴτ' ἐσθλῶν κακή.
**ΙΣ.** τί δ', ὦ ταλαίφρων, εἰ τάδ' ἐν τούτοις, ἐγὼ
λύουσ' ἂν ἢ 'φάπτουσα προσθείμην πλέον;
**ΑΝ.** εἰ ξυμπονήσεις καὶ ξυνεργάσει, σκόπει.
**ΙΣ.** ποῖόν τι κινδύνευμα; ποῦ γνώμης ποτ' εἶ;
**ΑΝ.** εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.
**ΙΣ.** ἦ γὰρ νοεῖς θάπτειν σφ', ἀπόρρητον πόλει;
**ΑΝ.** τὸν γοῦν ἐμὸν καὶ τὸν σὸν, ἢν σὺ μὴ θέλῃς,

ter. πρὸς χάριν valet ἕνεκα, ut infra, 908. τίνος νόμου πρὸς χάριν, id est τίνος ἕνεκα νόμου. Apud Euripidem Med. 541. πρὸς ἰσχύος χάριν, idem est ac πρὸς βιὰν, κατ' ἰσχὺν, seu, ut loquitur Noster Phil. 594. πρὸς ἰσχύος κράτος.

33. τοῖς μὴ οὐκ εἰδόσι. Libri omnes τοῖς μὴ εἰδόσι, in quibus hiatus est quem non ferebant Atticorum aures. η ει apud Atticos poëtas in unam syllabam semper coalescunt. Vide Not. ad Œd. Col. 1155. οὐκ inseri debuit, ut in priore Œdipo, 221. Ἴχνευον αὐτὸς, μὴ οὐκ ἔχων τι σύμβολον.

40. Legitur vulgo λύουσ' ἂν ἢ θάπτουσα, manifesta depravatione: nam quæ inter duo verba oppositio debet esse, nulla hic est, quum λύειν τὸν νόμον prorsus idem sit, quod θάπτειν. Mendam esse in alterutra voce nemo non vidit. Priori eam subesse pronuntiavit Toupius Cur. Nov. in Suidam, p. 104. et legendum esse κλύουσ' ἂν ἢ θάπτουσα. Sed cui hoc placere possit, is nullum elegantiæ sensum habuerit. Quis non intelligit poëtam duobus oppositis ubi debuisse, qualia sunt Latina *assentire* et *contradicere?* Longe acutius Canterus viderat in Scholiastæ interpretatione genuinum verbum latere, quod pro θάπτουσα reponendum esset: verum e depravatis scholiis, quibus utebatur, nihil boni eruere potuit. Nos e Regiis membranis scholion emendatum dedimus, et inde Tragici manum restituimus: εἰ δὲ γράφεται ἢ 'φάπτουσα, ἀντὶ τοῦ λύουσα τὸν νόμον, ἢ ἐπιβεβαιοῦσα αὐτόν. Opposita sunt λύειν et ἐφάπτειν, *solvere* et *adstringere*. Librarii error ex 'φάπτουσα fecit θάπτουσα, eo procliviori lapsu, quo magis ei obversabatur *sepulturæ* cogitatio, cujus tam frequens in hac fabula, et statim ab initio, mentio. Dubitari non potest, quin hæc sit vera lectio, quam si mihi membranæ Regiæ non obtulissent, aliorum conjecturis prætulissem. Eldickii facilem et elegantem emendationem, etiamsi a veteri scriptura paulo longius recedat: λέγουσ' ἂν, ἢ πράσσουσα.

42. ποῦ γνώμης. Sic membr. et Aldus. In T. ποῖ. Turnebus, nescio unde, πῆ. Perpetua fere harum vocularum confusio.

## ΧΟΡΟΣ.

Ἀκτὶς ἀελίου, τὸ κάλ- στροφὴ α'.
λιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν πρότερον φάος,
ἐφάνθης ποτ', ὦ χρυσέας
ἁμέρας βλέφαρον, Διρκαί-
ων ὑπὲρ ῥεέθρων μολοῦσα,
τὸν λεύκασπιν ἐξ Ἀργόθεν
φῶτα βάντα πανσαγίᾳ,
φυγάδα πρόδρομον ὀξυτέρῳ
κινήσασα χαλινῷ,
ὃς ἐφ' ἁμετέρᾳ γᾷ Πολυνείκους
ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων,
ὀξέα κλάζων, αἰετὸς ἐς γᾶν
ὣς, ὑπερέπτα,
λευκῆς χιόνος πτέρυγι στεγανὸς
πολλῶν μεθ' ὅπλων,
ξύν θ' ἱπποκόμοις κορύθεσσι.
στὰς δ' ὑπὲρ μελάθρων, φονί- ἀντιστρ. α'.
αισιν ἀμφιχανὼν κύκλῳ
λόγχαις ἑπτάπυλον στόμα,

100. ἀελίου. Perperam Aldus ἀελίοιο.

102. τῶν πρότερον. Sic membr. recte. Ceteri τῶν προτέρων.

106. Aldus et codd. veteres τὸν λεύκασπιν Ἀργόθεν, metro claudicante. Inepto additamento Triclinius defectum supplevit, πρίν. Legendum τὸν λεύκασπιν ἐξ Ἀργόθεν. Sic Homerus Il. Θ'. 304. Τὸν ῥ' ἐξ Αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ. ad quem versum Eustathius; περισσῶς δὲ κεῖται ἡ ΕΞ πρόθεσις καὶ ἐν τῷ ἐξ Αἰσύμηθεν, ὡς καὶ ἐν τῷ ἐξ οὐρανόθεν, καὶ ἐν ἄλλοις. Ceterum numero singulari τὸν φῶτα. Argivos omnes significat, quo schemate nihil magis obvium.

108. ὀξυτέρῳ. Sic liquido E. gl. ταχυτάτῳ. Male vulgo ὀξυτόρῳ.

110. ὅς, scilicet ὁ λεύκασπις φὼς ἐξ Ἀργόθεν βὰς, qui quidem ὑπερέπτα, ἀρθεὶς ἐξ ἀμφιλόγων νεικέων Πολυνείκους. Perperam vulgo ὃν—Πολυνείκης, sine ulla legitimæ structuræ forma. Sic legendum esse vidit etiam eruditus Britannus apud Heathium.

114. πτέρυξ λευκῆς χιόνος, notat τὴν λευκὴν ἀσπίδα. Vide Eustathium, p. 1055. l. 28. Hesychius: πτέρυγες, σκέπαι.

ἔβα, πρίν ποθ' ἁμετέρων
αἱμάτων γένυσι πλησθῆ-
ναί τε, καὶ στεφάνωμα πύργων
πευκάενθ' Ἥφαιστον ἑλεῖν.
τοῖος ἀμφὶ νῶτ' ἐτάθη
πάταγος Ἄρεος, ἀντιπάλῳ
δυσχείρωμα δράκοντι.
Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει· καί σφας ἐσιδὼν
πολλῷ ῥεύματι προσνισσομένους,
χρυσοῦ καναχῇ, χὐπεροπλίαις,
παλτῷ ῥιπτεῖ πυρὶ, βαλβίδων
ἐπ' ἄκρων ἤδη
νίκην ὁρμῶντ' ἀλαλάξαι.
ἀντίτυπα δ' ἐπὶ γᾷ πέσε τανταλωθεὶς στροφὴ β'.
πυρφόρος, ὃς τότε μαινομένᾳ ξὺν ὁρμᾷ
βακχεύων ἐπέπνει
ῥιπαῖς ἐχθίστων ἀνέμων.
εἶχε δ' ἄλλᾳ τὰ μὲν ἄλλα, τὰ δ' ἐπ'
ἄλλοις ἐπενώμα στυφελίζων
μέγας Ἄρης δεξιόσειρος.
ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτά πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους, ἔλιπον
Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη·
πλὴν τοῖν στυγεροῖν, ὣ πατρὸς ἑνὸς
μητρός τε μιᾶς φύντε, καθ' αὐτοῖν

130. χρυσοῦ καναχῇ, χὐπεροπλίαις, Aldus et codd. χρυσοῦ καναχῆς ὑπεροπτίας, sine ullo sensu. ὑπεροπλία apud Homerum occurrit penultima producta, Il. α'. 205. ἧς ὑπεροπλίῃσι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ. Ex crasi copulæ καὶ in χὐπεροπλίῃσι prima producitur.

134. ἀντίτυπα δ' ἐπὶ γᾷ πέσε. Sic Aldus et veteres codd. quam lectionem agnoscit Eustathius, p. 1701. Ista suo more interpolavit Triclinius.

138. Aldus hunc versum sic edidit: εἶχε δ' ἄλλᾳ. τὰ μὲν ἄλλᾳ, τάδ' ἐπ' ἄλλοις. In membr. non bis ἄλλᾳ: sed quod priori factum oportuit, posteriori soli subscriptum ι.

145. καθ' αὐτοῖν. id est, ut a Scho-

δικρατεῖς λόγχας στήσαντ', ἔχετον
κοινοῦ θανάτου μέρος ἄμφω.
ἀλλὰ γὰρ ἁ μεγαλώνυμος ἦλθε Νίκα — ἀντιστ. β'.
τᾷ πολυαρμάτῳ ἀντιχαρεῖσα Θήβᾳ.
ἐκ μὲν δὴ πολέμων
τῶν νῦν θέσθαι λησμοσύναν,
θεῶν δὲ ναοὺς χοροῖς παννύ-
χοις πάντας ἐπέλθωμεν· ὁ Θήβας δ'
ἐλελίζων Βακχεῖος ἄρχοι.
ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας
τῆσδε Κρέων ὁ Μενοικέως νεοχμὸς
νεαραῖσι θεῶν ἐπὶ συντυχίαις
χωρεῖ, τινὰ δὴ μῆτιν ἐρέσσων,
ὅτι σύγκλητον τήνδε γερόντων
προὔθετο λέσχην,
κοινῷ κηρύγματι πέμψας.

## ΚΡΕΩΝ.

Ἄνδρες, τὰ μὲν δὴ πόλεος ἀσφαλῶς θεοὶ,

liasta recte expositum, κατ' ἀλλήλων. Non itaque solus Menander ἑαυτοὺς pro ἀλλήλους adhibuit, et prædem criminanti Eustathio Sophoclem dare potest. Sic enim ille in V. Odysseæ, p. 1547. ὅτι οὐ ταυτὸν ΑΛΛΗΛΟΙΣ εἰπεῖν καὶ ΕΑΥΤΟΙΣ. τὸ μὲν γὰρ ἑαυτοὺς, ὥς φασιν οἱ παλαιοὶ, ἐπὶ τῶν καθ' αὑτὰ λεγομένων τίθεται· οἷον, Αἴας καὶ Μενοικεὺς, φασὶν, ὁ Κρέοντος ἑαυτοὺς ἀνεῖλον. ἤγουν ἑκάτερος ἑαυτόν. τὸ δὲ ἀλλήλους ἐπί τινων συμπεπλεγμένων κεῖται. οἷον, οἱ τοῦ Οἰδίποδος παῖδες ἀλλήλους ἀπέκτειναν, ἤτοι ἕτερος τὸν ἕτερον. Μένανδρος οὖν, φασὶν, ἁμαρτάνει λέγων, Οὐκ ἠρκέσαμεν ἑαυτοῖς. ἐχρῆν γὰρ ἀλλήλοις εἰπεῖν.

151. θέσθαι. Sic legendum esse nemo non videre poterat, quod diu postquam admiseram, sic liquido scriptum reperi in T. cum gl. θελήσατε. Ceterorum librorum lectio θέσθε mendosa est, quippe quæ metrum jugulat: est enim versus dactylicus.

154. ἐλελίζων. Sic Aldus et veteres codd. Scholiastes ἐλελίχθων, quam lectionem secutus est et non male defendit Triclinius.

156. τῆσδε. Hæc vox ab omnibus libris abest: addit eam Heathius; et sic quidem integris pedibus versus procedit, sed invenustis. In Μενοικέως fit synizesis, at non in νεοχμὸς, quæ vox anapæstus est: media corripitur ante tenuem et liquidam. Philoct. 751. Τί δ' ἐστὶν οὕτω νεοχμὸν ἐξαίφνης ὅτου. Eurip. Bacchis, 212. Κλύω δὲ νεοχμὰ τήνδ' ἀνὰ πτόλιν κακά. Idem

πολλῷ σάλῳ σείσαντες, ὤρθωσαν πάλιν·
ὑμᾶς δ' ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα
ἔστειλ' ἱκέσθαι· τοῦτο μὲν, τὰ Λαΐου
σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη·
τοῦτ' αὖθις, ἡνίκ' Οἰδίπους ὤρθου πόλιν,
κἀπεὶ διώλετ', ἀμφὶ τοὺς κείνου τότε
παῖδας, μένοντας ἐμπέδοις φρονήμασιν.
ὅτ' οὖν ἐκεῖνοι πρὸς διπλῆς μοίρας μίαν
καθ' ἡμέραν ὤλοντο, παίσαντές τε καὶ
πληγέντες αὐτόχειρι σὺν μιάσματι,
ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω
γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.
ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ, ὅστις πᾶσαν εὐθύνων πόλιν,
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γὰρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεὶ,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς

Troasin, 233. Κῆρυξ νεοχμῶν μύθων ταμίας. Equidem mallem totum hunc versum abesse, et legi: 'Αλλ' ὅδε γὰρ δὴ βασιλεὺς νεοχμὸς Νεκραῖσι θεῶν ἐπὶ συντυχίαις Χωρεῖ—

163. πολλῷ σάλῳ. Plutarchus in Fabio de Africano loquens Sophocleam hanc Metaphoram adhibuit; τὴν ἡγεμονίαν ὡς ἀληθῶς πολλῷ σάλῳ σεισθεῖσαν ὤρθωσε πάλιν.

168. ἀμφὶ τοὺς κείνου τότε παῖδας. Sic legendum. Emendationem confirmat partim E. in quo scriptum τοὺς κείνου ἔτι. Pessime in membr. ut in Aldina, τοὺς κείνων ἔτι. Correlativa sunt ἐπεὶ—τότε.

182. καὶ μείζον' ὅστις. Sic tres codd. Apud Stobœum in Floril. Grotii. p. 175. variata structura, ideoque forte melius, εἴ τις.

θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν,
καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι, παίδων τῶν ἀπ' Οἰδίπου πέρι.
'Ετεοκλέα μὲν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ' ἀριστεύσας δορὶ,
τάφῳ τε κρύψαι, καὶ τὰ πάντ' ἐφαγνίσαι,
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς.
τὸν δ' αὖ ξύναιμον τοῦδε, Πολυνείκην λέγω,
ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς,
φυγὰς κατελθὼν, ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατάκρας, ἠθέλησε δ' αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν·
τοῦτον πόλει τῇδ' ἐκκεκηρύχθαι, τάφῳ
μήτε κτερίζειν, μήτε κωκῦσαί τινα,
ἐᾶν δ' ἄθαπτον, καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκιστόν τ' ἰδεῖν.
τοιόνδ' ἐμὸν φρόνημα. κοὔποτ' ἔκ γ' ἐμοῦ
τιμὴν προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων.
ἀλλ' ὅστις εὔνους τῇδε τῇ πόλει, θανὼν
καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.

196. *καὶ τὰ πάντ' ἐφαγνίσαι.* Sic liquido scriptum in E. T. Estque hæc sincera lectio et optima, ut in glossis traditur, ad hunc modum resolvenda: *τάφῳ τε κρύψαι, καὶ ἐπὶ τῷ τάφῳ ἁγνίσαι τὰ πάντα, ἃ*—Infra, 247. *κἀφαγιστεύσας* itidem valet *καὶ ἐφαγιστεύσας.* In membr. scriptum *ἀφαγνίσαι.* Aldus mendose edidit *ἀφανίσαι,* quod nescio an in ullo scripto libro repertum fuerit. Miro tamen id judicio Toupius ad Suidam i. 66. et Britannus nescio quis in nova editione Pentalogiæ tuentur, tanquam librorum veterum omnium lectionem.

206. *αἰκιστόν τ' ἰδεῖν.* Sic optime in E. *αἰκιστὸς* verbale ejusdem formæ qua *ἰδιστός.* Aldus edidit *αἰκισθέντ'.* Melior est membran. scriptura *αἰκισθέν τ'*—Sane copulam flagitat structuræ ratio: et *αἰκισθὲν* ad *δέμας* relatum Grammaticæ regulis consentit. Nam ordo sic instituendus: *ἐᾶν δ' ἄθαπτον, καὶ ἰδεῖν δέμας ἐδιστὸν καὶ αἰκισθὲν πρὸς οἰωνῶν καὶ πρὸς κυνῶν.*

ΧΟ. σοὶ ταῦτ' ἀρέσκει, παῖ Μενοικέως Κρέον,
τὸν τῆδε δύσνουν, καὶ τὸν εὐμενῆ πόλει.
νόμῳ δὲ χρῆσθαι παντί που τ' ἔνεστί σοι,
καὶ τῶν θανόντων, χὠπόσοι ζῶμεν, πέρι.
ΚΡ. ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων.
ΧΟ. νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες.
ΚΡ. ἀλλ' εἴσ' ἕτοιμοι τοῦ νεκροῦ γ' ἐπίσκοποι.
ΧΟ. τί δῆτ' ἂν ἄλλο τοῦδ' ἐπεντέλλοις ἔτι;
ΚΡ. τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.
ΧΟ. οὐκ ἔστιν οὕτω μῶρος, ὃς θανεῖν ἐρᾷ.
ΚΡ. καὶ μὴν ὁ μισθός γ' οὗτος. ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

ΦΥΛΑΞ.

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν.
ψυχὴ γὰρ ηὔδα πόλλ' ἐμοὶ μυθουμένη·

211. *σοὶ ταῦτ' ἀρέσκει.* Sic scribendum esse vidit eruditus Britannus apud Heathium. Perperam vulgo *ταῦτ'*, quorum confusionem jam observavimus ad Œd. T. 284. Tantilla scripturæ menda doctis viris fraudi fuit, Toupio ad Suidam i. p. 60. et Kœnio ad auctorem de Dialectis, p. 27. qui *σε* in hoc versu legendum putarunt. *σοὶ* non ad *ἀρέσκει*, sed ad *τὰ αὐτὰ* refertur, subaudito alio pronomine *με*. Constructio est, *ἀρέσκει με τὰ αὐτά σοι.* Haud melior est alius Britanni conjectura legentis *μὲ ταῦτ' ἀρέσκει*—Vera est, opinor, Marklandi observatio, *με* initio senarii tragici nusquam reperiri.

217. *τοῦ νεκροῦ γ' ἐπίσκοποι.* Perperam in libris *νεκροῦ τ'*—Initio versus *ἀλλὰ* refertur ad suppressam sententiæ partem, quam supplet glossa: *οὐ λέγω ὑμᾶς φυλάσσειν, ἀλλὰ*—Nimirum senes, minus percepta Creontis mente, onus custodiendi cadaveris, quod sibi imponi rebantur, deprecati fuerant.

218. Codd. et Aldus hunc versum sic exhibent: *τί δῆτ' ἂν ἄλλῳ τοῦτ' ἐπεντέλλοις ἔτι;* falsa et inepta sententia. *ἄλλο* hic olim lectum fuisse evincit observatio in veteri cod. scripta: *οἱ μεγαλογράφοντες τὸ ἄλλο*, id est, qui pro *ἄλλο* scribunt *ἄλλῳ*, *μεγάλως ἀγνοοῦντες ληρεῖν παρ' ἄλλων ἀκούουσιν.* unde sponte sua nascitur sequentis vocis *τοῦτ'* emendatio. Legendum *ἄλλο τοῦδ'*, quod vidit etiam novus editor Pentalogiæ, *aliud præter hoc*. Est enim hæc sententia: *quandoquidem nobis non mandas cadaver custodire ne sepeliatur, quid est quod præter hoc nos facere jubeas?*

Τάλας, τί χωρεῖς, οἷ μολὼν δώσεις δίκην;
τλήμων, μενεῖς αὖ; κεἰ τάδ' εἴσεται Κρέων
ἄλλου παρ' ἀνδρὸς, πῶς σὺ δῆτ' οὐκ ἀλγυνεῖ;—
τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῇ βραδύς.
χοὔτως ὁδὸς βραχεῖα γίγνεται μακρά.
τέλος γε μέν τοι δεῦρ' ἐνίκησεν μολεῖν.
σοὶ, κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ' ὅμως.
τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος,
τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.
ΚΡ. τί δ' ἔστιν, ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;
ΦΥ. φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ. τὸ γὰρ
πρᾶγμ' οὔτ' ἔδρασ', οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν.
οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.
ΚΡ. εὖ γε στοχάζῃ, κἀποφράγνυσαι κύκλῳ
τὸ πρᾶγμα. δηλοῖς δ' ὥς τι σημανῶν νέον.
ΦΥ. τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.
ΚΡ. οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;
ΦΥ. καὶ δὴ λέγω σοι. τὸν νεκρόν τις ἀρτίως
θάψας βέβηκε, κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας, κἀφαγιστεύσας ἃ χρή.
ΚΡ. τί φής; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;
ΦΥ. οὐκ οἶδ'. ἐκεῖ γὰρ οὔτε του γενῇδος ἦν
πλῆγμ', οὐ δικέλλης ἐκβολή· στύφλος δὲ γῆ,

229. κεἰ τάδ'—Perperam membr. et Aldus καὶ τάδ'—In E. εἰ τάδ'—initio versus τλήμων habent codd. plerique.

238. πρῶτα. Turnebus e Triclinio pessime πάντα. Parmeno servus apud Terentium in Eunucho, v. 5. Here, primum te arbitrari id quod res est velim: Quicquid hujus factum 'st, culpa non factum 'st mea. Pari modo Sostrata marito suo ait in Heautontim. iv. 1. Primum hoc te oro, ne quid credas me advorsum edictum tuum Facere esse ausam.

242. σημανῶν. Sic E. T. August. ut legendum esse monuerat Valckenarius ad Phœn. p. 384. Apud Terentium Syrus servus, audita præmunitione Sostratæ, eamdem conjecturam facit: Nescio quid peccati portat hæc purgatio.

247. κἀφαγιστεύσας. glossa in T. ἐπ' ἐκεῖνον μαθοσιώσας. Recte. Est enim, ut supra observavi καὶ ἐφαγιστεύσας. In minoribus scholiis glossam hanc dedi ex August. cod. ubi minus bene περὶ ἐκεῖνον—ἃ χρή. Sic membr. et Aldus. Triclinius χρῆν.

*καὶ χέρσος ἀῤῥὼξ, οὐδ' ἐπημαξευμένη*
*τροχοῖσιν, ἀλλ' ἄσημος οὑργάτης τις ἦν.*
*ὅπως δ' ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος*
*δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.*
*ὁ μὲν γὰρ ἠφάνιστο, τυμβήρης μὲν οὔ·*
*λεπτὴ δ', ἄγος φεύγοντος ὥς, ἐπῆν κόνις.*
*σημεῖα δ' οὔτε θηρὸς, οὔτε του κυνῶν*
*ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο.*
*λόγοι δ' ἐν ἀλλήλοισιν ἐῤῥόθουν κακοὶ,*
*φύλαξ ἐλέγχων φύλακα. κἂν ἐγίγνετο*
*πληγὴ τελευτῶσ'· οὐδ' ὁ κωλύσων παρῆν.*
*εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος,*
*κοὐδεὶς ἐναργὴς, ἀλλ' ἔφευγε τὸ μὴ εἰδέναι.*
*ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν,*
*καὶ πῦρ διέρπειν, καὶ θεοὺς ὁρκωμοτεῖν,*
*τὸ μήτε δρᾶσαι, μήτε τῳ ξυνειδέναι*
*τὸ πρᾶγμα βουλεύσαντι, μήτ' εἰργασμένῳ.*
*τέλος δ', ὅτ' οὐδὲν ἦν ἐρευνῶσι πλέον,*
*λέγει τις εἷς, ὃς πάντας ἐς πέδον κάρα*
*νεῦσαι φόβῳ προὔτρεψεν. οὐ γὰρ εἴχομεν*
*οὔτ' ἀντιφωνεῖν, οὔθ' ὅπως δρῶντες καλῶς*

260. *φύλαξ ἐλέγχων φύλακα*, pro *φύλακος ἐλέγχοντος*. Nominativus absolutus per ablativum absolutum Latine reddendus. Hujus schematis exempla protuli ad Æschyli Persas 120. quibus adde Eurip. Iphig. T. 701. Ione 945. Hippol. 23. utrumque casum eleganter in eadem phrasi jungit Lysias, p. 812. edit. Reiskii: *ὥστε οὐκ ἔτι ὧν οὗτοι κλέπτουσιν ὀργίζεσθε, ἀλλ' ὧν αὐτοὶ λαμβάνετε, χάριν ἴστε, ὥσπερ ὑμεῖς τὰ τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τούτων τὰ ὑμέτερα κλεπτόντων.*

264. Nescio an antiquius aliud exstet superstitionis illius testimonium, qua diu captæ fuerunt septentrionalium omnium populorum mentes. Nihil in historia notius, quam purgationes, quibus, adhibito sacramento, rei objecta crimina amoliebantur, et innocentiam suam comprobabant. Earum diversa erant genera, quæ omnia communi nomine indigetabantur, *Judicium Dei.* Solemnis fuit purgatio *per ferrum candens*: alia *per medium ignem incessus*, qualis fuit Hirporum *θαυμαστὸς ἱεροποιΐα*, cujus meminit Virgilius Æn. xi. 787.---et medium freti pietate per ignem Cultores multa premimus vestigia pruna.

πράξαιμεν. ἦν δ' ὁ μῦθος, ὡς ἀνοιστέον
σοὶ τοὔργον εἴη τοῦτο, κοὐχὶ κρυπτέον.
καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ' ἄκων οὐχ ἑκοῦσιν, οἶδ' ὅτι.
στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.

ΧΟ. ἄναξ, ἐμοί τοι, μή τι καὶ θεήλατον
τοὔργον τόδ', ἡ ξύννοια βουλεύει πάλαι.

ΚΡ. παῦσαι, πρὶν ὀργῆς κἀμὲ μεστῶσαι, λέγων,
μὴ 'φευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτὰ, δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην
ἔκρυπτον αὐτὸν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε κἀναθήματα,
καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν;
ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐῤῥόθουν ἐμοὶ,
κρυφῇ κάρα σείοντες· οὐδ' ὑπὸ ζυγῷ
λόφον δικαίως εἶχον, ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
οὐδὲν γὰρ ἀνθρώποισιν, οἷον ἄργυρος,
κακὸν νόμισμ' ἔβλαστε. τοῦτο καὶ πόλεις
πορθεῖ, τόδ' ἄνδρας ἐξανίστησιν δόμων·
τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι βροτῶν·
πανουργίας δ' ἔδειξεν ἀνθρώποις ἔχειν,

280. Ordo est, παῦσαι λέγων, πρὶν—

292. Aut memoria falsus, aut pravo exemplari usus Eustathius hunc locum respiciens ter diversæ lectionis meminit, quæ metro nequaquam accommodari potest: κάρα σείοντες, οὐδ' ὑπὸ ζυγῷ νῶτον εὐλόφως εἶχον.

καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.
ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
χρόνῳ ποτ' ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ' εἴπερ ἴσχει Ζεὺς ἔτ' ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ' ἐπίστασ', ὅρκιος δέ σοι λέγω,
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ' ἐς ὀφθαλμοὺς ἐμούς,
οὐχ ὑμὶν Ἅδης μοῦνος ἀρκέσει, πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν,
ἵν' εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον,
τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ', ὅτι
οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους.

ΦΥ. εἰπεῖν τι δώσεις, ἢ στραφεὶς οὕτως ἴω;
ΚΡ. οὐκ οἶσθα καὶ νῦν, ὡς ἀνιαρῶς λέγεις;
ΦΥ. ἐν τοῖσιν ὠσὶν, ἢ 'πὶ τῇ ψυχῇ δάκνῃ;
ΚΡ. τί δέ; ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;
ΦΥ. ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.
ΚΡ. οἴ μ', ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ.
ΦΥ. οὔκουν τόδ' ἔργον εἰμὶ ποιήσας ποτέ.
ΚΡ. καὶ ταῦτ' ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδούς.
ΦΥ. φεῦ·
ἦ δεινὸν, ᾧ δοκεῖ γε, καὶ ψευδῆ δοκεῖν.

318. τί δέ; ῥυθμίζεις—Sic in August. in E. τῆ δὲ—Membr. ut impressi, τί δαί. Triclinii in glossa, διὰ τὸ μέτρον. Absque hoc sartum est metrum: vocalis brevis ante ρ producitur. Vide ad Œd. T. 847. Hunc versum Grotius nescio unde, sed mire depravatum, inter Sophoclis incerta fragmenta retulit: Τί δαί, ῥιπίζεις τὴν ἐμὴν λύπην ἐπί. eumque sic vertit: Tua verba vero suscitant luctus meos.

320. λάλημα. Id est λαλητής. Res pro persona. Sic in Aj. 381. 389. Ulysses ἄλημα appellatur.

321. εἰμὶ ποιήσας ποτέ. Sic optime in E. Aldus et membr. οὔκουν τόδ' ἔργον τοῦτο ποιήσας ποτέ. In T. τοῦτο ποιήσας ἐγώ. Unde Valckenarius ad Phœn. p. 269. conjiciebat legendum τοῦτο ποιήσας ἔχω.

323. ᾧ δοκεῖ γε. Sic in E. ut apud Scholiastam. Ceteri, ut vulgo, ἣν δοκῇ γε.

ΚΡ. κόμψευε νῦν τὴν δόξαν· εἰ δὲ ταῦτα μὴ
φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται.
ΦΥ. ἀλλ' εὑρεθείη μὲν μάλιστ'· ἐὰν δέ τοι
ληφθῇ τε καὶ μὴ, τοῦτο γὰρ τύχη κρινεῖ,
οὐκ ἔσθ' ὅπως ὄψει σὺ δεῦρ' ἐλθόντα με.
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς
σωθεὶς, ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.

## ΧΟΡΟΣ.

Πολλὰ τὰ δεινὰ, κοὐδὲν ἀν- στροφὴ α'.
θρώπου δεινότερον πέλει.
τοῦτο καὶ πολίου πέραν
πόντου χειμερίῳ νότῳ
χωρεῖ, περιβρυχίοισι
περῶν ἐπ' οἴδμασι·
θεῶν τε τὰν ὑπερτάταν, Γᾶν
ἄφθιτον, ἀκαμάταν
ἀποτρύεται, ἰλλομένων ἀρότρων
ἔτος εἰς ἔτος, ἱππείῳ
γένει πολεύων.
κουφονόων τε φῦλον ὀρ- ἀντιστρ. α'.
νίθων ἀμφιβαλὼν ἄγει,
θηρίων τ' ἀγρίων ἔθνη,
πόντου τ' ἐναλίαν φύσιν
σπείραισι δικτυοκλώστοις,

326. τὰ δειλὰ κέρδη. Perperam in impressis τὰ δεινά.

334. τοῦτο. Id est κατὰ τοῦτο.

337. περῶν. Sic E. T. gl. διερχόμενος. Perperam in aliis πτερῶν— ἐπ' οἴδμασι. Sic etiam E. alii ὑπ' οἴδμασι.

340. ἰλλομένων. Aldus et membr. παλλομένων. Ceteri εἰλομένων. Vide doctos viros ad Timæi glossam in Lex. Platon. γῆν ἰλλομένην.

341. ἔτος εἰς ἔτος. Sic tres codd. ut legendum esse metrica ratio evincit. In membr. ut apud Aldum, ἔτους εἰς ἔτος.

343. κουφονόων. Libri omnes κουφονέων mendose.

345. θηρίων τ' ἀγρίων ἔθνη. Aldus et membr. καὶ θηρῶν ἀγρίων ἔθνη. In E. καὶ θηρίων.

περιφραδὴς ἀνήρ·
κρατεῖ δὲ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα,
λασιαύχενά θ' ἵππον ὑπάξεται ἀμ-
φίλοφον ζυγὸν, οὔρειόν τ'
ἀδμῆτα ταῦρον.
καὶ φθέγμα, καὶ ἠνεμόεν στροφὴ β'.
φρόνημα, καὶ ἀστυνόμους
ὀργὰς ἐδιδάξατο, καὶ
δυσαύλων πάγων αἴθρια
καὶ δύσομβρα φεύγειν βέλη,
παντοπόρος, ἄπορος
ἐπ' οὐδὲν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνον
φεῦξιν οὐκ ἐπάξεται·
νόσων δ' ἀμηχάνων φυγὰς
ξυμπέφρασται.
σοφόν τι τὸ μηχανόεν ἀντιστρ. β'.
τέχνας ὑπὲρ ἐλπίδ' ἔχων,
ποτὲ μὲν κακὸν, ἄλλοτ' ἐπ' ἐσθ-
λὸν ἕρπει· νόμους παρείρων
χθονὸς, θεῶν τ' ἔνορκον δίκαν,
ὑψίπολις· ἄπολις δ',
ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι, τόλμας χάριν.
μήτ' ἐμοὶ παρέστιος
γένοιτο, μήτ' ἴσον φρονῶν,

351. *ὑπάξεται.* Metro flagitante præpositionem restitui a librariis omissam. Aldus et veteres codd. habent *ἄξεται*. Triclinii interpolationes nihil moror.

368. *παρείρων.* gl. *ὁ φυλάττων τοὺς ἐν γῇ ὄντας νόμους*. Verum non video qui significationem hanc verbum *παρείρειν* induere possit. Alias significat *inserere*. Locus vitii suspectus esse possit, tametsi in codd. scripturæ nulla observatur varietas. Legendum forte *νόμους εὐωρῶν*.

370. *ἄπολις δ' ὅτῳ*---Adversativam particulam male omittunt membr. et Aldus.

ὃς τάδ' ἔρδει.
ἐς δαιμόνιον τέρας ἀμφινοῶ
τόδε. πῶς εἰδὼς ἀντιλογήσω
τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην;
ὦ δύστηνος, καὶ δυστήνου
πατρὸς Οἰδιπόδα, τί ποτ'; οὐ δή που
σέ γ' ἀπιστοῦσαν
τοῖς βασιλείοισιν ἄγουσι νόμοις,
καὶ ἐν ἀφροσύνῃ καθελόντες;

ΦΥ. Ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη.
τήνδ' εἵλομεν θάπτουσαν. ἀλλὰ ποῦ Κρέων;

ΧΟ. ὅδ' ἐκ δόμων ἄψορρος εἰς δέον περᾷ.

ΚΡ. τί δ' ἔστι; ποία ξύμμετρος προὔβη τύχῃ;

ΦΥ. ἄναξ, βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον.
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην· ἐπεὶ
σχολῇ ποθ' ἥξειν δεῦρ' ἂν ἐξηύχουν ἐγὼ,
ταῖς σαῖς ἀπειλαῖς, αἷς ἐχειμάσθην τότε.
ἀλλ', ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ,
ἥκω, δι' ὅρκων καίπερ ὢν ἀπώμοτος,
κόρην ἄγων τήνδ', ἣ καθευρέθη τάφον
κοσμοῦσα. κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο.
ἀλλ' ἔστ' ἐμὸν θοὔρμαιον, οὐκ ἄλλου τόδε.
καὶ νῦν, ἄναξ, τήνδ' αὐτὸς, ὡς θέλεις, λαβὼν,
καὶ κρῖνε, κἀξέλεγχ'· ἐγὼ δ' ἐλεύθερος
δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν.

ΚΡ. ἄγεις δὲ τήνδε τῷ τρόπῳ; πόθεν λαβών;

ΦΥ. αὕτη τὸν ἄνδρ' ἔθαπτε. πάντ' ἐπίστασο.

384. ἥδ' ἔσ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη. Sic legendum esse ex more poëtarum Atticorum et indole linguæ nemo non videre poterat. Articulus in membranis præpostero loco positus, in aliis codd. plane omissus est. Prava est utraque lectio. Ἥδ' ἔσ' ἐκείν' ἡ τοὔργον ἐξειργασμένη. Ἥδ' ἔστ' ἐκείνη τοὔργον ἐξειργασμένη. ἡ 'ξειργασμένη, ut infra, 558. ἡ 'ξαμαρτία, pro ἡ ἐξαμαρτία.

387. προὔβη τύχη. Hæc est optima codicum omnium lèctio. In impressis δίκη. ξύμμετρος. gl. σύμμετρος.

ΚΡ. ἦ καὶ ξυνιεῖς, καὶ λέγεις ὀρθῶς ἃ φῄς;
ΦΥ. ταύτην γ' ἰδὼν θάπτουσαν, ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας. ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω;
ΚΡ. καὶ πῶς ὁρᾶται κἀπίληπτος εὑρέθη;
ΦΥ. τοιοῦτον ἦν τὸ πρᾶγμ'. ὅπως γὰρ ἥκομεν,
πρὸς σοῦ τὰ δείν' ἐκεῖν' ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες, ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ,
καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι,
ὀσμὴν ἀφ' αὐτοῦ μὴ βάλοι, πεφευγότες,
ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ' ἀφειδήσοι πόνου.
χρόνον τάδ' ἦν τοσοῦτον, ἔς τ' ἐν αἰθέρι
μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος,
καὶ καῦμ' ἔθαλπε· καὶ τότ' ἐξαίφνης χθονὸς
τυφὼς ἀείρας σκηπτὸν, οὐράνιον ἄχος,
πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος· ἐν δ' ἐμεστώθη μέγας
αἰθήρ· μύσαντες δ' εἴχομεν θείαν νόσον.
καὶ τοῦδ' ἀπαλλαγέντος ἐν χρόνῳ μακρῷ,
ἡ παῖς ὁρᾶται, κἀνακωκύει πικρᾶς
ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος·
οὕτω δὲ χ' αὕτη, ψιλὸν ὡς ὁρᾷ νέκυν,

403. ξυνιεῖς. Codd. alii ξυνίεις, alii ξυνίης. Vid. ad Œd. T. 628.

404. ταύτην γ' ἰδὼν---Sic legendum. ὀρθῶς λέγω ἃ φημὶ, ἰδών γε ταύτην θάπτουσαν. Perperam codd. plerique et Aldus ἴδον, August. εἶδον. Dawesius Miscell. Crit. p. 267. emendaverat ἰδεῖν, quod per se quidem bonum est, minus tamen probabile quam ἰδών.

412. ἀφ' αὐτοῦ. Codd. et impressi ἀπ' αὐτοῦ male. Vide Orvillium ad Charit. p. 328. μὴ βάλοι Stephanus edidit ad structuræ legem, recte. Perperam in aliis libris μὴ βάλῃ.

415. ἐν αἰθέρι μέσῳ κατέστη. Adumbratum hoc ex Homerico versu Il. θ'. Ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει. observante Eustathio p. 698.

422. τοῦδ' ἀπαλλαγέντος. gl. τοῦ σκηπτοῦ πεπαυμένου. Nullam causam video cur a librorum omnium lectione discedatur.

γόοισιν ἐξῴμωξεν, ἐκ δ' ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν,
ἔκ τ' εὐκροτήτου χαλκέας ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χ' ἡμεῖς ἰδόντες ἱέμεσθα, σὺν δέ νιν
θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην·
καὶ τάς τε πρόσθεν, τάς τε νῦν, ἠλέγχομεν
πράξεις· ἄπαρνος δ' οὐδενὸς καθίστατο.
ἀλλ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι,
ἥδιστον· ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν,
ἀλγεινόν. ἀλλὰ ταῦτα πάνθ' ἥσσω λαβεῖν
ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.
ΚΡ. σὲ δή, σὲ τὴν νεύουσαν ἐς πέδον κάρα,
φῄς, ἢ καταρνῇ μὴ δεδρακέναι τάδε;
ΑΝ. καὶ φημὶ δρᾶσαι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΚΡ. σὺ μὲν κομίζοις ἂν σεαυτόν, ᾗ θέλεις,
ἔξω βαρείας αἰτίας ἐλεύθερον.
σὺ δ', εἰπέ μοι μὴ μῆκος, ἀλλὰ σύντομα,
ᾔδης τὰ κηρυχθέντα, μὴ πράσσειν τάδε;
ΑΝ. ᾔδη. τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.
ΚΡ. καὶ δῆτ' ἐτόλμας τούσδ' ὑπερβαίνειν νόμους;
ΑΝ. οὐ γάρ τι μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη,
οἳ τούσδ' ἐν ἀνθρώποισιν ὥρισαν νόμους.
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ

430. χαλκέας. Sic optime August. et T. Pessime vulgo χαλκέως. Heathium fugit præclara hujus loci emendatio a Piersono facta ad Mœridem, p. 296. Confer notam nostram ad Comici Nubes 272.

439. ταῦτα πάνθ'---Sic in E. concinnius quam vulgo πάντα τοῦθ'---

441. σὲ δή. Subauditur καλῶ, ἀνακρίνω, vel simile verbum. Vide Musgravium ad Eurip. Helenam 555.

447. ᾔδης, et v. seq. ᾔδη, ut et v. 460. ἐξῄδη ad atticismi normam reposui. Vide supra ad v. 18. et ad Œd. T. 433.

κηρύγμαθ', ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν
νόμινα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθὲς, ἀλλ' ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ', ἐν θεοῖσι τὴν δίκην
δώσειν. θανουμένη γὰρ ἐξῄδη, τί δ' οὔ;
κεὶ μὴ σὺ προὐκήρυξας. εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ' ἐγὼ λέγω.
ὅστις γὰρ ἐν πολλοῖσιν, ὡς ἐγὼ, κακοῖς
ζῇ, πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει;
οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ' οὐδὲν ἄλγος· ἀλλ' ἄν, εἰ τὸν ἐξ ἐμῆς
μητρὸς θανόντ' ἄθαπτον ἠνεχόμην νέκυν,
κείνοις ἂν ἤλγουν· τοῖσδε δ' οὐκ ἀλγύνομαι.
σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.

ΧΟ. δηλοῖ τὸ γέννημ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς
τῆς παιδός· εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς.

ΚΡ. ἀλλ' ἴσθι τοι τὰ σκλήρ' ἄγαν φρονήματα
πίπτειν μάλιστα· καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ
θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις.
σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους
ἵππους καταρτυθέντας. οὐ γὰρ ἐκπέλει

462. αὔτ'. Sic bene exaratum in nonnullis codd. Gl. αὐτὸ τὸ προαπελθεῖν. Perperam in impressis αὖτ', quod valet αὖτε.

467. Vox μητρὸς in antiquis codd. compendiose scripta, unde perperam Aldus edidit ματρὸς, qua de re videndus Valckenarius ad Phœn. p. 6.--- ἠνεχόμην. Sic recte Piersonus ad Mœridem, p. 176. ut apud Comicum in Lysistr. 507. ἠνεχόμεσθα. In membr. ut apud Aldum ἠνσχόμην: in aliis ἰσχόμην.

469. μῶρα δρῶσα. Sic codd. omnes. Turnebus nescio unde δρᾶσα.

471. δηλοῖ, id est δηλοῦται. Activum pro passivo: ut Aj. 878. ἁνὴρ οὐδαμοῦ δηλοῖ φανείς.

474. πίπτειν. Aldus et membr. minus bene πίπτει.

478. καταρτυθέντας. Verbum hac in re signatum. Themistoclis dictum

φρονεῖν μέγ', ὅστις δοῦλός ἐστι τῶν πέλας.
αὕτη δ' ὑβρίζειν μὲν τότ' ἐξηπίστατο,
νόμους ὑπερβαίνουσα τοὺς προκειμένους·
ὕβρις δ', ἐπεὶ δέδρακεν, ἥδε δευτέρα,
τούτοις ἐπαυχεῖν, καὶ δεδρακυῖαν γελᾷν.
ἦ νῦν ἐγὼ μὲν οὐκ ἀνήρ, αὕτη δ' ἀνήρ,
εἰ ταῦτ' ἀνατεὶ τῇδε κείσεται κράτη.
ἀλλ' εἴτ' ἀδελφῆς, εἴθ' ὁμαιμονεστέρας
τοῦ παντὸς ἡμῖν Ζηνὸς Ἑρκίου κυρεῖ,
αὐτή τε χ' ἡ ξύναιμος οὐκ ἀλύξετον
μόρου κακίστου. καὶ γὰρ οὖν κείνην ἴσον
ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου.
καί νιν καλεῖτ'. ἔσω γὰρ εἶδον ἀρτίως
λυσσῶσαν αὐτὴν, οὐδ' ἐπήβολον φρενῶν.
φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεὺς
τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων.
μισῶ γε μέν τοι χὤταν ἐν κακοῖσί τις
ἁλοὺς, ἔπειτα τοῦτο καλλύνειν θέλῃ.
ΑΝ. θέλεις τι μεῖζον, ἢ κατακτεῖναί μ' ἑλών;

a Plutarcho refertur: τοὺς τραχυτάτους πώλους, ἀρίστους ἵππους γίγνεσθαι, ὅταν ἧς προσήκει τύχωσι παιδείας καὶ καταρτύσεως.

479. ὅστις δοῦλός ἐστι τῶν πέλας. Insubide vertit Johnsonus, *qui servus est proximi.* οἱ πέλας sunt *quivis alii*: ὁ πέλας, *alius quivis*. Vide Gatakerum Opp. tom. i. p. 526.

487. τοῦ παντὸς Ζηνὸς Ἑρκίου. Id est, cognatis omnibus, qui mecum in iisdem ædibus conversantur, et eundem Jovem Penetralem colunt. Vide auctores laudatos ad Hesychii glossam Ἑρκείου Διός. Ceterum ordo est: ἀλλ' εἴτε κυρεῖ ἀδελφῆς, εἴτε ὁμαιμονεστέρας ἡμῖν τοῦ παντὸς Ζηνὸς Ἑρκίου. Meras nugas agit novus editor Pentalogiæ in longa ad hunc locum nota, quam bene saltem conclusit merita derisione Gallici interpretis. ὁμαιμονεστέρας in codd. meis omnibus reperi. Si qui sunt alii in quibus ὁμαιμονεστέρα scriptum sit, librarii errori varietas imputanda est. Tragici verba non aliter interpretamur ac Eustathius, p. 1930. χρῆσις δὲ Ἑρκείου Διὸς καὶ παρὰ Σοφοκλεῖ, ἔνθα Ἑρκεῖον Δία ἐκεῖνος τοὺς ἐν οἴκῳ πάντας δηλοῖ.

488. ἀλύξετον. gl. ἐκφεύξετον. Quo significare voluit grammaticus patrios casus μόρου κακίστου pendere a suppressa præpositione ἐξ. Ellipsin non agnoscit Eustathius, p. 710. ὅτι δὲ τὸ ἀλύξαι οὐ μόνον κοινότερον αἰτιατικῇ συντάσσεται, ἀλλὰ καὶ γενικῇ, δηλοῖ Σοφοκλῆς ἐν τῷ, Οὐκ ἀλύξετον μόρου κακίστου.

ΚΡ. ἐγὼ μὲν οὐδέν· τοῦτ᾽ ἔχων, ἅπαντ᾽ ἔχω.
ΑΝ. τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων
ἀρεστὸν οὐδὲν, μηδ᾽ ἀρεσθείη ποτέ·
οὕτω δὲ καί σοι τἄμ᾽ ἀφανδάνοντ᾽ ἔφυ.
καί τοι πόθεν κλέος γ᾽ ἂν εὐκλεέστερον
κατέσχον, ἢ τὸν αὐτάδελφον ἐν τάφῳ
τιθεῖσα; τοῖσδε τοῦτο πᾶσιν ἁνδάνειν
λέγοιτ᾽ ἂν, εἰ μὴ γλῶσσαν ἐγκλείσοι φόβος.
ἀλλ᾽ ἡ τυραννὶς πολλά τ᾽ ἄλλ᾽ εὐδαιμονεῖ,
κἄξεστιν αὐτῇ δρᾷν, λέγειν θ᾽, ἃ βούλεται.
ΚΡ. σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.
ΑΝ. ὁρῶσι χ᾽ οἵδε· σοὶ δ᾽ ὑπίλλουσι στόμα.
ΚΡ. σὺ δ᾽ οὐκ ἐπαιδῇ, τῶνδε χωρὶς εἰ φρονεῖς;
ΑΝ. οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.
ΚΡ. οὔκουν ὅμαιμος χὠ καταντίον θανών;
ΑΝ. ὅμαιμος ἐκ μιᾶς τε, καὶ ταὐτοῦ πατρός.
ΚΡ. πῶν δῆτ᾽ ἐκείνῳ δυσσεβῆ τιμᾷς χάριν;
ΑΝ. οὐ μαρτυρήσει ταῦθ᾽ ὁ κατὰ χθονὸς νέκυς.
ΚΡ. εἴ τοι σφε τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ.
ΑΝ. οὐ γάρ τι δοῦλος, ἀλλ᾽ ἀδελφὸς ὤλετο.
ΚΡ. πορθῶν γε τήνδε γῆν· ὁ δ᾽, ἀντιστὰς ὕπερ.

504. τοῖσδε τοῦτο. Sic ob euphoniam lego, libris omnibus invitis, in quibus τούτοις τοῦτο. Perpetua confusio est pronominum οἵδε et οὗτοι. Statim v. 509. ubi Aldus et plerique libri habent ὁρῶσι χ᾽ οἵδε, in E. scriptum ὁρῶσι χ᾽ οὗτοι.

512. χὠ καταντίον θανών. Eteocles nempe. Sic membr. et Aldus. In aliis χὠ κατὰ χθονὸς θανὼν, inepte; male positis hic vocibus, quæ ad v. 515. pertinebant.

514. δυσσεβῆ. Sic tres codd. optime. In membr. ut apud Aldum δυσσεβεῖ, sensu nullo aut pravo. Sententia est: πῶς δῆτα τιμᾷς τῷ Πολυνείκει χάριν, ἥτις ἐκείνῳ, ἤγουν τῷ Ἐτεοκλεῖ, δυσσεβής ἐστιν. Monuit Triclinius nomen δυσσεβῆ ad ἐκείνῳ referri. Bonam lectionem quam ille suppeditabat neglexit Turnebus, alias promptissimus ad pessima quævis recipienda.

515. ὁ κατὰ χθονὸς νέκυς. Sic optime E. T. in membr. et apud Aldum ὁ κατθανὼν νέκυς, quod ineptum est, quum de utroque fratre perinde intelligi possit. At hic significatur Eteocles, cui justa peracta fuerant, quique proinde perspicue designatur his verbis, ὁ κατὰ χθονὸς νέκυς.

ΑΝ. ὅμως ὅ γ' Ἅιδης τοὺς νόμους ἴσους ποθεῖ.
ΚΡ. ἀλλ' οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσον.
ΑΝ. τίς οἶδεν, εἰ κάτω 'στὶν εὐαγῆ τάδε;
ΚΡ. οὔ τοι ποθ' οὐχθρὸς, οὐδ' ὅταν θάνῃ, φίλος.
ΑΝ. οὔ τοι συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυν.
ΚΡ. κάτω νυν ἐλθοῦσ', εἰ φιλητέον, φίλει
κείνους· ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή.
ΧΟ. καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη,
φιλάδελφα κάτω δάκρυ' εἰβομένη,
νεφέλη δ' ὀφρύων ὕπερ, αἱματόεν
ῥέθος αἰσχύνει,
τέγγουσ' εὐῶπα παρειάν.
ΚΡ. σὺ δ', ἣ κατ' οἴκους, ὡς ἔχιδν', ὑφημένη
λήθουσά μ' ἐξέπινες, οὐδ' ἐμάνθανον
τρέφων δύ' ἄτα, κἀπαναστάσεις θρόνων,
φέρ', εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
φήσεις μετασχεῖν, ἢ 'ξομεῖ τὸ μὴ εἰδέναι;
ΙΣ. δέδρακα τοὔργον, εἴπερ ἥδ' ὁμοῤῥοθεῖ,
καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας.
ΑΝ. ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη σ', ἐπεὶ

519. τοὺς νόμους ἴσους ποθεῖ. Proba hæc lectio Scholiastæ debetur. Codd. omnes, τοὺς νόμους τούτους.

520. λαχεῖν ἴσον. E præced. versu repetendum verbum ποθεῖ. ἀλλ' οὐ ποθεῖ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσον. Perperam Aldus et membr. λαχεῖν ἴσος. In E. λαβεῖν ἴσον, ex frequenti librariorum lapsu in permutandis λαβεῖν et λαχεῖν.

521. τίς οἶδεν. Sic codd. sine particula quam Aldus inseruit. εὐαγῆ. gl. ἀποδεκτὰ, εὐσεβῆ.

522. οὐδ' ὅταν θάνῃ. Perperam libri omnes οὐθ' ὅταν.

527. δάκρυ' εἰβομένη. Perperam Aldus et membr. δάκρυα λειβομένα.

531. ὑφημένη. Sic legisse videtur antiquus enarrator; et proba est hæc lectio. Libri omnes nostri præferunt ὑφειμένη, quod non prorsus damnandum. Eurip. Herc. fur. 71. Οἵ θ' Ἡράκλειοι παῖδες, οὓς ὑπὸ πτεροῖς Σώζω νεοσσοὺς, ὄρνις ὡς ὑφειμένη. Hesych. ὑφειμένος, καθειμένος, ταπεινός.

533. δύ' ἄτα. Membr. et Aldus δύ' ἄτας. Eadem varietas enotata in Œd. Col. 531.

537. καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας. In φέρω præpositio σὺν e præcedenti verbo repetenda ἀπὸ κοινοῦ. Est enim tanquam si dixisset καὶ ξυμμετίσχω καὶ ξυμφέρω.

οὔτ' ἠθέλησας, οὔτ' ἐγὼ 'κοινωσάμην.
ΙΣ. ἀλλ' ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι
ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.
ΑΝ. ὧν τοὔργον, Ἅδης χ' οἱ κάτω ξυνίστορες·
λόγοις δ' ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην.
ΙΣ. μή τοι, κασιγνήτη, μ' ἀτιμάσῃς τὸ μὴ οὐ
θανεῖν τε σὺν σοὶ, τὸν θανόντα θ' ἁγνίσαι.
ΑΝ. μή μοι θάνῃς σὺ κοινὰ, μήθ' ἃ μὴ 'θιγες
ποιοῦ σεαυτῆς. ἀρκέσω θνήσκουσ' ἐγώ.
ΙΣ. καὶ τίς βίος μοι, σοῦ λελειμμένῃ, φίλος;
ΑΝ. Κρέοντ' ἐρώτα. τοῦδε γὰρ σὺ κηδεμών.
ΙΣ. τί ταῦτ' ἀνιᾷς μ', οὐδὲν ὠφελουμένη;
ΑΝ. ἀλγοῦσα μὲν δῆτ', εἰ γέλωτ' ἐν σοὶ γελῶ.
ΙΣ. τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἐπωφελοῖμ' ἐγώ;
ΑΝ. σῶσον σεαυτήν. οὐ φθονῶ σ' ὑπεκφυγεῖν.
ΙΣ. οἴ μοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;
ΑΝ. σὺ μὲν γὰρ εἵλου ζῆν· ἐγὼ δὲ, κατθανεῖν.
ΙΣ. ἀλλ' οὐκ ἐπ' ἀῤῥήτοις γε τοῖς ἐμοῖς λόγοις.
ΑΝ. καλῶς σὺ μέν τοι· τοῖσδ' ἐγὼ 'δόκουν φρονεῖν.
ΙΣ. καὶ μὴν ἴση νῷν ἐστιν ἡ 'ξαμαρτία.
ΑΝ. θάρσει. σὺ μὲν ζῇς· ἡ δ' ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν, ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.
ΚΡ. τὼ παῖδε φημὶ τώδε, τὴν μὲν ἀρτίως
ἄνουν πεφάνθαι, τὴν δ' ἀφ' οὗ τὰ πρῶτ' ἔφυ.
ΙΣ. οὐ γάρ ποτ', ὦ 'ναξ, οὐδ' ὃς ἂν βλαστῇ μένει

551. ἀλγοῦσα μὲν---gl. εἰ, ὥσπερ οἴει, σὺν γέλωτι ταῦτα προφέρω σοι, λυπουμένη προφέρω.

552. σ' ἐπωφελοῖμ'. Sic bene in E. In aliis σ' ἔτ' ὠφελοῖμ', vel, quod deterius est, σέ σ' ὠφελοῖμ'.

557. καλῶς σὺ μέντοι. Sic optime Scholiastes. E præcedenti nomine λόγοις assumendum verbum ἔλεγες. In membr. et in Aldina σὺ μὲν τοῖς. In E. T. σὺ μὲν θεοῦ, cum glossa, ἤγουν ἄριστα τούτοις προσετίθης ἐν μόνῳ λόγῳ, καὶ οὐκ ἐφρόνεις ὥσπερ ἐγώ. In August. σὺ μέν θ' οὖ, superscriptum ἢ οὐ. Unde hanc lectionem elicias: καλῶς σὺ μέν τ' οὔ. id est σὺ μέν τοι οὐ καλῶς ἔλεγες: quod a sensu nostræ lectionis non multùm abludit: quippe nostra morata est, nimirum ironica; et idcirco melior.

563. ὃς ἂν βλαστῇ. Apud Eustathium, p. 720. ὃς ἂν βλαστοῖ, male.

νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται.
ΚΡ. σοὶ γοῦν, ὅθ' εἵλου ξὺν κακοῖς πράσσειν κακά.
ΙΣ. τί γὰρ μόνῃ μοι τῆσδ' ἄτερ βιώσιμον;
ΚΡ. ἀλλ' ΗΔΕ μέν τοι μὴ λέγ'. οὐ γὰρ ἔστ' ἔτι.
ΙΣ. ἀλλὰ κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου;
ΚΡ. ἀρώσιμοι γὰρ χἀτέρων εἰσὶν γύαι.
ΙΣ. οὐχ ὥς γ' ἐκείνῳ τῇδέ τ' ἦν ἡρμοσμένα.
ΚΡ. κακὰς ἐγὼ γυναῖκας, υἱάσι στυγῶ.
ΙΣ. ὦ φίλταθ' Αἷμον, ὥς σ' ἀτιμάζει πατήρ.
ΚΡ. ἄγαν γε λυπεῖς, καὶ σύ, καὶ τὸ σὸν λέχος.
ΙΣ. ἦ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον;
ΚΡ. Ἅδης ὁ παύσων τούσδε τοὺς γάμους ἔφυ.

In seq. v. πράσσουσιν exhibent E. T. Perperam Aldus πράττουσιν.

565. ξὺν κακοῖς. Sic August. optime. Gl. σὺν τῇ ἀδελφῇ. In E. T. σὺν κακῇ. In membr. ut apud Aldum, σὺν κακῷ. Sincerum est quod prætulimus, et tragico stylo congruum: nomen plurale cum emphasi singularem personam notans. Vide ad Œd. T. 366. et 1403.

567. ἀλλ' ΗΔΕ μέντοι μὴ λέγ'. Sic legendum. Materialiter, ut aiunt, positum est hîc ἥδε, repetitum ex τῆσδ' in præc. versu. Optima glossa est in August. τὸ ἥδε. Id est, ἀλλὰ μέντοι μὴ λέγε τὸ ἥδε. In membr. et T. ut apud Aldum, ἀλλ' ἥδε μέν σοι μὴ λέγ'. In E. ἀλλ' ἥδε μέν τοι σοὶ μὴ λέγ'. Nemo non videt μέντοι unice verum esse. Sæpissime σοι et τοι commutantur, unde orta obscuritas Aldinæ lectionis, quæ tamen longe præferenda absurdæ conjecturæ nuperi Parisini editoris, qui post μὲν σοὶ, reticentiam esse fingit, et pro μὴ λέγε, μὴ ἄλεγε legit, duplici elisione, hoc sensu: *sed hæc quidem tibi . . . desine curare. non enim jam est.* Ἀποσιωπήσεως plurima exempla sunt apud hunc Tragicum. Verum quotiescunque hac figura utuntur poëtæ vel oratores, quivis vel obtusior ex ante dictis, vel ex affectu loquentis personæ, perspicit quidnam sit, quod supprimatur. At hîc nemo, opinor, divinaverit, quid additurus erat Creon post hæc verba, *Sed hæc quidem tibi* . . . nisi ejus sermonem emendator abrupisset.

569. ἀρώσιμοι. Perperam Aldus et membr. ἀρώσιμαι. Vide Taubmannum ad Plauti Asinariam v. 2. 23.

572. Hunc versum Aldus et Turnebus Antigonæ tribuunt contra meliorum codd. fidem, etiam illius qui Sophoclem a Triclinio recensitum exhibet. Doctos viros fefellit istud sequentis versus τὸ σὸν λέχος, quod soli Antigonæ convenire opinati sunt. At ibi τὸ σὸν λέχος non valet *nuptiæ tuæ*, quatenus illa cui hoc dicitur nuptura fuisset, sed *nuptiæ quas crepas*, τὸ ὑπὸ σοῦ ὀνομαζόμενον λέχος, ut bene Scholiastes exponit. Sic El. 1110. οὐκ οἶδα τὴν σὴν κληδόν'. Philoct. 1251. τὸν σὸν οὐ ταρβῶ φόβον. Eurip. Heracl. 285. τὸ σὸν γὰρ Ἄργος οὐ δέδοικ' ἐγώ. Id est ὃ κομπεῖς Ἄργος.

ΙΣ. δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν.
ΚΡ. καὶ σοί γε κἀμοί. μὴ τριβὰς ἔτ', ἀλλά νιν
κομίζετ' εἴσω, δμῶες· ἐκ δὲ τοῦδε χρὴ
γυναῖκας εἶναι τάσδε μηδ' ἀνειμένας.
φεύγουσι γάρ τοι χ' οἱ θρασεῖς, ὅταν πέλας
ἤδη τὸν Ἅδην εἰσορῶσι τοῦ βίου.

## ΧΟΡΟΣ.

Εὐδαίμονες, οἷσι κακῶν — στροφὴ α'.
ἄγευστος αἰών. οἷς γὰρ ἂν
σεισθῇ θεόθεν δόμος, ἄτας
οὐδὲν ἐλλείπει, γενεᾶς
ἐπὶ πλῆθος ἕρπον·
ὁμοῖον ὥστε ποντίας ἁλὸς
οἶδμα, δυσπνόοις ὅταν
Θρήσσῃσιν ἔρεβος ὕφαλον ἐπιδράμῃ πνοαῖς,
κυλίνδει βυσσόθεν κελαινὰν
θῖνα καὶ δυσάνεμον,
στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταί.
ἀρχαῖα τὰ Λαβδακιδᾶν — ἀντιστρ. α'.
οἴκων ὁρῶμαι πήματα
φθιμένων ἐπὶ πήμασι πίπτοντ'·
οὐδ' ἀπαλλάσσει γενεὰν
γένος, ἀλλ' ἐρείπει
θεῶν τις, οὐδ' ἔχει μίαν λύσιν.

577. *μὴ τριβὰς ἔτ'.* Sic libri omnes, quos corruptos esse pronuntiat Toupius ad Suidam iii. 163. legendum statuens, *μὴ τριβάζετ'.* Mihi cum erudito viro non amplius convenit; quin sinceram esse vulgatam lectionem aio. Supprimitur verbum nomini *τριβὰς* aptum, *ἐμβάλλετε*, *ποιεῖτε*, vel simile. Estque hæc ellipsis elegans, in familiari sermone valde usitata. Sic Cicero libro de Finibus, ii. 6. *Tum ille, Finem, inquit, interrogandi, si videtur.* et iv. extremo: *Scrupulum, inquam, abeunti: sed videbimus.* Ubi verba itidem supprimuntur. Iratum autem et festinantem Creontem maxime convenit quam paucissimis mandata sua complecti.

598. *οὐδ' ἔχει μίαν λύσιν.* Libri omnes, *οὐδ' ἔχει λύσιν*, defecto versu. Vocem *μίαν* addidi ex conjectura quam firmat ipse Tragicus in El. 142. *ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν.*

νῦν γὰρ ἐσχάτας ὑπὲρ
ῥίζας ἐτέτατο φάος ἐν Οἰδίπου δόμοις·
κἀτ' αὖ νιν θεῶν φοινία τῶν
νερτέρων ἀμᾷ κοπὶς,
λόγου τ' ἄνοια, καὶ φρενῶν Ἐρινύς.
τεὰν, Ζεῦ, δύνασιν τίς ἀνδρῶν στροφὴ β'.
ὑπερβασίᾳ κατάσχῃ,
τὰν οὔθ' ὕπνος αἱρεῖ ποθ' ὁ παντογήρως,
οὔτε θεῶν ἀκάματοι
μῆνες; ἀγήρως χρόνῳ δυνάστας
κατέχεις Ὀλύμπου
μαρμαρόεσσαν αἴγλαν.
τό τ' ἔπειτα, καὶ τὸ μέλλον,
καὶ τὸ πρὶν ἐπαρκέσει
νόμος ὅδ'· οὐδὲν ἕρπει
θνατῶν βιότῳ πάμπολύ γ' ἐκτὸς ἄτας.
ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς ἀντιστρ. β'.
πολλοῖς μὲν ὄνασις ἀνδρῶν,
πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων·
εἰδότι δ' οὐδὲν, προσέρπει,

601. *θεῶν φοινία τῶν*. Hoc ordine dispositæ sunt voces in E. Vulgo *φοινία θεῶν τῶν*. Immo Aldus *φονία*.

602. *κόπις*. Vulgo *κόνις* ineptissime. Meritis laudibus extollit egregiam hanc emendationem Heathius, qua nihil verius. Vide Fragm. inc. lxxxiv.

605. *κατάσχῃ*. Sic in E. Vulgo *κατάσχοι*. Optativus in hac loquendi forma non adhibetur, nisi cum particula *ἂν*.

607. *οὔτε θεῶν ἀκάματοι*. In Aldina *οὐδ' ἀκάματοι θεῶν*. At recte Scholiastes legit *οὔτ'*.

608. *ἀγήρως χρόνῳ δυνάστας*. Sic optime in E. In membr. ut apud Aldum, *ἀγήρῳ δὲ χρόνῳ*. Particulam *δὲ* metrum respuit. Versus est antispasticus dimeter brachycatal. ut versus 619.

614. *πάμπολύ γ' ἐκτὸς ἄτας*. Sic optime emendat Heathius. Vulgo *πάμπολις ἐκτὸς ἄτας*. Istud *πάμπολις*, quod saltem cum *οὐδὲν* genere congruere deberet, glossa exponit *παγκόσμιος*; nec sic inde ullus tolerabilis sensus exoritur.

618. *εἰδότι δ' οὐδὲν προσέρπει*. Libri omnes, syllaba deficiente ad metri integritatem, *ἕρπει*. Præpositio, quæ huic verbo adjungi debebat, verbo sequentis versus librariorum errore adhæsit. Perperam in aliis libris *προσφαύσῃ*, in aliis *προσάρῃ*.

πρὶν πυρὶ θερμῷ πόδα τις ψαύσῃ.
σοφίᾳ γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται·
Τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
τῷδ' ἔμμεν, ὅτῳ φρένας
θεὸς ἄγει πρὸς ἄταν·
πράσσειν δ' ὀλιγοστὸν χρόνον ἐκτὸς ἄτας.
ὅδε μὴν Αἵμων, παίδων τῶν σῶν
νέατον γέννημ'· ἆρ' ἀχνύμενος
τῆς μελλογάμου
τάλιδος ἥκει μόρον Ἀντιγόνης,
ἀπάτας λεχέων ὑπεραλγῶν;

ΚΡ. Τάχ' εἰσόμεσθα μαντέων ὑπέρτερον.
ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων
τῆς μελλονύμφου, πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;

## ΑΙΜΩΝ.

πάτερ, σός εἰμι· καὶ σύ μοι γνώμας ἔχων
χρηστὰς ἀπορθοῖς, αἷς ἔγωγ' ἐφέψομαι.
ἐμοὶ γὰρ οὐδεὶς ἀξίως ἔσται γάμος
μείζων φέρεσθαι, σοῦ καλῶς ἡγουμένου.

621. πέφανται. ἀπεφάνθη, ἐγνωματεύθη. Eustathius, p. 1728.

625. πράσσειν. Perperam libri omnes πράσσει. Bina verba δοκεῖν et πράσσειν eadem constructionis lege tenentur.

628. τῆς μελλογάμου τάλιδος. Aldus et veteres codices τῆς μελλογάμου νύμφης τάλιδος. Vox νύμφης interpretatio est nominis τάλιδος et ex interlineari glossa in textum irrepsit. Voces τῆς μελλογάμου Triclinius rejecit, quæ etiam pro glossemate haberi possint. At obstat Pollux qui eas pro genuinis agnoscit iii. 45. et probabile est hoc epitheto rarius nomen poëtam ipsum interpretari voluisse. Hesych. Τάλις. ἡ μελλόγαμος παρθένος, καὶ κατωνομασμένη τινί· οἱ δὲ, γυναῖκα γαμετήν· οἱ δὲ, νύμφην. Vox est Æolica: nugatur Eustathius qui eam a verbo ταλάω deducit, p. 962. ἐκ τοῦ ταλάω γίνεται καὶ ταλασίφρων, καὶ ταλασιουργεῖν ἐπὶ γυναικῶν, τὸ ἐμμένειν ἔργοις καὶ ταλασίᾳ. ἴσως δὲ καὶ ἡ παρὰ τῷ τραγικῷ τάλις, τουτέστι μελλόγαμος παρθένος, μελλονύμφη, ὡς καὶ αὐτὴ ταλασίαν ἀσκοῦσα.

ΚΡ. οὕτω γὰρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,
γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι.
τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,
ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
καὶ τὸν φίλον τιμῶσιν ἐξ ἴσου πατρί.
ὅστις δ' ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὑτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
μή νύν ποτ', ὦ παῖ, τὰς φρένας ὑφ' ἡδονῆς,
γυναικὸς οὕνεκ', ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο γίγνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις. τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;
ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ, μέθες
τὴν παῖδ' ἐν Ἅιδου τήνδε νυμφεύειν τινί.
ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ
πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην,
ψευδῆ γ' ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. πρὸς ταῦτ' ἐφυμνείτω Δία
Ξύναιμον. εἰ γὰρ δῆτα τἀγγενῆ φύσει
ἄκοσμα θρέψω, κάρτα τοὺς ἔξω γένους.
ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ' ἀνὴρ
χρηστὸς, φανεῖται κἀν πόλει δίκαιος ὤν.

645. φιτύει. Aldus et codd. mendose φυτεύει, claudicante versu. Prima in φιτύω producitur, corripitur in φυτεύω. Æschylus Prom. 233.— ἀλλ' ἀϊστώσας γένος Τὸ πᾶν, ἔχρῃζεν ἄλλο φιτῦσαι νέον. Eurip. Alcest. 301. Σοῦ κατθανόντος, ἄλλα φιτύσειν τέκνα. et 1159. Εὐδαιμονοίης, καί σ' ὁ φιτύσας πατήρ. Vide quæ notavimus ad Apollonii Argon. iv. 807.

648. τὰς φρένας ὑφ' ἡδονῆς. In T. τὰς φρένας γ' ὑφ' ἡδονῆς. Recte. Sine hoc fulcro stare nequit versus: nam ultima in φρένας brevis est.

659. Depravata est in libris omnibus hujus versus scriptura. Alii habent εἰ γὰρ δὴ τάδ' ἐγγενῆ: alii, εἰ γὰρ δὴ τά τ' ἐγγενῆ. Quivis paulo tritior in Tragicorum lectione videre poterat scribi debuisse, εἰ γὰρ δῆτα τἀγγενῆ. Crasis ex τὰ ἐγγενῆ est τἀγγενῆ.

ὅστις δ' ὑπερβὰς ἢ νόμους βιάζεται,
ἢ τοὐπιτάσσειν τοῖς κρατοῦσιν ἐννοεῖ,
οὐκ ἔστ' ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
ἀλλ' ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν,
καὶ σμικρὰ, καὶ δίκαια, καὶ τἀναντία.
καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ
καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλειν·
δορός τ' ἂν ἐν χειμῶνι προστεταγμένον
μένειν δίκαιον κἀγαθὸν παραστάτην.
ἀναρχίας γὰρ μεῖζον οὐκ ἔστιν κακόν.
αὕτη πόλεις τ' ὄλλυσιν, ἥδ' ἀναστάτους
οἴκους τίθησιν· ἥδε σὺν μάχῃ δορὸς
τροπὰς καταῤῥήγνυσι· τῶν δ' ὀρθουμένων
σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία.
οὕτως ἀμυντέ' ἐστὶ τοῖς κοσμουμένοις,
κοὔ τοι γυναικὸς οὐδαμῶς ἡσσητέα.
κρεῖσσον γὰρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν·
κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν.

ΧΟ. ἡμῖν μὲν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα,
λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.

ΑΙ. πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας,
πάντων, ὅσ' ἐστὶ, χρημάτων ὑπέρτατον.
ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε,
οὔτ' ἂν δυναίμην, μήτ' ἐπισταίμην λέγειν·
γένοιτο μέν-τ' ἂν χἀτέρῳ καλῶς ἔχον.
σοῦ δ' οὖν πέφυκα πάντα προσκοπεῖν, ὅσα
λέγει τις, ἢ πράσσει τις, ἢ ψέγειν ἔχει.

667. καὶ δίκαια, καὶ τἀναντία. Sic Corinthius rex Medeæ ait apud Senecam: Æquum atque iniquum regis imperium feras. τἀναντία notat καὶ μεγάλα καὶ ἄδικα.

688. σοῦ. Sic August. et E. In aliis ut apud Aldum, σοί. Verbo προσκοπεῖν superscripta glossa ὑπὲρ, qua declaratur potestas præpositionis πρὸ in compositione: πέφυκα δ' οὖν πάντα σκοπεῖν ὑπὲρ σοῦ. In membr. non προσκοπεῖν scriptum, sed simplex σκοπεῖν.

τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ,
λόγοις τοιούτοις, οἷς σὺ μὴ τέρψει κλύων·
ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε,
τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις,
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει·
ἥ τις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον, μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι, μήθ' ὑπ' οἰωνῶν τινος.
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς τυχεῖν;
τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις.
ἐμοὶ δὲ, σοῦ πράσσοντος εὐτυχῶς, πάτερ,
οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
τί γὰρ πατρὸς θάλλοντος, εὐκλείας τέκνοις
ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;
μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει,
ὡς φῂς σὺ, κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν.
ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
ἢ γλῶσσαν, ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες, ὤφθησαν κενοί.
ἀλλ' ἄνδρα, κἤν τις ᾖ σοφὸς, τὸ μανθάνειν
πόλλ', αἰσχρὸν οὐδὲν, καὶ τὸ μὴ τείνειν ἄγαν.
ὁρᾷς παρὰ ῥείθροισι χειμάῤῥοις ὅσα
δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται·
τὰ δ' ἀντιτείνοντ', αὐτόπρεμν' ἀπόλλυται.
αὕτως δὲ ναὸς ὅστις ἐγκρατὴς, πόδα

699. τιμῆς τυχεῖν. Libri omnes λαχεῖν. Vide ad El. 364.

712. παρὰ ῥείθροισι. Sic divisim et emendate scriptum in E. T. August. et apud Eustathium duobus in locis. Ad pronuntiandi rationem in aliis codd. παραῤῥείθροισι. Vide quæ notavimus ad Æschyli Prom. 1031. Comparationem hanc, verbis ex parte mutatis, traduxit ad vinolentiæ laudem Antiphanes, cujus parœdiam profert Eustathius, p. 1612. ex Athenæo, p. 23.—Τὸ δὲ ζῆν εἰπέ μοι τί ἐστι.—Τὸ πίνειν, φήμ' ἐγώ. Ὁρᾷς παρὰ ῥείθροισι χειμάῤῥοις ὅσα Δένδρων ἀεὶ τὴν νύκτα καὶ τὴν ἡμέραν Βρέχεται, μέγεθος καὶ κάλλος οἷα γίγνεται· Τὰ δ' ἀντιτείνοντ', οἱονεὶ δίψαν τινὰ Ἢ ξηρασίαν σχόντ' αὐτόπρεμν' ἀπόλλυται.

τείνας, ὑπείκει μηδὲν, ὑπτίοις, κάτω
στρέψας, τὸ λοιπὸν σέλμασιν ναυτίλλεται.
ἀλλ' εἶκε θυμοῦ, καὶ μετάστασιν δίδου.
γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ,
φῦναι τὸν ἄνδρα πάντ' ἐπιστήμης πλέων·
εἰ δ' οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν,
καὶ τῶν λεγόντων εὖ, καλὸν τὸ μανθάνειν.

ΧΟ. ἄναξ, σέ τ' εἰκὸς, εἴ τι καίριον λέγει,
μαθεῖν, σέ τ' αὖ τοῦδ'· εὖ γὰρ εἴρηται διπλᾶ.

ΚΡ. οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ
φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;

ΑΙ. μηδὲν τὸ μὴ δίκαιον· εἰ δ' ἐγὼ νέος,
οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.

ΚΡ. ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν;

ΑΙ. οὐδ' ἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τοὺς κακούς.

ΚΡ. οὐχ ἥδε γὰρ τοιᾷδ' ἐπείληπται νόσῳ;

ΑΙ. οὔ φησι Θήβης τῆσδ' ὁμόπτολις λεώς.

ΚΡ. πόλις γὰρ ἡμῖν ἅ'μὲ χρὴ τάσσειν ἐρεῖ;

ΑΙ. ὁρᾷς τόδ' ὡς εἴρηκας ὡς ἄγαν νέος;

ΚΡ. ἄλλῳ γὰρ ἢ 'μοὶ χρή γε τῆσδ' ἄρχειν χθονός;

ΑΙ. πόλις γὰρ οὐκ ἔσθ', ἥτις ἀνδρός ἐσθ' ἑνός.

ΚΡ. οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;

ΑΙ. καλῶς. ἐρήμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος.

ΚΡ. ὅδ', ὡς ἔοικε, τῇ γυναικὶ συμμαχεῖ.

718. εἶκε θυμοῦ. Sic August. et T. In aliis, ut apud Aldum, contra sententiam εἶκε θυμῷ.

721. πλέων. Sic in August. In aliis πλέω. Vide ad Œd. Col. 1162.

722. εἰ δ' οὖν elliptice, negativa sententia, ob negationem e posteriori membro in prius ἀπὸ κοινοῦ repetendam. εἰ δ' οὖν μὴ τοιοῦτος ἔφυ, οὐ γὰρ φιλεῖ ταύτῃ ῥέπειν τοῦτο, ἤγουν τὸ εἶναι ἐκ φύσεως τινὰ τοιοῦτον.

734. ἅ'μὲ χρὴ—Sic August. et E. recte. ἅ'μὲ per crasin coaluit ex ἃ ἐμὲ, unde prior producitur: cujus rei ignoratio alîus lectionis causa fuit, ἅ ν με. Nullus hîc locus est particulæ ἄν. Eurip. Troad. 656. Παρεῖχον· ἤδη δ' ἅ'μὲ χρῆν νικᾷν πόσιν. Perperam ibi excusum ἅ με.

740. συμμαχεῖ. Sic membr. In E.

ΑΙ. εἴπερ γυνὴ σύ. σοῦ γὰρ οὖν προκήδομαι.
ΚΡ. ὦ παγκάκιστε, διὰ δίκης ἰὼν πατρί.
ΑΙ. οὐ γὰρ δίκαιά σ' ἐξαμαρτάνονθ' ὁρῶ.
ΚΡ. ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;
ΑΙ. οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.
ΚΡ. ὦ μιαρὸν ἦθος, καὶ γυναικὸς ὕστερον.
ΑΙ. οὐκ ἂν γ' ἕλοις ἥσσω με τῶν αἰσχρῶν ποτε.
ΚΡ. ὁ γοῦν λόγος σοι πᾶς ὑπὲρ κείνης ὅδε.
ΑΙ. καὶ σοῦ γε, κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων.
ΚΡ. ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς.
ΑΙ. ἥδ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά.
ΚΡ. ἢ κἀπαπειλῶν ὧδ' ἐπεξέρχῃ θρασύς;
ΑΙ. τίς δ' ἔστ' ἀπειλὴ, πρὸς κενὰς γνώμας λέγειν;
ΚΡ. κλαίων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.
ΑΙ. εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.
ΚΡ. γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με.
ΑΙ. βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν;
ΚΡ. ἄληθες; ἀλλ' οὐ, τόνδ' Ὄλυμπον, ἴσθ' ὅτι,
χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμέ.
ἄγετε τὸ μῖσος, ὡς κατ' ὄμματ' αὐτίκα
παρόντι θνήσκῃ πλησία τῷ νυμφίῳ.

συμμαχεῖν, haud deterius. Sic Trach. 1238. Ἀνὴρ ὅδ' ὡς ἔοικεν οὐ νεμεῖν ἐμοὶ Φθίνοντι μοῖραν.

747. Inconcinne vulgo legitur, οὐκ ἂν γ' ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ. Neminem non offendat bis pósita in hoc versu paticula γε.

756. γυναικὸς ὢν δούλευμα, id est δοῦλος. Res pro persona, ut Œdip. T. 85. Sic Eurip. Bacchis, 792. δουλεύοντα δουλείαις ἐμαῖς. id est δούλαις. Idem Or. 924. Εἰ τἄνδον οἰκουρήμαθ' οἱ λελειμμένοι Φθείρουσιν. id est τὰς ἔνδον οἰκουροὺς γυναῖκας. Androm. 446. Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια. Ibidem male curiosæ mulieres, prava dantes consilia, appellantur ποικίλα λαλήματα. Hoc schema Latinis etiam usitatum. Cicero de Oratore, iii. 42. *Quo item in genere et virtutes et vitia pro ipsis, in quibus illa sunt, appellantur.*

759. δεννάσεις, ὑβρίσεις. Hesych. δεννάζων, λοιδορῶν. Quæ glossa pertinet ad Aj. 243. a nomine δέννος, quo utitur Herodotus l. ix. cap. 107. παρὰ δὲ τοῖσι Πέρσῃσι, γυναικὸς κακίω ἀκοῦσαι, δέννος μέγιστός ἐστι. Eustathius laudato Herodoto ad Il. η'. p. 668. addit; δέννον δὲ λέγει τὴν ὕβριν, ἐξ οὗ τὸ δεννάζειν παρὰ Σοφοκλεῖ. Occurrit hoc verbum etiam in Eurip. Rheso, 928. 954. et in Theognidis Gnomis, 1163.

ΑΙ. οὐ δῆτ' ἔμοιγε, τοῦτο μὴ δόξῃς ποτὲ,
οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' οὐδαμᾶ
τοὐμὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν,
ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ ξυνών.
ΧΟ. ὡ'νὴρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχύς·
νοῦς δ' ἔστι τηλικοῦτος ἀλγήσας, βαρύς.
ΚΡ. δράτω, φρονείτω μεῖζον, ἢ κατ' ἄνδρ', ἰών·
τὰ δ' οὖν κόρα τάδ' οὐκ ἀπαλλάξει μόρου.
ΧΟ. ἄμφω γὰρ αὐτὰ καὶ κατακτεῖναι νοεῖς;
ΚΡ. οὐ τήν γε μὴ θιγοῦσαν. εὖ γὰρ οὖν λέγεις.
ΧΟ. μόρῳ δὲ ποίῳ καί σφε βουλεύῃ κτανεῖν;
ΚΡ. ἄγων ἔρημος ἔνθ' ἂν ᾖ βροτῶν στίβος,
κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι,
φορβῆς τοσοῦτον, ὡς ἄγος μόνον, προθεὶς,
ὅπως μίασμα πᾶσ' ὑπεκφύγῃ πόλις.
κἀκεῖ τὸν Ἅδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που, τεύξεται τὸ μὴ θανεῖν,
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ', ὅτι
πόνος περισσός ἐστι τἀν Ἅδου σέβειν.

## ΧΟΡΟΣ.

Ἔρως ἀνίκατ', ἀμάχαν' στροφὴ α'.

765. ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ ξυνών. Sic optime T. juxta Scholiastam. Pro μαίνῃ Aldus habet μένῃ, solemni errore quo αι et ε confunduntur. In ceteris codd. pejore depravatione vel μενεῖς vel μένεις.

766. ὡ'νήρ. Perperam vulgo ἀνήρ.

776. ὑπεκφύγῃ. Sic recte August. et T. In aliis ὑπεκφύγοι.

781. ἀνίκατ', ἀμάχαν' Ἔρως. Libri omnes ἀνίκατε μάχαν. De Sophocle male meritus fuissem, nisi elegantissimam emendationem Tib. Hemsterhuys recepissem, Valckenario ad Hippol. 525. merito probatam. Quæ sequuntur verba, ὃς ἐν κτήμασι πίπτεις, a veteri enarratore male fuerunt accepta. Parum valet ad vim Amoris declarandam, si dicatur opulentos invadere. Libidinem fovent divitiæ; sed vel pauper amare possit: aliena est prorsus a poëtæ sententia opulentiæ mentio. Grotius hunc sensum merito damnavit, quumque e propositis verbis non alium meliorem elicere posset, ea male affecta censuit, et bene sibi visus est emendare, reponendo, ὃς ἐν ὄμμασιν ἵπτῃ, quod quidem nemini Sophocleum videri possit. Non melior est Heathii conjectura, ὃς ἐν

Ἔρως, ὃς ἐν κτήμασι πίπτεις,
ὃς ἐν μαλακαῖς παρειαῖς
νεάνιδος ἐννυχεύεις·
φοιτᾷς δ' ὑπερπόντιος, ἔν τ'
ἀγρονόμοις αὐλαῖς·
καί σ' οὔτ' ἀθανάτων
φύξιμος οὐδεὶς,
οὔθ' ἁμερίων ἔπ' ἀν-
θρώπων· ὁ δ' ἔχων, μέμηνε.
σὺ καὶ δικαίων ἀδίκους ἀντιστρ. α'.
φρένας παρασπᾷς ἐπὶ λώβᾳ·
σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
ξύναιμον ἔχεις ταράξας·
νικᾷ δ' ἐναργὴς βλεφάρων
ἵμερος εὐλέκτρου
νύμφας, τῶν μεγάλων
πάρεδρος ἐν ἀρχαῖς
θεσμῶν· ἄμαχος γὰρ ἐμ-

γλήνεσι πίπτεις. Alia sunt aliorum somnia, quæ si reticeam, lectorum saltem gratiam initurum me confido. Summa sententiæ est, *Amor omnia domat,* quod ostenditur enumeratione animantium omnium, quorum varia genera vel diserte nominantur, vel a sedibus quas incolunt, innuuntur. Primo loco τὰ κτήματα, seu τὰ κτήνη nominat poëta. Si quid contra librorum fidem mutandum esset, pro κτήμασι legerem κτήνεσι. Hesych. κτήνη, βοσκήματα. Sed non video cur eadem significatio nomini κτῆμα tribui non potuerit, maxime in chorico cantico, cujus indoles pene dithyrambica ejusmodi metonymias affectat. Servata hac lectione venuste repetitur articulus ὅς, cujus insubida iteratio esset, si vel ὄμμασι vel γλήνεσι legeretur, quorum utrumlibet ad νεάνιδος referendum esset. Nemo non sentit scripturum fuisse poëtam, ὃς ἐν γλήνεσι πίπτεις, μαλακαῖσί τ' ἐν παρειαῖς νεάνιδος ἐννυχεύεις. Postrema hæc expressit Horatius in carmine ad Lycen: Ille virentis et Doctæ psallere Chiæ Pulchris excubat in genis. Ad quem locum Bentleius Plutarchum in *Amatorio* emendat, quem diu ante eum suppleverat et elegantissimis observationibus illustraverat Bernardus Martinus Var. Lect. ii. 6.

787. καὶ σὲ οὐδεὶς φύξιμος. Verbale casum verbi sui regit, quod utriusque linguæ scriptoribus solemne est. Plautus in Aulul. *Quid tibi ergo meam, me invito, tactio est?* Perperam hic glossa σ' interpretatur σοί.

789. ἔπ'. gl. ἔπεσι.

παίζει θεὸς Ἀφροδίτα.
νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν δ'
οὐκ ἔτι πηγὰς δύναμαι δακρύων,
τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον
τήνδ' Ἀντιγόνην ἀνύτουσαν.
ΑΝ. ὁρᾶτέ μ', ὦ γᾶς πατρίας πολῖται, στροφὴ β'.
τὰν νεάταν ὁδὸν
στείχουσαν, νέατον δὲ φέγγος
λεύσσουσαν ἀελίου,
κοὔ ποτ' αὖθις· ἀλλ' ἔμ' ὁ παγκοίτας
Ἀΐδας ζῶσαν ἄγει
τὰν Ἀχέροντος
ἀκτάν, οὔθ' ὑμεναίων
ἔγκληρον, οὔτ' ἐπινυμφίδιός
πω μέ τις ὕμνος
ὕμνησεν, ἀλλ' Ἀχέροντι νυμφεύσω.
ΧΟ. οὐκοῦν κλεινὴ καὶ ἔπαινον ἔχουσ'
ἐς τόδ' ἀπέρχῃ κεῦθος νεκύων,
οὔτε φθινάσι πληγεῖσα νόσοις,
οὔτε ξιφέων ἐπίχειρα λαχοῦσ'·
ἀλλ' αὐτόνομος, ζῶσα, μόνη δὴ
θνατῶν, Ἀΐδαν καταβήσει.
ΑΝ. ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι ἀντιστρ. β'.
τὰν Φρυγίαν ξέναν
Ταντάλου, Σιπύλῳ πρὸς ἄκρῳ·
τάν, κισσὸς ὡς ἀτενής,
πετραία βλάστα δάμασεν· καί νιν
ὄμβρῳ τακομέναν,
ὡς φάτις ἀνδρῶν,
χιών τ' οὐδαμὰ λείπει,
τέγγει θ' ὑπ' ὀφρύσι παγκλαύστοις

805. ἀνύτουσαν. gl. ἐρχομένην εἰς τὸν θάλαμον—Vide ad Œd. Col. 1562.

δειράδας· ἃ με
δαίμων ὁμοιοτάταν κατευνάζει.
ΧΟ. ἀλλὰ θεός τοι καὶ θεογεννής·
ἡμεῖς δὲ βροτοὶ καὶ θνητογενεῖς.
καί τοι φθιμένᾳ μέγ' ἀκοῦσαι,
τοῖσιν ἰσοθέοις ἔγκληρα λαχεῖν.
ΑΝ. οἴ μοι γελῶμαι. τί με, πρὸς στροφὴ γ'.
θεῶν πατρῴων,
οὐκ ὀλομέναν ὑβρίζεις,
ἀλλ' ἐπίφαντον;
ὦ πόλις, ὦ πόλεως
πολυκτήμονες ἄνδρες·
ἰὼ Διρκαῖαι κρῆναι,
Θήβας τ' εὐαρμάτου ἄλσος· ἔμπας
ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι,
οἷα φίλων ἄκλαυστος, οἵοις
νόμοις πρὸς ἕργμα τυμβόχωστον
ἔρχομαι τάφου ποταινίου·
ἰὼ δύστανος,
οὔτ' ἐν βροτοῖς οὔτ' ἐν νεκροῖσι
μέτοικος, οὐ ζῶσιν, οὐ θανοῦσι.
ΧΟ. προβᾶσ' ἐπ' ἔσχατον θράσους,
ὑψηλὸν ἐς Δίκας βάθρον
προσέπαισας, ὦ τέκνον, πολύ.
πατρῷον ἐκτίνεις τιν' ἆθλον.
ΑΝ. ἔψαυσας ἀλγεινοτάτας ἀντιστρ. γ'.
ἐμοὶ μερίμνας,

837. τοῖσιν ἰσοθέοις. Sic recte scriptum in T. alii τοῖς. Atticis prima in ἶσος semper corripitur.

846. ἐπικτῶμαι. gl. λαμβάνω.

847. φίλων ἄκλαυστος. gl. ὑπὸ τούτων γὰρ ἂν ἐκλαύθην θανοῦσα. Aldus, qui supra, v. 831. bene dedit παγκλαύστοις, hic et infra, 876. habet ἄκλαυτος. Utroque in loco E. sinceram scripturam exhibet.

855. προσέπαισας. gl. προσέκρουσας. Perperam Aldus et membr. προσέπεσες, ut legisse videtur etiam Scholiastes.

πατρὸς τριπόλιστον * οἶτον,
τοῦ τε πρόπαντος
ἁμετέρου πότμου
κλεινοῖς Λαβδακίδαισιν.
ἰὼ ματρῷαι λέκτρων
ἆται, κοιμήματ' αὐτογέννητ'
ἐμῷ πατρὶ δυσμόρου ματρός,
οἵων ἐγώ ποθ' ἁ ταλαίφρων
ἔφυν· πρὸς οὓς ἀραῖος, ἄγαμος,
ἅδ' ἐγὼ μέτοικος ἔρχομαι.
ἰὼ δυσπότμων
κασίγνητε γάμων κυρήσας,
θανὼν ἔτ' οὖσαν κατήναρές με.

ΧΟ. σέβειν μὲν, εὐσέβειά τις·
κράτος δ', ὅτῳ κράτος μέλει,
παραβατὸν οὐδαμῆ πέλει.
σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.

ΑΝ. ἄκλαυστος, ἄφιλος, ἀνυμέναιος,
ταλαίφρων ἄγομαι τάνδ'
ἑτοίμαν ὁδόν. οὐκ ἔτι
μοι τόδε λαμπάδος ἱερὸν ὄμμα
θέμις ὁρᾷν ταλαίνᾳ·
τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον
οὐδεὶς φίλων στενάζει.

* οἶκτον edd. 1. 2.

859. πατρὸς τριπόλιστον οἶτον. gl. λέγω πολυθρύλλητον καὶ πάνδημον δυστυχίαν, ἣν πᾶς ἰλεεῖ. Nempe accusativus τριπόλιστον οἶτον, non a verbo ἔψαυσας, quod cum patrio casu construitur, sed a suppresso verbo pendet, λέγω. Pro οἶτον, quod a manu poëtæ esse manifestum est, perperam in textu scriptum οἶκτον, et in scholiis οἶκον. Veram scripturam utrobique restituimus.

862. κλεινοῖς Λαβδακίδαισιν, pro κλεινῶν Λαβδακιδῶν. Schema Colophonium, de quo vide Musgravium Exercitat. in Eurip. i. 7. et quæ notavimus ad Phœnissas 85.

884. εἰ χρείη. Perperam in libris εἰ χρεῖ vel χρεῖ' ἦ. Vide ad Œd. T. 791.

ΚΡ. Ἆρ' ἴστ', ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν
ὡς οὐδ' ἂν εἷς παύσαιτ' ἄν, εἰ χρείη λέγειν;
οὐκ ἄξεθ' ὡς τάχιστα, καὶ κατηρεφεῖ
τύμβῳ περιπτύξαντες, ὡς εἴρηκ' ἐγώ,
ἄπιτε μόνην ἔρημον; εἴτε χρὴ θανεῖν,
εἴτ' ἐν τοιαύτῃ ζῶσα τυμβεύσει στέγῃ·
ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην·
μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.
ΑΝ. ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις αἰείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Περσέφασσ' ὀλωλότων·
ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῷ
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
ἐλθοῦσα μέν τοι, κάρτ' ἐν ἐλπίσι τρέφω
φίλη μὲν ἥξειν πατρὶ, προσφιλὴς δέ σοι,
μῆτερ, φίλη δέ σοι, κασίγνητον κάρα·
ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
ἔλουσα, κἀκόσμησα, κἀπιτυμβίους
χοὰς ἔδωκα· νῦν δὲ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα, τοιάδ' ἄρνυμαι.
καί τοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ' οὔτ' ἄν, εἰ τέκνων μήτηρ ἔφυν,
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ' ἂν ἠρόμην πόνον.

887. ἄπιτε μόνην ἔρημον. Sic membran. pro varia lectione: in textu, ut Aldus edidit, μόνην ἀφῆτ' ἔρημον, et superscriptum: γρ. ἄπιτε μόνην ἔρημον. In E. T. ἀφεῖτε μόνην ἔρημον. In August. ἀφῆτε μόνην ἔρημον. Nec ἀφεῖτε nec ἀφῆτε constructionis lex admittit, quæ verbum futuri temporis flagitat, cum ἄξετε concordans. Ordo est: οὐκ ἄξεθ' ὡς τάχιστα, καὶ ἄπιτε, περιπτύξαντες αὐτὴν, ὡς εἴρηκ' ἐγὼ, μόνην ἔρημον κατηρεφεῖ τύμβῳ, εἴτε χρὴ—

888. τυμβεύσει. gl. ἐντάφιος κείσεται.

907. τόνδ' ἂν ἠρόμην πόνον. Sic bene in E. Reliqui cum Aldo conjunctim ἀνηρόμην. Eleganter repetitur particula ἂν, nec composito verbo hic opus est. Eurip. Heracl. 989. Ἐγὼ δὲ νεῖκος οὐχ ἑκὼν τόδ' ἠρόμην. et paulo post Ἐπεὶ δ' ἐκείνῳ δυσμενεῖ καθηρόμην. ubi perperam utroque in ver-

τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι, κατθανόντος, ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτὸς, εἰ τοῦδ' ἤμπλακον·
μητρὸς δ' ἐν Ἅδου καὶ πατρὸς κεκευθότοιν,
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλαστοῖ ποτε.
τοιῷδε μέν τοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν,
καὶ δεινὰ τολμᾷν, ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν,
ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου
μέρος λαχοῦσαν, οὔτε παιδείου τροφῆς·
ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος,
ζῶσ' εἰς θανόντων ἔρχομαι κατασκαφάς.
ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι
βλέπειν; τίν' αὐδᾷν ξυμμάχων; ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.
ἀλλ', εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλὰ,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ
πάθοιεν, ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.
ΧΟ. αἱ τῶν αὐτῶν ἀνέμων αὐταὶ

su scriptum ἠράμην, forma Atticis poëtis inusitata.

909. Antigonæ hanc sententiam expressit Herodotus, apud quem, p. 257. Intaphernis uxor iisdem pæne verbis rationem exponit, cur fratrem malit, quam maritum, vel quemvis alium e suis a morte servare: ad quem locum vide Valckenarii notam.

918. παιδείου τροφῆς. Perperam Aldus cum parte codd. παιδίου.

926. παθόντες. Participium plurale masculinum de singulari muliere. Vide quæ notavimus ad Eurip. Medeam. 316. et ad Comici Concion. 31. Eurip. Androm. 711. Ἡ, στειρὸς οὖσα μόσχος, οὐκ ἀνέξεται Τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα. Ibi τίκτοντας ἄλλους est pro τίκτουσαν ἄλλην, nempe Andromacham. Deianira apud Nostrum in Trachin. 491. ait: Κοὔ τοι νόσον γ' ἐπακτὸν ἐξαιρούμεθα Θεοῖσι δυσμαχοῦντες—Pro ἐξαιροῦμαι θεοῖσι δυσμαχοῦσα. Hæc generis enallage locum habet tantum in plurali numero. Aliena sunt, et plane diversæ rationis, exempla quæ huc imperite admovet Burtonus.

929. Luxati sunt in omnibus libris hi versus, qui sic vulgo leguntur:-

ψυχῆς ῥιπαὶ τήνδ' ἔτ' ἔχουσιν.
KP. τοιγὰρ τούτων τοῖσιν ἄγουσι
βραδυτῆτος ὕπερ κλαύμαθ' ὑπάρξει.
AN. οἴ μοι, θανάτου τοῦτ' ἐγγυτάτω
τοὔπος ἀφῖκται.
KP. θαρσεῖν οὐδὲν παραμυθοῦμαι
μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.
AN. ὦ γῆς Θήβης ἄστυ πατρῷον,
θεοί τε πατρογενεῖς,
ἄγομαι δή, κοὐκ ἔτι μέλλω.
λεύσσετε, Θήβης οἱ κοιρανίδαι,
τὴν βασιλίδα τὴν μούνην λοιπήν,
οἷα πρὸς οἵων ἀνδρῶν πάσχω,

"Ετι τῶν αὐτῶν ἀνέμων αὐταὶ Ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσι. Per se αὐταὶ non valet id, quod sententia flagitat, *eædem*: oportet αἱ αὐταί. Proinde legendum: Αἱ τῶν αὐτῶν ἀνέμων αὐταὶ Ψυχῆς ῥιπαὶ τήνδ' ἔτ' ἔχουσιν.

932. βραδυτῆτος ὕπερ κλαύμαθ' ὑπάρξει. Sic legendum ex anapæstici metri ratione, quæ turbata est in libris omnibus, commatum transpositione, κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ. Præcedentium versuum vitium non animadvertit Heathius: huic solitam medelam fecit, amatam suam particulam γε inserens, qua nihil inficetius.

938. θεοί τε πατρογενεῖς. Mendose Aldus cum parte codd. καὶ θεοὶ πατρογενεῖς. In E. προσγονεῖς: in August. προγενεῖς. Vel sic, ut dedimus, legendum, vel καὶ θεοὶ πρόγονοι.

941. τὴν βασιλίδα τὴν — Posterior articulus in veteribus libris male omissus est. Triclinius imperite metrum stabilivit, genuinæ voci βασιλίδα substituens βασίλειαν. Nemo miretur magni animi puellam se solam e regia stirpe superstitem esse dicere. Non hoc incogitanti poëtæ excidit, nec vitio ei vertendum, ut Musgravio visum ad Iphig. T. 905. Consulto et ex naturæ observatione Antigonam sic loquentem induxit. Ad certam mortem dum abducitur, quam sibi ipsa pio facinore arcessivit, sororis meminisse non debet, quæ ejusdem facti, timore mortis et Creontis reverentia, particeps esse noluit. Indigna genere suo Ismene illi videtur, nec eam amplius pro sorore habet. Præterea ea est vis magni doloris, ut qui eo obruitur, se solum respiciat, nec quidquam aliud præter se, et id quo movetur affectus, spectet. Unde intelligere est, quam bene apud Euripidem Iphigenia gaudio simul agniti fratris perturbata, et metu ne eum occidere cogatur, in se et fratre totius Agamemnonis stirpis salutem verti dicat, licet Electra superstes sit: Τίς ἂν οὖν——Δυοῖν τοῖν μόνοιν Ἀτρείδαιν φανεῖ κακῶν ἔκλυσιν; Confer scholiastam nostrum ad El. 96.

τὴν εὐσεβίαν σεβίσασα.
ΧΟ. Ἔτλα καὶ Δανάας οὐράνιον φῶς — στροφὴ α'.
ἀλλάξαι δέμας ἐν χαλκοδέτοις
αὐλαῖς· κρυπτομένα δ' ἐν
τυμβήρει θαλάμῳ κατεζεύχθη.
καί τοι γενεᾷ τίμιος, ὦ παῖ, παῖ,
καὶ Ζηνὸς ταμιεύεσκε
γονὰς χρυσορύτους.
ἀλλ' ἁ μοιριδία τις δύνασις δεινά·
οὔτ' ἄν νιν ὄμβρος, οὔτ' Ἄρης,
οὐ πύργος, οὐχ ἁλίκτυποι
κελαιναὶ νᾶες ἐκφύγοιεν.
ζεύχθη δ' ὀξύχολος παῖς ὁ Δρύαντος, — ἀντιστρ. α'.
Ἠδωνῶν βασιλεὺς, * κερτομίοις
ὀργαῖς, ἐκ Διονύσου
πετρώδει κατάφρακτος ἐν δεσμῷ.
οὕτω μανίας δεινὸν ἀποστάζει
ἀνθηρόν τι μένος. κεῖνος
ἐπέγνω μανίαις
ψαύων τὸν θεὸν ἐν † κερτομίοις γλώσσαις.
παύεσκε μὲν γὰρ ἐνθέους
γυναῖκας, εὔϊόν τε πῦρ,
φιλαύλους τ' ἠρέθιζε Μούσας.
παρὰ δὲ Κυανέων πελαγέων — στροφὴ β'.

* κερτομίαις edd. 1. 2.

† κερτομίαις edd. 1. 2.

943. τὴν εὐσεβίαν. Sic recte Triclinius. Veteres codd. ut Aldus, εὐσέβειαν. Vide Valckenarium ad Phœniss. p. 497.

950. χρυσορύτους. Sic ex metri præscripto legendum. Perperam vulgo χρυσοῤῥύτους.

955. ὀξύχολος. Mendose in libris ὀξυχόλως.

956. κερτομίοις ὀργαῖς, et paulo infra κερτομίοις γλώσσαις. In Adjectivi genere variant codd. et Aldus. Recte constat sibi Scholiastes, utroque in loco masculinum præferens, ex Atticorum more; estque hoc procul dubio genuinum. (k)

959. οὕτω μανίας. Aldus et E. οὕτω τὰς μανίας. In aliis veteribus melius τᾶς. Verum metri ratio articulum non admittit. In seq. v. libri omnes perperam τε pro τι habent.

966. παρὰ δὲ Κυανέων πελαγέων.

διδύμας ἁλὸς,
ἀκταὶ Βοσπόριαι,
ἠδ' ὁ Θρῃκῶν Σαλμυδησὸς,
ἵν' ἀγχίπολις Ἄρης---
δισσοῖσι Φινείδαις
εἶδεν ἀρατὸν ἕλκος,
τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος,
ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις
ἀραχθὲν ἐγχέων, αἱματηραῖς
χείρεσσι, καὶ κερκίδων ἀκμαῖσι·
κατὰ δὲ τακόμενοι μέλεοι        ἀντιστρ. β'.
μελέαν πάθαν
κλαῖον ματρὸς, ἐχού-
σας ἀνύμφευτον γονάν· ἁ
δὲ σπέρμα μὲν ἀρχαιογόνων
ἄντασ' Ἐρεχθειδᾶν,

In Aldina et veteribus codd. addita in fine versus vox πετρῶν, e glossemate.

974. ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις. Sic Aldus et codd. omnes veteres, optime, integro metro, et salva sententia. Versus est trimeter iambicus, ut versus 985. Hypallagen observavit antiquus Criticus: δέον εἰπεῖν ἀλαστόρως, ἀλαστόροις εἶπε πρὸς τὸ κύκλοις. Variis conjecturis solicitata fuit hæc lectio, quarum nulla, ut sunt omnes temerariæ, speciem vel minimam probabilitatis habet. Longe autem insulsissima sunt quæ prolixe ad hunc locum disputat nuperus editor Parisinus. Eruditorum sibilis excipi digna est ejus emendatio. Satis poëtæ fecisse mihi videbor, si patrocinio meo civitatem Græcam retineat nomen ἀλάστορος, quod ille barbarum esse pronuntiat ex cathedra. Ex nominum tertiæ declinationis plurimorum genitivis alia formantur nomina declinationis secundæ, ut διάκτωρ et διάκτορος, φύλαξ et φύλακος, μάρτυρ et μάρτυρος, aliaque. Vide Etymol. M. in Τρίβακος, Scholiastam nostrum ad Œd. Col. 195. Eustathius p. 157. ὡς εἴ τις εἴποι καὶ τὸν μάρτυρα, μάρτυρον, καὶ τὸν ἀλάστορα, ἀλάστορον, οὗ χρῆσις παρὰ Σοφοκλεῖ ἐν τῷ, ἀλαστόροισιν ὀμμάτων κύκλοις. De veritate hujus lectionis dubitari non potest. Si quid mutandum videretur, nihil aliud rescribendum censerem, quam, Ἀλαὸν ἀλαστόρως ἐν ὀμμάτων κύκλοις.

975. Aldus et veteres codd. ὑφ' αἱματηραῖς χείρεσσι. Salva structura abesse potest præpositio, quam metrum non admittit.

979. ἐχούσας ad ματρὸς relatum. Aldus et codd. habent ἔχοντες, quod male suppositum fuisse metri ratio evincit. Versus est dimeter trochaicus.

τηλεπόροις δ' ἐν ἄντροις
τράφη θυέλλησιν ἐν πατρῴαις
Βορεὰς ἅμιππος ὀρθόποδος ὑπὲρ πάγου
θεῶν παῖς· ἀλλὰ κἀπ' ἐκείνᾳ
Μοῖραι μακραίωνες ἔσχον, ὦ παῖ.

### ΤΕΙΡΕΣΙΑΣ.

Θήβης ἄνακτες, ἥκομεν κοινὴν ὁδὸν
δύ' ἐξ ἑνὸς βλέποντε. τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει.
ΚΡ. τί δ' ἔστιν, ὦ γεραιὲ Τειρεσία, νέον;
ΤΕΙ. ἐγὼ διδάξω· καὶ σὺ τῷ μάντει πιθοῦ.
ΚΡ. οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενός.
ΤΕΙ. τοιγὰρ δι' ὀρθῆς τήνδ' ἐναυκλήρεις πόλιν.
ΚΡ. ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
ΤΕΙ. φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.
ΚΡ. τί δ' ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα.
ΤΕΙ. γνώσει, τέχνης σημεῖα τῆς ἐμῆς κλύων.
εἰς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνοῦ λιμὴν,
ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων, κακῷ

986. θεῶν παῖς, *Deorum progenies*, id est, cui Dei erant generis ultimi auctores; quod quidem de Cleopatra vere dicitur. Nam ipse Erechtheus Orithyiæ pater inter Deos relatus fuit. Quod autem Heathius statuit θέων scribendum et positum esse pro θέουσα, longe est ineptissimum. Βορεὰς παῖς θεῶν, pro θέουσα, nihil aliud esset quam putidus solœcismus, nullo exemplo excusandus ex omnibus illis quæ Clarkius congessit ad Il. ι'. 778. Pronomen seu participium plurale masculini generis de femina adhibetur, quod observavimus supra ad v. 926. ita etiam masculinum duale, ut Œd. Col. 1676. et passim: sed in singulari numero id nunquam obtinet.

994. τήνδ' ἐναυκλήρεις. Sic bene Valckenarius ad Phœn. p. 321. Vulgo τήνδε ναυκληρεῖς. Ald. et membr. τήνδε ναυκληροῖς.

996. ἐπὶ ξυροῦ τύχης, *in novacula casus*. Nota proverbialis locutio ex Homero, Il. κ'. Νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς. Idem diversis verbis expressit in Ajace, 786. Ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά. Vide Eustathium, p. 796.

999. θᾶκον. Sic August. et E. a prima manu. In aliis θῶκον. Vide ad Comici Ran. 1522.

κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ,
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς
ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
εὐθὺς δὲ δείσας, ἐμπύρων ἐγευόμην
βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ
μυδῶσα κηκὶς μηρίων ἐτήκετο,
κἄτυφε, κἀνέπτυε· καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταῤῥυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα,
φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα.
ἐμοὶ γὰρ οὗτος ἡγεμὼν, ἄλλοις δ' ἐγώ.
καὶ ταῦτα τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν ἐσχάραι τε παντελεῖς,
πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
κἆτ' οὐ δέχονται θυστάδας λιτὰς ἔτι
θεοὶ παρ' ἡμῶν, οὐδὲ μηρίων φλόγα·
οὐδ' ὄρνις εὐσήμους ἀποῤῥοιβδεῖ βοὰς,
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
ταῦτ οὖν, τέκνον, φρόνησον. ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν·

1005. γεύεσθαι hic valet *experiri, periculum facere*, ut Trach. 1101. Eurip. Hippol. 667. Τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος. id est, juxta Scholiastam, πεπειραμένος. Vide ad Comici Ran. 462.

1011. καλυπτῆς, id est, τῆς καλυπτούσης. Nomen verbale activam hic significationem habet, ut μεμπτὸς in Trach. 446. ὕποπτος apud Eurip. Hec. 1121.

1022. βεβρῶτες. Mendose in Aldina βεβρῶτος. Schema est σολοικοφανὲς, quum singulari ὄρνις subjungatur plurale βεβρῶτες, syntaxi ad intellectum, non ad vocem, relata.

1023. Comparari digna est Plutarchi sententia in Fabio: τὸ μὲν ἁμαρτεῖν μηδὲν ἐν πράγμασι μεγάλοις, μεῖζον ἢ κατ' ἄνθρωπόν ἐστι· τὸ δ' ἁμαρτόντα χρήσασθαι τοῖς πταίσμασιν διδάγμασι πρὸς τὸ λοιπὸν, ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος.

ἐπὴν δ' ἁμάρτῃ, κεῖνος οὐκ ἔτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκεῖται, μηδ' ἀκίνητος πέλει.
αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.
ἀλλ' εἶκε τῷ θανόντι, μηδ' ὀλωλότα
κέντει. τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;
εὖ σοι φρονήσας εὖ λέγω· τὸ μανθάνειν δ'
ἥδιστον εὖ λέγοντος, εἰ κέρδος φέρει.

ΚΡ. ὦ πρέσβυ, πάντες, ὥστε τοξόται σκοποῦ,
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμὶ, τῶν ὑπαὶ γένους
ἐξημπόλημαι κἀκπεφόρτισμαι πάλαι.
κερδαίνετ', ἐμπολᾶτε τὸν πρὸς Σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν
χρυσόν· τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε,
οὐδ' εἰ θέλουσ' οἱ Ζηνὸς αἰετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐς Διὸς θρόνους.
οὐδ' ὥς, μίασμα τοῦτο μὴ τρέσας, ἐγὼ
θάπτειν παρήσω κεῖνον. εὖ γὰρ οἶδ' ὅτι

1025. ἐπὴν δ' ἁμάρτῃ. Perperam vulgo ἐπεί.

1026. ἄνολβος. gl. μωρός. ὄλβος γὰρ ἡ φρόνησις τῷ αὐτὴν ἔχοντι.

1028. αὐθαδία τοι. Sic etiam scriptus est hic versus in Reg. Stobæi cod. Pessime eum interpolavit Grotius Floril. p: 105. Ἡ δ' αὐθάδεια σκαιότητ' ὀφλισκάνει. Secunda in αὐθάδεια, quod vir summus ignoravit, necessario producitur. Vide Bentleium ad Menandri fragm. lxxx. In præced. v. πέλει dant E. T. Minus bene vulgo πέλῃ.

1032. εἰ κέρδος φέρει. Sic E. T. in August. φέροι, cum glossa λέγοι. In aliis εἰ κέρδος λέγει.

1033. ὥστε τοξόται σκοποῦ. Mendose Aldus, ut in membr. τοξότου σκοποῦ. Male etiam in E. τοξόται σκοπῷ. Verbum τοξεύω cum genitivo construitur, per ellipsin præpositionis κατά. Eurip. Ione, 1431. Εἰς τοῦθ' ἱκοίμην· τοῦδε τοξεύω, τέκνον.

1035. τῶν ὑπαὶ γένους ἐξημπόλημαι. Cohærent ista, quæ vulgo prava interpunctione divelluntur. Quin perperam in omnibus libris τῶνδ' ὑπαὶ— Articulus relativus τῶν refertur ad μαντέων, quod ex præcedenti nomine μαντικῆς intelligendum.

1037. τὸν πρὸς Σάρδεων. Sic E. Perperam in aliis libris πρὸ Σ. Nostram lectionem agnoscit Eustathius ad Odyss. δ'. p. 1483. Σοφοκλῆς μέν τοι ἐτόλμησε καὶ αὐτὸν τὸν χρυσὸν ἤλεκτρον εἰπεῖν ἐν τῷ· Κερδαίνετ', ἐμπολᾶτε τὸν πρὸς Σάρδεων ἤλεκτρον.

ΧΟ. εὐβουλίας δεῖ, παῖ Μενοικέως Κρέον.
ΚΡ. τί δῆτα χρὴ δρᾷν; φράζε· πείσομαι δ' ἐγώ.
ΧΟ. ἐλθὼν, κόρην μὲν ἐκ κατώρυχος στέγης
ἄνες· κτίσον δὲ τῷ προκειμένῳ τάφον.
ΚΡ. καὶ ταῦτ' ἐπαινεῖς, καὶ δοκεῖς παρεικάθειν;
ΧΟ. ὅσον γ', ἄναξ, τάχιστα. συντέμνουσι γὰρ
θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι.
ΚΡ. οἴ μοι. μόλις μὲν, καρδίας δ' ἐξίσταμαι
τὸ δρᾷν· ἀνάγκῃ δ' οὐχὶ δυσμαχητέον.
ΧΟ. δρᾶ νῦν τάδ' ἐλθὼν, μηδ' ἐπ' ἄλλοισι τρέπε.
ΚΡ. ὧδ' ὡς ἔχω στείχοιμ' ἄν· οἱ δ' ὀπάονες,
οἵ τ' ὄντες, οἵ τ' ἀπόντες, ἀξίνας χεροῖν
ὁρμᾶσθ' ἑλόντες εἰς ἐπόψιον τόπον.
ἐγὼ δ', ἐπειδὴ δόξα τῇδ' ἐπεστράφη,
αὐτός τ' ἔδησα, καὶ παρὼν ἐκλύσομαι.
δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους
ἄριστον ᾖ σώζοντα, τὸν βίον τελεῖν.

## ΧΟΡΟΣ.

Πολυώνυμε, Καδμείας — στροφὴ α'.
Νύμφας ἄγαλμα, καὶ Διὸς

1101. ἄνες. gl. ἔξελε. κτίσον. κατασκεύασον.

1103. συντέμνουσι. gl. καταβάλλουσι.

1105. Impeditior est paulo hujus loci structura : vix enim reperias qui verba τὸ δρᾷν cum præcedentibus connectantur. Per ellipsin præpositionis εἰς vel πρὸς difficultatem expedit Heathius. Nescio an melior sit Augustani codicis lectio: Οἴμοι· μόλις μὲν, καρδίας δ' ἐξίσταμαι. Τὸ δρᾷν ἀνάγκη, κοὐχὶ δυσμαχητέον. Sic omnia facile procedunt. Glossa ad ἀνάγκη, ἐστί. ad δυσμαχητέον, φιλονεικητέον.

1107. μηδ' ἐπ' ἄλλοισι τρέπε. Glossa supplet σεαυτόν. ἤγουν μὴ μεταβάλλου. Hoc quidem sensu melior esset lectio quam exhibet E. τρέπου. Verum aliter hæc verba accipi debent, μηδ' ἐπίτρεπε ἄλλοισι. *Tu ipse hæc exsequere, nec aliis committe.*

1108. οἱ δ' ὀπάονες. Male vulgo οἵ τ' ὀπάονες, ut est in membr. In tribus aliis codd. ἴτ' ὀπάονες, cum glossa ἔλθετε. Verum hoc mendosum esse metrum ostendit.

1111. ἐπειδὴ δόξα τῇδ' ἐπεστράφη. Sic codd. omnes et Aldus. Nescio unde Turnebus solœcum ἐπειδὰν invexerit. Vix credam in codice quopiam olim lectum fuisse δόξῃ τῇδ' ἐπεστράφην, quod e scholiis colligi possit.

βαρυβρεμέτα γένος,
κλυτὰν ὃς ἀμφέπεις
Ἰταλίαν, μέδεις δὲ παγ-
κοίνου Ἐλευσινίας
Δηοῦς ἐν κόλποις,
ὦ Βακχεῦ, Βακχᾶν μητρόπολιν Θήβαν
ναίων παρ' ὑγρῶν Ἰσμηνοῦ
ῥεέθρων, ἀγρίου τ'
ἐπὶ σπορᾷ δράκοντος·
σὲ δ' ὑπὲρ διλόφου πέτρας ἀντιστρ. α'.
στέροψ ὄπωπε λιγνὺς, ἔν-
θα Κωρύκιαι Νύμφαι
στείχουσι Βακχίδες,
Κασταλίας τε νᾶμα, καί
σε Νυσίων ὀρέων
κισσήρεις ὄχθαι,
χλωρά τ' ἀκτὰ πουλυστάφυλος πέμπει,
ἀβρότων ἐπέων εὐαζόν-

1119. *παγκοίνου Ἐλευσινίας Δηοῦς ἐν κόλποις.* Scholiastes legisse videtur *παγκοίνοις*, quod longe elegantius vulgato, sincerum esse opinor, et reponi volebam. Pro *παγκοίνοις* scholio præpositum *παγκοίνους*, quod E. exhibet in textu. Genuinæ lectionis manifesta depravatio.

1122. In codicibus sic hic locus distinctus est: *ὦ Βακχεῦ Βακχᾶν, μητρόπολιν Θήβαν ναίων*—Glossa, *ὦ Βακχεῦ μαινάδων ἔφορε.* Priora si isto modo accipiantur, tum *μητρόπολιν* præstabit cum Scholiasta et Eustathio ad Odyss. *α'.* p. 1391. interpretari, *τὴν πόλιν τῆς μητρός σου Σεμέλης*, quam cum auctore veteris glossæ, *ἀρχηγὸν τούτων*, id est *τῶν μαινάδων.* Sed prava est illa distinctio, nec alius sensus est quam is quem in versione expressimus.

1123. *παρ' ὑγρῶν Ἰσμηνοῦ ῥεέθρων.* Sic in T. ut metrica ratio flagitat. Male vulgo *ὑγρὸν ῥέεθρον.*

1126. *ὑπὲρ διλόφου πέτρας.* Euripides Bacchis, 302. *Ἔτ' αὐτὸν ὄψει κἀπὶ Δελφίσιν πέτραις Πηδῶντα σὺν πεύκαισι δικόρυφον πλάκα.* Confer Scholiastam ad ista in Phœnissis, v. 233. *Ἰὼ λάμπουσα πέτρα πυρὸς Δικόρυφον σέλας.*

1131. *Νυσίων ὀρέων.* Sic ad metri rationem legendum. In E. *Νυσίων.* In membr. *Νισαίων.* Aldus dedit *Νυσσαίων.* Ex Triclinii interpolatione est *οὐρέων.*

1133. *πουλυστάφυλος.* Sic ob metrum legendum. Libri omnes *πολυστάφυλος.* Ante hanc vocem Triclinius copulam *καὶ* inepte infersit.

1134. *ἀβρότων.* Perperam Aldus *ἀμβρότων.*

των, Θηβαίας
ἐπισκοποῦντ' ἀγυιάς·
τὰν ἐκ πασᾶν στροφὴ β'.
τιμᾷς ὑπερτάταν πόλεων
ματρὶ σὺν κεραυνίᾳ·
καὶ νῦν, ὡς βιαίας
πάνδημος ἔχεται πόλις
ἐπὶ νόσου, μολεῖν ποδὶ
καθαρσίῳ Παρνησίαν
ὑπὲρ κλιτὺν, ἢ
στονόεντα πορθμόν.
ἰὼ πῦρ πνει- ἀντιστρ. β'.
όντων χοράγ' ἄστρων, νυχίων
φθεγμάτων ἐπίσκοπε,
παῖ, Διὸς γένεθλον,
προφάνηθι Ναξίαις
Θυιάσιν ἅμα περιπόλοις,
αἳ πάννυχοί σε μαινόμεναι

1137. τὰν, articulus singularis relatus ad plurale nomen Θηβαίας ἀγυιάς. Vide notam ad priorem Œdipum v. 267.

1139. ματρὶ σὺν κεραυνίᾳ. Eurip. Bacchis, 6. Ὁρῶ δὲ μητρὸς μνῆμα τῆς κεραυνίας.

1141. Vulgo perverso vocum ordine et turbato metro legitur ἔχεται πάνδημος πόλις, et seq. versu μολεῖν καθαρσίῳ ποδί.

1146. πνειόντων. Aldus et codd. πνεόντων. Sol Bacchi nomine colebatur in mysticis sacris : inde est quod Virgilius Georgicorum initio ait: —vos ô clarissima mundi Lumina, labentem cœlo quæ ducitis annum, Liber, et alma Ceres.

1147. νυχίων. Aldus et codd. καὶ νυχίων. Elanguem copulam metrum respuit.

1151. In Aldina et in veteribus codd. legitur, σαῖς ἅμα περιπόλοις Θυιάσιν, αἵ σε μαινόμεναι πάννυχοι χορεύουσι, τὸν ταμίαν Ἴακχον. Quæ ut ad legitimam metri formam revocentur, sic disponenda sunt, extrito inutili pronomine σαῖς. Θυιάσιν ἅμα περιπόλοις, Αἵ πάννυχοί σε μαινόμεναι Χορεύουσι, τὸν Ταμίαν Ἴακχον. Verbum χορεύειν hîc activum est. χορεύειν θεὸν, *Deum choreis celebrare*. Pindarus Isthm. i. 8. καὶ τὸν ἀκειρεκόμαν χορεύων. Alias χορεύειν τινὰ Deus ipse dicitur, id est *incitare ad celebrandas choreas*, ut apud Eurip. Herc. Fur. 688. Οὔπω καταπαύσομεν Μούσας, αἵ μ' ἐχόρευσαν. Per consequentiam χορεύειν significat *agitare*, *turbare*, *emovere mente*, ut in eodem dramate, 873. Τάχα σ' ἐγὼ μᾶλλον χορεύσω, καὶ καταυλήσω φόβῳ.

χορεύουσι, τὸν
ταμίαν Ἴακχον.

## ΑΓΓΕΛΟΣ.

Κάδμου πάροικοι καὶ δόμων Ἀμφίονος,
οὐκ ἔσθ᾽ ὁποῖον στάντ᾽ ἂν ἀνθρώπου βίον
οὔτ᾽ αἰνέσαιμ᾽ ἄν, οὔτε μεμψαίμην ποτέ.
Τύχη γὰρ ὀρθοῖ καὶ Τύχη καταῤῥέπει
τὸν εὐτυχοῦντα, τόν τε δυστυχοῦντ᾽, ἀεί·
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Κρέων γὰρ ἦν ζηλωτὸς, ὡς ἐμοὶ, ποτὲ,
σώσας μὲν ἐχθρῶν τήνδε Καδμείαν χθόνα,
λαβὼν δὲ χώρας παντελῆ μοναρχίαν,
εὔθυνε, θάλλων εὐγενεῖ τέκνων σπορᾷ·
καὶ νῦν ἀφεῖται πάντα. τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ᾽ ἐγὼ
ζῆν τοῦτον, ἀλλ᾽ ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ᾽ οἶκον, ἐν βούλει, μέγα,

1158. *καταῤῥέπει.* Hoc Scholiastes agnoscit: verum alîus lectionis meminisse videtur, quæ ex illius verbis, ut nunc feruntur, elici nequit.

1163. *λαβὼν δέ.* Codd. *λαβών τε.* Mendose Aldus *λαβόντε.*

1164. *εὐγενεῖ.* In duobus codd. perperam *εὐγενῆ.*

1166. In Aldina et in veteribus codd. sic scriptus est hic versus: *Ὅταν προδῶσιν, ἀνδρὸς οὐ τίθημ᾽ ἐγώ.* In T. *Ὅταν προδῶσιν ἄνδρας, οὐ τίθημ᾽ ἐγώ.* In omnibus sequens versus plane omissus. Glossa ad *οὐ τίθημ᾽*: *ἤτοι οὐ λογίζομαι· ἀεὶ γὰρ τὸ ἐνεστὼς μακαρίζεται, καὶ οὐ τὸ παρεληλυθός.* Versum qui desiderabatur, restituit Turnebus, nescio an e scripto codice. Sane eum ex Eustathio sumere potuit, a quo profertur ad Il. ν΄. p. 957. ubi de versibus Homero suppositis, et aliis abjudicatis agit. *παρὰ Σοφοκλεῖ προστίθεται στίχος ἐν τῷ, Τὰς γὰρ ἡδονὰς ὅταν προδῶσιν ἄνδρα, οὐ τίθημ᾽ ἐγώ. πλούτει τε γὰρ κατ᾽ οἶκον, εἰ βούλει, μέγα, καὶ τὰ ἑξῆς. ἐν τούτοις γὰρ μετὰ τὸ, Οὐ τίθημ᾽ ἐγὼ, ἔχουσι τὰ ἀκριβῆ ἀντίγραφα τὸ, Ζῆν τοῦτον, ἀλλ᾽ ἔμψυχον ἡγοῦμαι νεκρόν. ἵνα λέγῃ ὁ τραγικὸς, ὅτι ὅταν πρόδοτος γένηταί τινι ἡ ἡδονὴ, οὐ τίθημ᾽ ἐγὼ ζῆν ἔτι τὸν ἄνδρα τοῦτον, ἀλλὰ ψεύδεσθαι τὴν ζωήν.* Transitus fit a numero plurali ad singularem, ut Aj. 760. ad quem locum plura hujus schematis exempla proferentur. Eadem elegantia transitus fit a singulari ad pluralem, ut supra 709. et 1022. Haud absimile voluptatis præconium e Theophilo Comico profert Athenæus, p. 563. *Εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονὰς, Καταλείπετ᾽ οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.*

καὶ ζῆ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.
ΧΟ. τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;
ΑΓ. τεθνᾶσιν· οἱ δὲ ζῶντες αἴτιοι θανεῖν.
ΧΟ. καὶ τίς φονεύει; τίς δ' ὁ κείμενος; λέγε.
ΑΓ. Αἵμων ὄλωλεν, αὐτόχειρ δ' αἱμάσσεται.
ΧΟ. πότερα πατρῴας, ἢ πρὸς οἰκείας χερός;
ΑΓ. αὐτὸς πρὸς αὑτοῦ, πατρὶ μηνίσας φόνου.
ΧΟ. ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας.
ΑΓ. ὡς ὧδ' ἐχόντων, τἄλλα βουλεύειν πάρα.
ΧΟ. καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ
δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων,
ἤτοι κλύουσα παιδὸς, ἢ τύχῃ, περᾷ.

## ΕΥΡΥΔΙΚΗ.

ὦ πάντες ἀστοὶ, τοῦ λόγου γ' ἐπῃσθόμην
πρὸς ἔξοδον στείχουσα, Παλλάδος θεᾶς
ὅπως ἱκοίμην εὐγμάτων προσήγορος.
καὶ τυγχάνω γε * κλῇθρ' ἀνασπαστοῦ πύλης

* κλεῖθρ' edd. 1. 2.

1170. καπνοῦ σκιᾶς. Fumi umbra nihil vilius esse potest. Ex Pindarico dicto hoc adumbratum, σκιᾶς ὄναρ ἄνθρωπος.

1175. αὐτόχειρ. Male acceptum fuit a Scholiasta hoc nomen, vel ab iis qui sequentem versum litera x notarunt. αὐτόχειρ periisse dicitur, cuicunque violentæ manus illatæ fuerunt, sive a se ipso, sive ab alio. Proinde postquam Chorus audierat Hæmonem αὐτόχειρα αἱμαχθῆναι, nihil magis consentaneum erat, quam percontari eum, utrum sua, an patris manu Hæmon interfectus fuisset. αὐτόχειρ idem est quod αὐθέντης. Vide Lexicon in hac voce. Nec credere par est Sophoclem tam ineptam interrogationem Choro tributurum fuisse, nisi vox αὐτόχειρ ambiguæ significationis fuisset. Nisi duo sequentes versus ab ipso poëta essent, quos tamen fateor sine ullo detrimento eximi posse, non video cur eos quivis alius inseruisset.

1180. ὁμοῦ, ἀντὶ τοῦ ἐγγύς. ἔστι δὲ τοῦτο πολὺ παρὰ τοῖς Ἀττικοῖς, ὡς καὶ Μένανδρος· Ἤδη γὰρ τοῦ τίκτειν ὁμοῦ. *Photii Lexicon Ms.* Sic apud Comicum Equit. 245. Ὁ κονιορτὸς δῆλος αὐτῶν, ὡς ὁμοῦ προσκειμένων. et Pace, 513. Καὶ μὴν ὁμοῦ 'στιν ἤδη.

1182. περᾷ. Sic legendum, ut supra, 386. Perperam Aldus et codd. πέρα.

χαλῶσα, κἀμὲ φθόγγος οἰκείου κακοῦ
βάλλει δι' ὤτων· ὑπτία δὲ κλίνομαι
δείσασα πρὸς δμωαῖσι, κἀποπλήσσομαι.
ἀλλ' ὅστις ἦν ὁ μῦθος, αὖθις εἴπατε.
κακῶν γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι.

ΑΓ. ἐγὼ, φίλη δέσποινα, καὶ παρὼν, ἐρῶ,
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ' ἂν, ὧν ἐς ὕστερον
ψεῦσται φανούμεθ'; ὀρθὸν * ἡ ἀλήθει' ἀεί.
ἔγωγε σῷ ποδαγὸς ἑσπόμην πόσει
πεδίον ἐπ' ἄκρον, ἔνθ' ἔκειτο νηλεὲς
κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι·
καὶ τὸν μὲν, αἰτήσαντες ἐνοδίαν θεὸν,
Πλούτωνά τ', ὀργὰς εὐμενεῖς κατασχέθειν,
λούσαντες ἁγνὸν λουτρὸν, ἐν νεοσπάσι
θαλλοῖς ὃ δὴ λέλειπτο συγκατῄθομεν.
καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
χώσαντες, αὖθις πρὸς λιθόστρωτον κόρης
νυμφεῖον Ἅδου κοῖλον εἰσεβαίνομεν.
φωνῆς δ' ἄπωθεν ὀρθίων κωκυμάτων
κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα,
καὶ δεσπότῃ Κρέοντι σημαίνει μολών·
τῷ δ' ἀθλίας ἄσημα περιβαίνει βοῆς
ἕρποντι μᾶλλον ἆσσον, οἰμώξας δ', ἔπος
ἵησι δυσθρήνητον· Ὦ τάλας ἐγὼ,
ἆρ' εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;
παιδός με σαίνει φθόγγος. ἀλλὰ, πρόσπολοι,
ἴτ' ἆσσον ὠκεῖς, καὶ παραστάντες τάφῳ
ἀθρήσαθ', ἁρμὸν χώματος λιθοσπαδῆ

* ἡ 'λήθει' edd. 1. 2.

1196. ἔγωγε. Libri omnes ἐγὼ δὲ, male.

1197. πεδίον ἐπ' ἄκρον. August. E. T. πεδίων ἐπ' ἄκρων.

δύντες πρὸς αὐτὸ στόμιον, εἰ τὸν Αἵμονος
φθόγγον ξυνίημ', ἢ θεοῖσι κλέπτομαι.---
τάδ' ἐξ ἀθύμου δεσπότου κελεύσμασιν
ἠθροῦμεν· ἐν δὲ λοισθίῳ τυμβεύματι
τὴν μὲν, κρεμαστὴν αὐχένος, κατείδομεν
βρόχῳ μιτώδει σινδόνος καθημμένην·
τὸν δ', ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον,
εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν,
καὶ πατρὸς ἔργα, καὶ τὸ δύστηνον λέχος.
ὁ δ' ὡς ὁρᾷ σφε, στυγνὸν οἰμώξας, ἔσω
χωρεῖ πρὸς αὐτὸν, κἀνακωκύσας καλεῖ·
Ὦ τλῆμον, οἷον ἔργον εἴργασαι; τίνα
νοῦν ἔσχες; ἐν τῷ ξυμφορᾶς διεφθάρης;
ἔξελθε, τέκνον· ἱκέσιός σε λίσσομαι.---
τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,
πτύσας προσώπῳ, κοὐδὲν ἀντειπὼν, ξίφους
ἕλκει διπλοῦς κνώδοντας· ἐκ δ' ὁρμωμένου
πατρὸς φυγαῖσιν, ἤμπλακ'· εἶθ' ὁ δύσμορος
αὑτῷ χολωθεὶς, ὥσπερ εἶχ', ἐπενταθεὶς
ἤρεισε πλευραῖς μέσσον ἔγχος, ἐς δ' ὑγρὸν
ἀγκῶν' ἔτ' ἔμφρων παρθένον προσπτύσσεται·

1219. ἐξ ἀθύμου. gl. ὀλιγοψύχου. τὸ ΕΞ πρὸς τὸ ἠθροῦμεν ἔχει τὴν δύναμιν. Optime. Ordo est, τάδε ἐξηθροῦμεν κελεύσμασιν ἀθύμου δεσπότου. Dativus est Latine reddendus per præpositionem *propter* vel *ob*, ut supra, 391. ταῖς σαῖς ἀπειλαῖς, *propter tuas minas*. El. 42. γήρᾳ τε καὶ χρόνῳ μακρῷ, *ob senectutem et longum tempus*.

1222. μιτώδει. Sic liquido E. T. et scholia Ms. Triclinii. Vulgo μιτρώδει, quod ineptum est. βρόχος μιτώδης σινδόνος est βρόχος στερεὸς σινδόνος, βρόχος πολυμίτου σινδόνος· εὔμιτος occurrit apud Eurip. Iphig. T. 824. Ὕφηνα καὶ τόδ' εἶδος εὐμίτοις πλοκαῖς. βρόχος μιτώδης idem est quod βρόχος εὔμιτος.—καθημμένην. gl. ἀπηωρημένην.

1237. παρθένον προσπτύσσεται. Sic olim edidi ad Græci sermonis normam: postea eandem hanc lectionem reperi in E. Ceteri libri παρθένῳ solœce. Medium προσπτύσσομαι non alium casum adsciscit præter quartum. Vide quæ notavimus ad Eurip. Medeam 1399. Apollon. Argon. iii. 782. Ἦ μιν ἄντηνθ' ἑτάρων προσπτύξομαι οἷον ἰδοῦσα; Idem iv. 1071.—οἷα δ' ἀκοίτην Κουρίδιον θαλεροῖσι δάμαρ προσπτύσσετο μύθοις. ὑγρὸν perperam

καὶ φυσιῶν ὀξεῖαν ἐκβάλλει πνοὴν
λευκῇ παρειᾷ φοινίου σταλάγματος.
κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
τέλη λαχὼν δείλαιος ἐν Ἀΐδου δόμοις,
δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν,
ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακόν.
ΧΟ. τί τοῦτ' ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν
φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.
ΑΓ. καὐτὸς τεθάμβηκ'· ἐλπίσιν δὲ βόσκομαι,
ἄχη τέκνου κλύουσαν, ἐς πόλιν γόους
οὐκ ἀξιώσειν, ἀλλ' ὑπὸ στέγης ἔσω
δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν.
γνώμης γὰρ οὐκ ἄπειρος, ὥσθ' ἁμαρτάνειν.
ΧΟ. οὐκ οἶδ'· ἔμοιγ' οὖν ἥ τ' ἄγαν σιγὴ βαρὺ
δοκεῖ προσεῖναι, χ' ἡ μάτην πολλὴ βοή.
ΑΓ. ἀλλ' εἰσόμεσθα, μή τι καὶ κατάσχετον

glossa interpretatur ἐξ αἵματος. *Flexile, molle* brachium significat, et ex consequenti *debile*. Eteocles moriens apud Euripidem Phœn. 1448. Ἤκουσε μητρὸς, κἀπιθεὶς ὑγρὰν χέρα— quod minime significat *manum madentem*, sed *manum debilem*.

1238. πνοήν. In August. ῥοήν.

1241. ἐν Ἀΐδου. Vulgo εἰν Ἅιδου, quod mendæ suspectum esse possit: nam nuspiam alibi poëticum εἰν in senario tragico occurrit. Verum hujusmodi poëticæ formæ apud Tragicum nostrum plurimæ reperiuntur, μέσσος, ἔσσομαι, ἐνὶ pro ἐν, ὑπαὶ, ποτὶ in compositione pro πρὸς, Trach. 1214. Codd. plerique hîc habent εἰν ᾄδου. gl. διὰ τὸ μέτρον. E. ἐν ᾄδου. Inepta est Heathii emendatio ἔν γ' ᾄδου. Doctior est nuperi editoris Britanni conjectura εἰς ᾄδου. At, si quid mutandum, præstat ἐν Ἀΐδου. Trisyllabum ἀΐδης occurrit in senariis rarissime. Aliud exemplum observare memini in versu ex aliqua comœdia sumpto, Χρυσὸς δ' ἀνοίγει πάντα, κᾀΐδου πύλας. ibi κᾀΐδου est pro καὶ ἀΐδου. Contractionem amat Attica dialectus, dialysin Ionica. Apud Sophoclem nullibi, quantum commemini, reperias Ἡρακλέϊ τετρασυλλάβως. Sic exstat apud Euripidem Heraclidarum initio: Ἐξὸν κατ' Ἄργος ἡσύχως ναίειν, πόνων Πλείστων μετέσχεν εἷς ἀνὴρ Ἡρακλέϊ. et v. 991. Τῷ σῷ δὲ παιδὶ συγγενὴς Ἡρακλέϊ. τὰ νυμφικὰ τέλη. Pollux iii. 38. προτελίζεσθαι δὲ ἐλέγοντο οὐ μόνον αἱ νύμφαι, ἀλλὰ καὶ οἱ νυμφίοι. καὶ τέλος, ὁ γάμος ἐκαλεῖτο.

1251. ἔμοιγ' οὖν. Perperam vulgo ἐμοὶ δ' οὖν. Sinceræ scripturæ vestigia supersunt in membr. ubi ἔμοι δ' οὖν.

κρυφῇ καλύπτει καρδίᾳ θυμουμένη,
δόμους παραστείχοντες. εὖ γὰρ οὖν λέγεις.
καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.
ΧΟ. καὶ μὴν ὅδ' ἄναξ αὐτὸς ἐφήκει
μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων,
εἰ θέμις εἰπεῖν, οὐκ ἀλλοτρίαν
ἄτην, ἀλλ' αὐτὸς ἁμαρτών.
ΚΡ. ἰὼ φρενῶν δυσφρόνων στροφὴ α'.
ἁμαρτήματα στερεὰ,
θανατόεντ'. ὦ κτανόντας τε καὶ
θανόντας βλέποντες ἐμφυλίους.
ὤ μοι ἐμῶν ἄνολβα βουλευμάτων.
ἰὼ παῖ, παῖ, νέος νέῳ ξὺν μόρῳ,
αἶ, αἶ, αἶ, αἶ,
ἔθανες, ἀπελύθης,
ἐμαῖς, οὐδὲ σαῖσι δυσβουλίαις.
ΧΟ. οἴ μ', ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.
ΚΡ. οἴ μοι· στροφὴ β'.
ἔχω μαθὼν δείλαιος· ἐν δ' ἐμῷ κάρᾳ
θεὸς τότ' ἄρα τότε μέγα βάρος ἔχων
ἔπαισεν, ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς,
οἴ μοι, λαξπάτητον ἀντρέπων χαράν.
φεῦ, φεῦ·
ὦ πόνοι βροτῶν δύσπονοι.

1254. καλύπτει. Sic tres Regii recte. Mendose in impressis καλύπτῃ.

1273. βάρος ἔχων. Sic E. T. Ceteri codd. cum Aldo βάρος μ' ἔχων mendose. Versus est asynartetus e duobus dochmaicis, unde liquet in antistrophico 1296. male Aldum excudisse τίς ἄρα, quum ex metri lege ἄρα prima brevi legi debeat.

1275. λαξπάτητον. Sic tres codd. In membr. ut apud Aldum, λεωπάτητον, superscripta varia lectione, γρ. λακπάτητον. Eustathius ad Il. ζ. pag. 625. λὰξ ἐμβῆναι λέγει τοῖς στήθεσι, τὸ ποδὶ πατῆσαι εἰς τὸ στῆθος. ἐξ οὗ παρὰ Σοφοκλεῖ τὸ Λαξπάτητον ἀντρέπων χαράν. ὃ τινες λακπάτητον διὰ τοῦ κ γράφουσι. Rursus ad Il. κ'. p. 796. τὸ λὰξ κινήσας, παρήγαγεν ἐν τῇ τραγῳδίᾳ τὸ λαξπάτητον. ὡς ταυτὸν ὂν εἰπεῖν λὰξ κινῆσαι, καὶ λὰξ πατῆσαι. Vide Hesychii interpretes ad glossam λακπατῆσαι.

ΕΞΑΓΓΕΛΟΣ.

ὦ δέσποθ', ὡς ἔχων τε καὶ κεκτημένος,
τὰ μὲν πρὸ χειρῶν τάδε φέρεις, τὰ δ' ἐν δόμοις
ἔοικας ἥκων καὶ τάχ' ὄψεσθαι κακά.

ΚΡ. τί δ' ἔστιν αὖ κάκιον ἐκ κακῶν ἔτι;

ΕΞ. γυνὴ τέθνηκε, τοῦδε παμμήτωρ νεκροῦ,
δύστηνος, ἄρτι νεοτόμοισι πλήγμασιν.

ΚΡ. ἰὼ ἰὼ δυσκάθαρ- ἀντιστρ. α'.
τος Ἅιδου λιμήν, τί μ' ἄρα,
τί μ' ὀλέκεις; ὦ κακάγγελτά μοι
προπέμψας ἄχη, τίνα θροεῖς λόγον;
αἶ, αἶ, ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω.
τί φῄς, ὦ παῖ; τίνα λέγεις νέον λόγον;
αἶ, αἶ, αἶ, αἶ;
σφάγιον ἐπ' ὀλέθρῳ
γυναικεῖον ἀμφικεῖσθαι μόρον;

ΕΞ. ὁρᾶν πάρεστιν. οὐ γὰρ ἐν μυχοῖς ἔτι.

ΚΡ. οἴ μοι· ἀντιστρ. β'.
κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας.
τίς ἄρα, τίς με πότμος ἔτι περιμένει;
ἔχω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον,
τάλας, τὸν δ' ἔναντα προσβλέπω νεκρόν.
φεῦ, φεῦ

1279. In Aldina sic leguntur hi versus: Τὰ μὲν, πρὸ χειρῶν· τὰ δὲ, φέρων· τάδ' ἐν δόμοις Ἔοικας ἥκειν, καὶ τάδ' ὄψεσθαι κακά. In quibus nec caput est nec pes. In membr. καὶ τάγ' ὄψεσθαι. Recte in Ε. καὶ τάχ' —sententia flagitante φέρεις rescribo et ἥκων. Ordo est, ὡς ἔχων τε καὶ κεκτημένος, τὰ μὲν κακὰ πρὸ χειρῶν φέρεις τάδε, τὰ δὲ κακὰ ἔοικας ἥκων τάχα ὄψεσθαι ἐν δόμοις.

1281. κάκιον ἐκ κακῶν. Sic recte Canterus emendavit vitiosam librorum lectionem ἢ κακῶν.

1283. ἄρτι. gl. τοῦτο τὸ ἄρτι πρὸς τὸ τέθνηκε συναπτέον.

1284. Hi versus in Aldina male tribuuntur Choro.

1289. Aldus τίνα λέγεις μοι νέον λόγον. Pronomen μοι metro reclamante insertum.

1298. τὸν δ' ἔναντα. Sic membr. Aldus et duo codices ἐναντία. Triclinius ἔναντι.

μᾶτερ ἀθλία, φεῦ τέκνον.
ΕΞ. ἡ δ' ὀξύθηκτος ἥδε βωμία πέριξ
. . . . . . . . . . . . . . .
λύει κελαινὰ βλέφαρα, κωκύσασα μὲν
τοῦ πρὶν θανόντος Μεγαρέως κλεινὸν λέχος,
αὖθις δὲ τοῦδε, λοίσθιον δέ σοι κακὰς
πράξεις ἐφυμνήσασα τῷ παιδοκτόνῳ.
ΚΡ. αἶ, αἶ, αἶ, αἶ, στροφὴ γ'.
ἀνέπταν φόβῳ.
τί μ' οὐκ ἀνταίαν
ἔπαισέ τις ἀμφιθήκτῳ ξίφει;
δείλαιος ἐγὼ, φεῦ, φεῦ,
δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ.
ΕΞ. ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
πρὸς τῆς θανούσης τῆσδ' ἐπεσκήπτου μόρων.
ΚΡ. ποίῳ δὲ κἀπελύσατ' ἐν φοναῖς τρόπῳ;
ΕΞ. παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὑτὴν, ὅπως
παιδὸς τόδ' ᾔσθετ' ὀξυκώκυτον πάθος.
ΚΡ. ᾤ μοι μοι, τάδ' οὐκ ἐπ' ἄλλον βροτῶν στροφὴ δ'.
ἐμᾶς ἁρμόσει ποτ' ἐξ αἰτίας.
ἐγὼ γάρ σ' ἔγωγ' ἔκανον ὁ μέλεος.
ἐγώ φαμ' ἔτυμον.
ἰὼ πρόσπολοι,
πρόσπολοι,
ἄγετέ μ' ὅτι τάχος,
ἄγετέ μ' ἐκποδὼν,
τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.
ΧΟ. κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς·
βράχιστα γὰρ κράτιστα τὰν ποσὶν κακά.

1313. Perperam Aldus ἐπισκήπτου μόρῳ. In membr. et in E. ἐπισκήπτου μόρῳ. Ceteri emendate μόρων.

1319. Aldus edidit: ἐγὼ γάρ σ' ἐγὼ ἔκτανον. ὦ μέλεος. In membr. et in E. ἐγὼ ἔκανον. In August. ὁ μέλεος.

1322. Vox πρόσπολοι, quam iterari oportuisse metri ratio arguit, semel tantum a librariis scripta fuit.

ΚΡ. ἴτω, ἴτω, ἀντιστρ. γ'.
φανήτω μόρων
ὁ κάλλιστ' ἐμῶν,
ἐμοὶ τερμίαν ἄγων ἡμέραν
ὕπατος· ἴτω, ἴτω,
ὅπως μηκέτ' ἆμαρ ἄλλ' εἰσίδω.
ΕΞ. μέλλοντα ταῦτα. τῶν προκειμένων τι χρὴ
πράσσειν. μέλει γὰρ τῶνδ' ὅτοισι χρὴ μέλειν.
ΚΡ. ἀλλ' ὧν ἐρῶ μὲν, ταῦτα συγκατηυξάμην.
ΕΞ. μὴ νῦν προσεύχου μηδέν· ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς ξυμφορᾶς ἀπαλλαγή.
ΚΡ. ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκποδὼν, ἀντιστρ. δ'.
ὅς, ὦ παῖ, σέ τ' οὐχ ἑκὼν ἔκτανον,
ὅς σέ τ' αὐτάν. ᾤ μοι μέλεος, οὐδ' ἔχω
ὅπα, πρὸς πότερον
ἴδω, πᾶ δὲ θῶ.
πάντα γὰρ
λέχρια, τὰν χεροῖν,
τά τ' ἐπὶ κρατί μοι
πότμος δυσκόμιστος εἰσήλατο.
ΕΞ. . . . . . . . . . . . .
. . . . . . . . . . . .
ΧΟ. πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ' ἐς θεοὺς

1330. κάλλιστα. Neutrum plurale pro adverbio καλλίστως. Ordo est, φανήτω μόρων ἐμῶν ὕπατος, ὁ κάλλιστα ἄγων ἐμοὶ τερμίαν ἡμέραν.

1334. Aldus cum interrogatione τί χρὴ πράσσειν;

1337. μὴ νῦν προσεύχου μηδέν. Virgil. Æn. vi. 376. Desine fata Deûm flecti sperare precando.

1340. Aldus et veteres codd. κατέκτανον, contra metrum. Triclinius κατέκτα.

1343. πᾶ δὲ θῶ. Sic optime Canterus ex metri ratione. Aldus et codd. πᾶ καὶ θῶ, quod frustra tuetur Heathius. Antithetici versus dochmaici sunt puri, Ἰὼ πρόσπολοι. Ἴδω πᾶ δὲ θῶ.

1345. λέχρια, τὰν χεροῖν. Sic ad metri rationem legendum. Versus est dochmaicus. Perperam Aldus τάδ' ἐν χεροῖν τάδ' ἐπὶ—

μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτίσαντες,
γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

---

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΤΡΑΧΙΝΙΑΙ.

ΤΑ ΤΟΥ

# ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΗΙΑΝΕΙΡΑ.

ΘΕΡΑΠΑΙΝΑ.

ΥΛΛΟΣ.

ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ ΤΡΑΧΙΝΙΩΝ.

ΑΓΓΕΛΟΣ.

ΛΙΧΑΣ.

ΤΡΟΦΟΣ.

ΠΡΕΣΒΥΣ.

ΗΡΑΚΛΗΣ.

# ΥΠΟΘΕΣΙΣ ΤΡΑΧΙΝΙΩΝ

## ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ.

---

ΗΡΑΚΛΗΣ παραγενόμενος εἰς Καλυδῶνα, τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο· καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῶον ἀπεικασθέντα ταύρῳ, περιέκλασε τὸ ἕτερον τῶν κεράτων· καὶ τὴν μὲν Δηϊάνειραν γαμεῖ. τὸ δὲ κέρας Ἀχελῶος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. τοῦτο δὲ, ὡς Φερεκύδης φησὶ, δύναμιν εἶχε τοιαύτην, ὥστε ποτὸν ἢ βρωτὸν, ὅπερ ἂν αὔξαιτό τις, παρέχειν ἄφθονον. στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτοὺς, καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν, πατὴρ Τληπολέμου γίνεται. γενομένων δὲ τούτων, εὐωχούμενος παρ' Οἰνεῖ, κονδύλῳ παίσας ἀπέκτεινεν Εὔνομον, τὸν Ἀρχιτέλους παῖδα, κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ οὗτος ἦν Οἰνέως. καὶ ὁ μὲν πατὴρ τοῦ παιδὸς, ἀκουσίου γενομένου τοῦ συμβεβηκότος, συνεγνωμόνει· Ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἤθελε· καὶ δὴ ἔγνω πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι. ἄγων δὲ Δηϊάνειραν, εἰς ποταμὸν Εὔηνον ἦλθεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος, τοὺς παριόντας διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι, διὰ τὸ δίκαιος εἶναι. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διέβη· Δηϊάνειραν δὲ, μισθὸν αἰτηθεὶς, ἐπέτρεψε Νέσσῳ κομίζειν· ὁ δὲ πορθμεύων

αὐτὴν ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραζούσης αἰσθόμενος Ἡρακλῆς, ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν· ὁ δὲ μέλλων τελευτᾷν, προσκαλεσάμενος Δηϊάνειραν, εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι πρὸς Ἡρακλέα φίλτρον ἔχειν· τόν τε ἰὸν ἀφῆκε κατὰ τῆς κόχλου, καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας, ἔδωκεν· ἡ δὲ λαβοῦσα, ἐφύλαττε παρ' ἑαυτῇ. διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ὑπαντήσαντος αὐτῷ Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων λύσας καὶ σφάξας εὐωχήσατο. ὡς δὲ ἧκεν εἰς Τραχῖνα πρὸς Κήϋκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ, Δρύοπας κατεπολέμησεν. αὖθις δὲ ἐκεῖθεν ὁρμηθεὶς, Αἰγιμίῳ βασιλεῖ συνεμάχησε Δωριέων. Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνου στρατηγοῦντος. ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. βοηθήσας δὲ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ καὶ ἄλλων, καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν· ἀπέκτεινε δὲ καὶ Λαγόραν μετὰ τῶν παίδων ἐν Ἀπόλλωνος τεμένει δαινύμενον, ὑβριστὴν ὄντα, καὶ Λαπιθῶν σύμμαχον. παριόντα δὲ Ἴτωνα, εἰς μονομαχίαν προὐκαλεῖτο αὐτὸν Κύκνος, ὁ Ἄρεος καὶ Πελοπίας· συστὰς δὲ, καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρμένιον ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς οὐκ εἴασε μεθ' ὅπλων παριέναι· κωλυόμενος δὲ παρελθεῖν, καὶ τοῦτον ἀπέκτεινεν. ἀφικόμενος δὲ εἰς Τραχῖνα, στρατιὰν ἐπ' Οἰχαλίαν συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. συμμαχούντων δ' Ἀρκάδων αὐτῷ, καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος, καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων Εὔρυτον, αἱρεῖ τὴν πόλιν· καὶ θάψας τῶν σὺν αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, Ἵππασον τὸν Κήϋκος, καὶ Ἀργεῖον καὶ Μέλανα, τοὺς Λικυμνίου παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωτον. καὶ

προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας ἀκρωτηρίῳ, Διὸς Κηναίου ἱερὸν ἱδρύσατο. μέλλων δὲ ἱερουργεῖν εἰς Τραχῖνα Λίχαν τὸν κήρυκα ἔπεμψε, λαμπρὰν ἐσθῆτα οἴσοντα. παρὰ τούτου δὲ τὰ περὶ τὴν Ἰόλην Δηϊάνειρα πυθομένη, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν· ὡς δὲ, θερμανθέντος τοῦ χιτῶνος, ὁ ἰὸς τῆς ὕδρας τοῦ χρωτὸς καθήπτετο, τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος κατηκόντισεν εἰς τὴν θάλασσαν· τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι· συναπεσπῶντο δὲ καὶ αἱ σάρκες αὐτῷ. τοιαύτῃ δὲ συμφορᾷ κατασχεθεὶς, εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται. Δηϊάνειρα δὲ ἀχθεσθεῖσα ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς αὐτῷ ἐκ Δηϊανείρας ἦν παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην, ὅ ἐστιν ὄρος Τραχῖνος, πυρὰν ποιήσας, ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν. τοῦ δὲ μὴ θέλοντος, Ποίας παριὼν ἐπὶ ζήτησιν ποιμνίων, ὑφάψας, ἔλαβε τὰ τόξα παρ' αὐτοῦ δωρεάν. καιομένης δὲ τῆς πυρᾶς, λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι· ἔνθα τυχὼν ἀθανασίας, καὶ διαλλαγεὶς Ἥρᾳ, τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.

# ΑΘΛΟΙ ΗΡΑΚΛΕΟΥΣ.

---

ΠΡΩΤΑ μὲν ἐν Νεμέᾳ βριαρὸν κατέπεφνε λέοντα.
Δεύτερον, ἐν Λέρνῃ πολυαύχενον ὤλεσεν ὕδραν.
Τὸ τρίτον αὖτ' ἐπὶ τοῖς 'Ερυμάνθιον ἔκτανε κάπρον.
Χρυσόκερων ἔλαφον μετὰ ταῦτ' ἤγρευσε, τέταρτον.
Πέμπτον δ', ὄρνιθας Στυμφηλίδας ἐξεδίωξεν.
Ἕκτον, Ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
Ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
Ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
Ἐκ Θρῄκης, ἔνατον, Διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου, δέκατον, βόας ἤλασεν ἐξ Ἐρυθείης.
Ἑνδέκατον δ', ἀνάγει κύνα Κέρβερον ἐξ Ἀΐδαο.
Δωδέκατον δ', ἤνεγκεν ἐς Ἑλλάδα χρύσεα μῆλα.
Θεστίεω θυγατρῶν τρισκαιδέκατος πέλεν ἆθλος.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΤΡΑΧΙΝΙΑΙ.

---

### ΔΗΙΑΝΕΙΡΑ.

ΛΟΓΟΣ μέν ἐστ' ἀρχαῖος ἀνθρώπων φανεὶς,
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνοι τις, οὔτ' εἰ χρηστὸς, οὔτ' εἴ τῳ κακός·
ἐγὼ δὲ τὸν ἐμὸν, καὶ πρὶν εἰς Ἅδου μολεῖν,
ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν.
ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
ναίουσ' ἐνὶ Πλευρῶνι, νυμφείων ὄκνον
ἄλγιστον ἔσχον, εἴ τις Αἰτωλὶς γυνή.
μνηστὴρ γὰρ ἦν μοι ποταμὸς, Ἀχελῷον λέγω,
ὅς μ' ἐν τρισὶν μορφαῖσιν ἐξῄτει πατρὸς,
φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ' αἰόλος
δράκων ἑλικτὸς, ἄλλοτ' ἀνδρείῳ κύτει

2. ἐκμάθοις. Sic in T. recte. Ceteri, ut vulgo, ἐκμάθοι. Secunda persona pro tertia incerta et non definita eleganter ponitur in sententiis generalibus: quod utriusque linguæ scriptoribus familiare est. Sic infra, 597. ὡς σκότῳ κἂν αἰσχρὰ πράσσῃς οὔ ποτ' αἰσχύνῃ πεσεῖ. pro κἂν αἰσχρὰ πράσσῃ τις, οὔ ποτ' αἰσχύνῃ πεσεῖται. Pravam hic exhibent lectionem membr. Regiæ, ut in Eurip. Oreste, 316: quo in loco ceterorum codd. et Aldi auctoritatem potius sequi debebam: Κἂν μὴ νοσῇς γὰρ, ἀλλὰ δοξάζῃς νοσεῖν, Κάματος βροτοῖσιν ἀπορία τε γίγνεται. Sic in eadem fabula, v. 699. —ὅταν δ' ἀνῇ πνοὰς, Τύχοις ἂν αὐτοῦ ῥᾳδίως, ὅσον θέλῃς. pro τύχοι τις, ὅσον θέλῃ. Vide Taubmannum ad Plauti Amphitr. i. 1. 15. De sententia vide ad priorem Œdipum 1528.

7. ναίουσ' ἐνὶ Πλευρῶνι. In B, ναίουσα δ' ἐν Π.—νυμφείων. gl. νυμφευμάτων, μνηστευμάτων. Perperam in T. νυμφίων, ut in scholiis.

12. ἀνδρείῳ κύτει βούπρῳρος. Sic apud Strabonem legitur l. x. p. 703. longe elegantius quam in Tragici exemplaribus, ἀνδρείῳ τύπῳ βούκρανος.

βούπρωρος· ἐκ δὲ δασκίου γενειάδος
κρουνοὶ διεῤῥαίνοντο κρηναίου ποτοῦ.
τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη
δύστηνος, αἰεὶ κατθανεῖν ἐπευχόμην,
πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
χρόνῳ δ' ἐν ὑστέρῳ μὲν, ἀσμένῃ δ' ἐμοὶ,
ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς·
ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης,
ἐκλύεταί με. καὶ τρόπον μὲν ἂν πόνων
οὐκ ἂν διείποιμ'· οὐ γὰρ οἶδ'· ἀλλ' ὅστις ἦν
θακῶν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι.
ἐγὼ γὰρ ἥμην ἐκπεπληγμένη φόβῳ,
μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ.
τέλος δ' ἔθηκε Ζεὺς Ἀγώνιος καλῶς,
εἰ δὴ καλῶς· λέχος γὰρ Ἡρακλεῖ κριτὸν
ξυστᾶσ' ἀεί τιν' ἐκ φόβου φόβον τρέφω,
κείνου προκηραίνουσα. νὺξ γὰρ εἰσάγει,
καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
κἄφυσα μὲν δὴ παῖδας, οὓς κεῖνός ποτε,
γήτης ὅπως ἄρουραν ἔκτοπον λαβὼν
σπείρων μόνον προσεῖδε κἀξαμῶν ἅπαξ.
τοιοῦτος αἰὼν ἐκ δόμων τε κεἰς δόμους
ἀεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ.
νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.
ἐξ οὗ γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν,
ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ' ἀνάστατοι

18. Elegans phrasis est ἐλθεῖν ἀσμένῳ τινί. Comicus in Pace, 582. ὦ φιλτάτη γ', ὡς ἀσμένοισιν ἡμῖν ἦλθες.

29. προκηραίνουσα. gl. φροντίζουσα. Eurip. Hercul. Fur. 519. Τί φημί; ποῖ' ὄνειρα κηραίνουσ' ὁρῶ;

31. κἄφυσα μὲν δὴ παῖδας. Sic B. In T. κἄφυσα μὲν παῖδας. In membr. κἀφύσαμεν δὴ—Sequentia sic ordinanda sunt: οὓς κεῖνός ποτε προσεῖδεν ἅπαξ μόνον, ὅπως γήτης ἄρουραν ἔκτοπον λαβὼν προσεῖδεν αὐτὴν μόνον σπείρων καὶ ἐξαμῶν.

34. ἐκ δόμων τε κεἰς δόμους. Sic B. In aliis εἰς δόμους τε κἀκ δόμων.

ξένῳ παρ' ἀνδρὶ ναίομεν· κεῖνος δ' ὅποι
βέβηκεν, οὐδεὶς οἶδε. πλὴν ἐμοὶ πικρὰς
ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται·
σχεδὸν δ' ἐπίσταμαί τι πῆμ' ἔχοντά νιν.
χρόνον γὰρ οὐχὶ βαιὸν, ἀλλ' ἤδη δέκα
μῆνας πρὸς ἄλλοις πέντ', ἀκήρυκτος μένει,
κἄστιν τι δεινὸν πῆμα· τοιαύτην ἐμοὶ
δέλτον λιπὼν ἔστειχε, τὴν ἐγὼ θαμὰ
θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.

## ΘΕΡΑΠΑΙΝΑ.

δέσποινα Δηάνειρα, πολλὰ μέν σ' ἐγὼ
κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρματα
τὴν Ἡράκλειον ἔξοδον γοωμένην·
νῦν δ', εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν
γνώμαισι δούλαις, κἀμὲ χρὴ φράσαι τόσον.
πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινὰ,
μάλιστα δ', ὅνπερ εἰκὸς, Ὕλλον, εἰ πατρὸς
νέμοι τιν' ὥραν τοῦ καλῶς πράσσειν, δοκεῖν;
ἐγγὺς δ' ὅδ' αὐτὸς αὐτίπους θρώσκει δόμους,
ὥστ', εἴ τι σοὶ πρὸς καιρὸν ἐννέπειν δοκῶ,
πάρεστι χρῆσθαι τἀνδρὶ, τοῖς τ' ἐμοῖς λόγοις.

ΔΗ. ὦ τέκνον, ὦ παῖ, κἀξ ἀγεννήτων ἄρα
μῦθοι καλῶς πίπτουσιν. ἥδε γὰρ γυνὴ
δούλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον.

40. ὅποι βέβηκεν. Libri omnes ὅπου mendose. Eurip. Rheso, 690. οἶσθ' ὅποι βεβᾶσιν ἄνδρες.

49. Δηάνειρα. Sic scribendum; non, ut vulgo, Δηϊάνειρα. Vide Piersonum ad Mœridem, p. 300.

52. εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν γνώμαισι δούλαις. Sic apud Plautum Epidicus servus hero suo et consiliorum participi seni ait: —si æquom siet Me plus sapere quam vos, dederim vobis consilium catum.

56. μάλιστα δ'—Ordo est: μάλιστα δὲ Ὕλλον, ὅνπερ εἰκός ἐστι δοκεῖν, εἰ νέμοι τιν' ὥραν τοῦ καλῶς πράσσειν τοῦ πατρὸς, id est τῆς τοῦ πατρὸς εὐπραξίας. Nihil horum intellexit Heathius, qui temere contra librorum fidem legi vult εἰ πατρὸς νέμειν τιν' ὥραν τοῦ καλῶς πράσσειν δοκεῖ.

## ΥΛΛΟΣ.

ϖοῖον; δίδαξον, μῆτερ, εἰ διδακτά μοι.
ΔΗ. σοὶ ϖατρὸς οὕτω δαρὸν ἐξενωμένου,
τὸ μὴ ϖυθέσθαι ϖοῦ 'στιν, αἰσχύνην φέρειν.
ΥΛ. ἀλλ' οἶδα, μύθοις γ' εἴ τι ϖιστεύειν χρεών.
ΔΗ. καὶ ϖοῦ κλύεις νιν, τέκνον, ἱδρύσθαι χθονός;
ΥΛ. τὸν μὲν ϖαρελθόντ' ἄροτον, ἐν μήκει χρόνου
Λυδῇ γυναικὶ φασί νιν λάτριν ϖονεῖν,
ΔΗ. ϖᾶν τοίνυν, εἰ καὶ τοῦτ' ἔτλη, κλύοι τις ἄν.
ΥΛ. ἀλλ' ἐξαφεῖται τοῦδέ γ', ὡς ἐγὼ κλύω.
ΔΗ. ϖοῦ δῆτα νῦν ζῶν, ἢ θανών γ', ἀγγέλλεται;
ΥΛ. Εὐβοΐδα χώραν φασὶν, Εὐρύτου ϖόλιν,
ἐπιστρατεύειν αὐτὸν, ἢ μέλλειν ἔτι.
ΔΗ. ἆρ' οἶσθα δῆτ', ὦ τέκνον, ὡς ἔλειπέ μοι
μαντεῖα ϖιστὰ τῆσδε τῆς χώρας ϖέρι;
ΥΛ. τὰ ϖοῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.
ΔΗ. ὡς ἢ τελευτὴν τοῦ βίου μέλλει τελεῖν,
ἢ τοῦτον ἄρας ἆθλον, εἰς τὸν ὕστερον,
τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν.
ἐν οὖν ῥοπῇ τοιᾷδε κειμένῳ, τέκνον,
οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἢ σεσώσμεθα,
κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα
καὶ ϖίπτομεν, σοῦ ϖατρὸς ἐξολωλότος;
ΥΛ. ἀλλ' εἶμι, μῆτερ· εἰ δὲ θεσφάτων ἐγὼ
βάξιν κατῄδη τῶνδε, κἂν ϖάλαι παρῆν.

65. σοὶ αἰσχύνην φέρειν. Nempe εἴρηκεν. Sic optime Valckenarius ad Phœn. p. 140. Mendose in libris σὺ—αἰσχύνη φέρει.

73. ἢ θανών γ'. Sic B. Particula in ceteris libris omissa.

84. In omnibus libris horum versuum ordo et sensus perversus est.—ἡνίκ' ἢ σεσώσμεθα, Ἢ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος, Κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα.

87. κατῄδη. Vulgo κατῄδειν. Præcedentium versuum transpositionem alii jam animadverterant: at eos qui proxime sequuntur loco etiam suo motos fuisse, nemo subodoratus fuerat, quod tamen cuivis ad seriem sententiarum attendenti perspicuum esse debet.

νῦν δ', ὡς ξυνίημ', οὐδὲν ἐλλείψω τὸ μὴ οὐ
πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.
ἀλλ' ὁ ξυνήθης πότμος οὐκ ἐᾷ πατρὸς
ἡμᾶς προταρβεῖν, οὐδὲ δειμαίνειν ἄγαν.
ΔΗ. χώρει νυν, ὦ παῖ. καὶ γὰρ ὑστέρῳ τό γ' εὖ
πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ.

## ΧΟΡΟΣ.

Ὃν αἰόλα νὺξ ἐναριζομένα — στροφὴ α'.
τίκτει, κατευνάζει τε, φλογιζόμενον
Ἅλιον, Ἅλιον αἰτῶ
τοῦτο, καρύξαι τὸν Ἀλκμή-
νας, πόθι μοι πόθι παῖς
ναίει ποτ', ὦ λαμπρᾷ στεροπᾷ φλεγέθων,
ἢ ποντίους αὐλῶνας, ἢ
δισσαῖς ἀπείροις κλιθείς,
εἴπ', ὦ κρατιστεύων κατ' ὄμμα.
ποθουμένᾳ γὰρ φρενὶ πυνθάνομαι — ἀντιστρ. α'.
τὰν ἀμφινεικῆ Δηϊάνειραν ἀεὶ,
οἷά τιν' ἄθλιον ὄρνιν,
οὔ ποτ' εὐνάζειν ἀδακρύ-
των βλεφάρων πόθον, ἀλλ'
εὔμναστον ἀνδρὸς δεῖμα τρέφουσαν ὁδοῦ,

88. τὸ μὴ οὐ. Vulgo τὸ μὴ sine οὐ, quod hic probabile est a poëta additum fuisse.

90. ἀλλ' ὁ ξυν—Vulgo νῦν δ' ὁ—Quum ordine præpostero scriberentur versus, librarii etiam connectivas particulas mutarunt, ut supra, 85. ἢ pro καὶ supposuerunt.

95. Eustathius ad Il. α'. pag. 22. Λητοῦς δὲ υἱὸς ὁ Ἀπόλλων λέγεται, τουτέστι νυκτός. δοκεῖ γὰρ ἐξ αὐτῆς, οἷα μητρὸς, ὁ ἥλιος γεννᾶσθαι, ὡς καὶ Σοφοκλῆς ἐν Τραχινίαις λέγει, ἔνθα φησὶν ὅτι ἡ νὺξ ἐναριζομένη τίκτει κατευνάζει τε τὸν ἥλιον. παρέοικε δὲ πάντως τῇ τοιαύτῃ τοῦ Σοφοκλέους ἐννοίᾳ καὶ Αἰσχύλου ἐν Ἀγαμέμνονι (272.) τὸ, Εὐάγγελος ἠὼς γένοιτο μητρὸς εὐφρόνης πάρα. ὡς γὰρ ἐκ νυκτὸς ἥλιος, οὕτω καὶ ἠὼς ἐξ εὐφρόνης.

108. δεῖμα τρέφουσαν. Certa et elegans est Casauboni emendatio, quem vide ad Athenæum, pag. 549. ubi plurimis exemplis ostendit, quam familiaris Tragico nostro fuerit usus verbi τρέφειν pro ἔχειν. Supra, v. 28.

ἐνθυμίοις εὐναῖς ἀναν-
δρώτοις τρύχεσθαι, κακὰν
δύστανον ἐλπίζουσαν αἶσαν.
πολλὰ γὰρ ὥστ' ἀκάμαντος στροφὴ β'.
ἢ Νότου ἢ Βορέα τις
εὐρέϊ κύματα πόντῳ
βάντ' ἐπιόντα τ' ἴδοι,
οὕτω δὲ τὸν Καδμογενῆ
τρέφει, τὸ δ' αὔξει βιότου
πολύπονον, ὥσπερ πέλαγος
Κρήσιον. ἀλλά τις θεῶν
αἰὲν ἀπλάκητον Ἅιδα
σφε δόμων ἐρύκει.
ὧν ἐπιμεμφομένα σ', ἁ- ἀντιστρ. β'.
δεῖα μὲν, ἀντία δ' οἴσω.
φαμὶ γὰρ οὐκ ἀποτρύειν
ἐλπίδα τὰν ἀγαθὰν
χρῆναί σ'. ἀνάλγητα γὰρ οὐδ'

dixerat Deianira, ἀεί τιν' ἐκ φόβου φόβον τρέφω. Hic perperam in codd. scriptum δεῖμα φέρουσαν.

114. Aldus et veteres codd. perverso metro, κύματ' εὐρέϊ πόντῳ. Triclinium hiatus non offendit. Verum transponendæ erant voces : εὐρέϊ κύματα πόντῳ.

120. ἀπλάκητον. Sic ex Hesychio legendum ostendit Abreschius Miscell. Observ. vol. v. p. 102. Perperam in codd. ἀμπλάκητον.

122. ἀδεῖα neutrum est plurale ab ἡδὺς, inserto ob metrum ι, quod in omni voce post literam ε poëtis licuit. Adjectiva in ὺς femininum flectunt in εῖα. At poëtis licet diphthongi posteriorem literam ι exterere, ut ὠκέαν Ἶριν Homerus appellat pro ὠκεῖαν. Quidni contraria ratione ι insererent in neutro plurali? Hoc si quis ob exemplorum raritatem ægre admittat, ἀδεῖα accipere possit pro nominativo singulari : ἀδεῖα μέν σοι γενήσομαι, ἀντία δ' οἴσω. Utrumvis sane præstat ineptæ Heathii emendationi legentis ἀδεῖα ex ἀδεής. *Formidine expertia, verum adversa tibi dicam.* Quænam, obsecro, illa oppositio est? neutrum plurale ἀδεῖα pro ἀδεᾶ non pluribus firmabitur exemplis quam ἀδεῖα *jucunda*, pro ἀδέα. Proinde cum bona Heathii et nuperi Parisini editoris venia librorum lectionem retinendam esse decernimus.

124. Pindarus Isthm. viii. 32. χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν.

129. ἐπὶ πῆμα καὶ χαρὰ πᾶσι κυκλοῦσ'. Id est ἐπικυκλοῦνται πᾶσι πῆμα καὶ χαρά.

ὁ πάντα κραίνων βασιλεὺς
ἐπέβαλε θνατοῖς Κρονίδας.
ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ
πᾶσι κυκλοῦσ', οἷον ἄρκτου
στροφάδες κέλευθοι.
μένει γὰρ οὔτ' αἰόλα νὺξ ἐπῳδός.
βροτοῖσιν, οὔτε Κῆρες,
οὔτε πλοῦτος· ἀλλ' ἄφαρ
βέβακε· τῷ δ' ἐπέρχεται
χαίρειν τε καὶ στέρεσθαι.
ἃ καὶ σὲ τὰν ἄνασσαν ἐλπίσιν λέγω
τάδ' αἰὲν ἴσχειν·
ἐπεὶ τίς ὧδε τέκνοισι
Ζῆν' ἄβουλον εἶδεν;

ΔΗ. Πεπυσμένη μὲν, ὡς ἀπεικάσαι, πάρει,
πάθημα τοὐμόν· ὡς δ' ἐγὼ θυμοφθορῶ,
μή τ' ἐκμάθοις παθοῦσα· νῦν δ' ἄπειρος εἶ.
τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται
χώροισιν αὑτοῦ· καί νιν οὐ θάλπος θεοῦ,
οὐδ' ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον,
ἐς τοῦθ', ἕως τις ἀντὶ παρθένου γυνὴ
κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος,
ἤ τοι πρὸς ἀνδρὸς, ἢ τέκνων, φοβουμένη.
τότ' ἄν τις εἰσίδοιτο, τὴν αὑτοῦ σκοπῶν
πρᾶξιν, κακοῖσιν οἷς ἐγὼ βαρύνομαι.
πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγ' ἐκλαυσάμην·
ἓν δ', οἷον οὔπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
ὡρμᾶτ' ἀπ' οἴκων Ἡρακλῆς, τότ' ἐν δόμοις

137. ἃ, id est, δι' ἃ, *quapropter*.

142. θυμοφθορῶ. gl. κατὰ ψυχὴν φθείρομαι. Seq. v. μή τ' valet μή τοι. Pro παθοῦσα, quod emendate scriptum in B. T. membr. et Aldus perperam exhibent παροῦσα.

λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
ξυνθήμαθ', ἅ'μοὶ πρόσθεν οὐκ ἔτλη ποτὲ,
πολλοὺς ἀγῶνας ἐξιὼν, οὔπω φράσαι.
ἀλλ' ὥς τι δράσων εἷρπε, κοὐ θανούμενος.
νῦν δ' ὡς ἔτ' οὐκ ὢν, εἶπε μὲν λέχους ὅτι
χρείη μ' ἑλέσθαι κτῆσιν· εἶπε δ' ἣν τέκνοις
μοῖραν πατρῴας γῆς διαίρετον νέμοι·
χρόνον προτάξας ὡς τρίμηνον, ἡνίκ' ἂν
χώρας ἀπείη, κἀνιαύσιον, βεβὼς,
τότ' ἢ θανεῖν χρείη σφε τῷδε τῷ χρόνῳ,
ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος,
τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.
τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα
τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων,
ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
Δωδῶνι δισσῶν ἐκ Πελειάδων ἔφη.
καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
τοῦ νῦν παρόντος, ὡς τελεσθῆναι χρεών.
ὥσθ' ἡδέως εὕδουσαν ἐκπηδᾶν ἐμὲ
φόβῳ, φίλαι, ταρβοῦσαν, εἴ με χρὴ μένειν
πάντων ἀρίστου φωτὸς ἐστερημένην.
ΧΟ. εὐφημίαν νῦν ἴσχ'· ἐπεὶ καταστεφῆ
στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χάριν λόγων.

157. *δέλτον ἐγγεγραμμένην ξυνθήμαθ'.* Elegans structura, quam Virgilius imitatur Ecl. iii. *Flores inscripti nomina regum.* Simile exemplum e Platone profert Guellius: *ἐὰν μὲν ἢ δοῦλος ἢ ξένος, ἐν τῷ προσώπῳ καὶ ταῖς χερσὶ γραφεὶς τὴν συμφορὰν, καὶ μαστιγωθεὶς—*

158. *ξυνθήμαθ', ἅ'μοὶ—* Una vox est *ἅ'μοὶ* contracta ex *ἃ ἐμοὶ*, priore syllaba ob crasin longa. Pessime Turnebus excudit *ξυνθήματα ἅ μοι.* Mendose etiam Aldus, *ξυνθήμαθ' ἅ μοι.*

162. Aldus et codd. hîc et v. 166. pro *χρείη* solemnem scripturæ errorem exhibent *χρεῖ' ἦ.*

163. *νέμοι.* Sic B. T. In membr. ut apud Aldum, *μένειν.*

165. *ἀπείη.* Sic emendate scriptum in B. quod in aliis libris diversimode depravatum: in T. *ἀπήει*: in membr. *ἀπίῃ*, ut Aldus edidit—Libri omnes *κἀνιαύσιος* mendose. Ordo est: *χρόνον προτάξας ὡς τρίμηνον κἀνιαύσιον, ἡνίκ' ἂν βεβὼς χώρας ἀπείη.*

179. *πρὸς χάριν λόγων.* Id est,

## ΑΓΓΕΛΟΣ.

δέσποινα Δηάνειρα, πρῶτος ἀγγέλων
ὄκνου σε λύσω. τὸν γὰρ Ἀλκμήνης τόκον
καὶ ζῶντ' ἐπίστω, καὶ κρατοῦντα, κἀκ μάχης
ἄγοντ' ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.
ΔΗ. τίν' εἶπας, ὦ γεραιὲ, τόνδ' ἐμοὶ λόγον;
ΑΓ. τάχ' ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν
ἥξειν, φανέντα σὺν κράτει νικηφόρῳ.
ΔΗ. καὶ τοῦ τόδ' ἀστῶν ἢ ξένων μαθὼν λέγεις;
ΑΓ. ἐν βουθερεῖ λειμῶνι πρόσπολος θροεῖ
Λίχας ὁ κῆρυξ ταῦτα. τοῦδ' ἐγὼ κλύων
ἀπῇξ', ὅπως σοι πρῶτος ἀγγείλας τάδε,
πρὸς σοῦ τι κερδάναιμι, καὶ κτῴμην χάριν.
ΔΗ. αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;
ΑΓ. οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ, γύναι.
κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
κρίνει παραστὰς, οὐδ' ἔχει βῆναι πρόσω.
τὸ γὰρ ποθοῦν ἕκαστος ἐκμαθεῖν θέλων
οὐκ ἂν μεθεῖτο, πρὶν καθ' ἡδονὴν κλύειν.
οὕτως ἐκεῖνος οὐχ ἑκὼν, ἑκοῦσι δὲ
ξύνεστιν· ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.
ΔΗ. ὦ Ζεῦ, τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις,
ἔδωκας ἡμῖν, ἀλλὰ σὺν χρόνῳ, χαράν.
φωνήσατ', ὦ γυναῖκες, αἵ τ' ἔσω στέγης,
αἵ τ' ἐκτὸς αὐλῆς, ὡς ἄελπτον ὄμμ' ἐμοὶ
φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.
ΧΟ. Ἀνολολύξατε δόμοι
ἐφεστίοις ἀλαλαγαῖς.

ἕνεκα λόγων. Vide ad Antig. 30. Perperam libri omnes πρὸς χαράν.

195. κρίνει. Id est, ἀνακρίνει. Simplex pro composito.

205. ἀνολολύξατε δόμοι. Perperam Aldus ἀνολολύξετε δόμοις.

206. ἀλαλαγαῖς. Sic B. Perperam Aldus ἀλαλαῖς. Nuptiarum proprium verbum est ἀλαλάζειν. Euripid. Herc. Fur. initio: Κρέων δὲ Μεγάρας

ὁ μελλόνυμφος, ἐν δὲ κοινὸς ἀρσένων
ἴτω κλαγγά· τὸν εὐφαρέτραν
Ἀπόλλωνα προστάταν,
ὁμοῦ δὲ Παιᾶνα, Παιᾶν'
ἀνάγετ', ὦ παρθένοι,
βοᾶτε τὰν ὁμόσπορον
Ἄρτεμιν Ὀρτυγίαν,
ἐλαφηβόλον, ἀμφίπυρον,
γείτονάς τε Νύμφας.
ἀείρομ', οὐδ' ἀπώσομαι
τὸν αὐλὸν, ὦ τύραννε τᾶς ἐμᾶς φρενός.
ἰδού μ' ἀναταράσσει
εὐοῖ μ' ὁ κισσὸς, ἄρτι βακχίαν
ὑποστρέφων ἅμιλλαν
ἰὼ ἰὼ Παιάν·
ἴδ', ἴδ', ὦ φίλα
γύναι, τάδ' ἀντίπρωρα δῆτά σοι βλέπειν
πάρεστ' ἐναργῆ.

ΔΗ. Ὁρῶ, φίλαι γυναῖκες, οὐδ' ἔμ' ὄμματος
φρουρὰ παρῆλθε, τόνδε μὴ λεύσσειν στόλον·
χαίρειν δὲ τὸν κήρυκα προὐνέπω, χρόνῳ
πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.

## ΛΙΧΑΣ.

ἀλλ' εὖ μὲν ἵγμεθ'· εὖ δὲ προσφωνούμεθα,
γύναι, κατ' ἔργου κτῆσιν. ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.

τῆσδε γίγνεται πατὴρ, Ἣν πάντες ὑμεναίοισι Καδμεῖοι ποτὲ Λωτῷ συνηλλάλαξαν, ἡνίκ' εἰς ἐμοὺς δόμους ὁ κλεινὸς Ἡρακλῆς νιν ἤγετο.

207. ὁ μελλόνυμφος, nempe ὕμνος, ut ὁ καλλίνικος.

214. ἐλαφηβόλον. Sic scriptum in B. Aldus edidit ἐλαφοβόλον.

223. δῆτά σοι. Sic legendum. Perperam in libris δή σοι claudicante versu.

227. προὐνέπω. Sic T. In aliis, ut apud Aldum, προὐννέπω.

ΔΗ. ὦ φίλτατ' ἀνδρῶν, πρῶθ', ἃ πρῶτα βούλομαι,
δίδαξον, εἰ ζῶνθ' Ἡρακλέα προσδέξομαι.
ΛΙ. ἔγωγέ τοι σφ' ἔλειπον ἰσχύοντά τε,
καὶ ζῶντα, καὶ θάλλοντα, κοὐ νόσῳ βαρύν.
ΔΗ. ποῦ γῆς; πατρῴας, εἴτε βαρβάρου; λέγε.
ΛΙ. ἀκτή τις ἔστ' Εὐβοιὶς, ἔνθ' ὁρίζεται
βωμοὺς, τελεῖ τ' ἔγκαρπα Κηναίῳ Διί.
ΔΗ. εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;
ΛΙ. εὐκταῖ', ὅθ' ᾕρει τῶνδ' ἀνάστατον δορὶ
χώραν γυναικῶν, ὧν ὁρᾷς ἐν ὄμμασιν.
ΔΗ. αὗται δὲ, πρὸς θεῶν, τοῦ ποτ' εἰσὶ, καὶ τίνες;
οἰκτραὶ γὰρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.
ΛΙ. ταύτας ἐκεῖνος, Εὐρύτου πέρσας πόλιν,
ἐξείλεθ' αὑτῷ κτῆμα καὶ θεοῖς κριτόν.
ΔΗ. ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον
χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;
ΛΙ. οὐκ. ἀλλὰ τὸν μὲν πλεῖστον ἐν Λυδοῖς χρόνον
κατείχεθ', ὥς φησ' αὐτὸς, οὐκ ἐλεύθερος,
ἀλλ' ἐμποληθείς. τοῦ λόγου δ' οὐ χρὴ φθόνον,
γύναι, προσεῖναι, Ζεὺς ὅτου πράκτωρ φανῇ.
κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ
ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.
χ' οὕτως ἐδήχθη τοῦτο τοὔνειδος λαβὼν,
ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν,
ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους
ξὺν παισὶ καὶ γυναικὶ δουλώσειν ἔτι.
κοὐχ ἡλίωσε τοὔπος. ἀλλ', ὅθ' ἁγνὸς ἦν,

238. τελεῖ τ' ἔγκαρπα. Sic membr. et Aldus recte. Alii τέλη τ' ἔγκαρπα, quod cum ὁρίζεται haud commode jungitur. Valckenarii emendatione in Eurip. Diatr. p. 144. prolata facile caremus; βωμοὺς θ', ἕλη τ' ἔγκαρπα.

257. ξὺν παισί. Sic bene Turnebus. In codd. ut apud Aldum legitur παιδί. Non abundat ἔτι, ut tradit Scholiastes. Significat *aliquando*, *posthac*. Vide Orvillium ad Charit. p. 98.

στρατὸν λαβὼν ἐπακτὸν, ἔρχεται πόλιν
τὴν Εὐρυτείαν. τόνδε γὰρ μεταίτιον
μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους·
ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
ἐπεῤῥόθησε, πολλὰ δ' ἀτηρᾷ φρενὶ,
λέγων, χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη,
τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν·
φωνεῖ δὲ, δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου
ῥαίοιτο· δείπνοις δ' ἡνίκ' ἦν οἰνωμένος,
ἔῤῥιψεν ἐκτὸς αὐτόν. ὧν ἔχων χόλον,
ὡς ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν
πρὸς κλιτὺν, ἵππους νομάδας ἐξιχνοσκοπῶν,
τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θήτέρᾳ δὲ νοῦν
ἔχοντ', ἀπ' ἄκρας ἧκε πυργώδους πλακός.
ἔργου δ' ἕκατι τοῦδε μηνίσας ἄναξ
ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Ὀλύμπιος
πρατόν νιν ἐξέπεμψεν, οὐδ' ἠνέσχετο,
ὅθ' οὕνεκ' αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ
ἔκτεινεν. εἰ γὰρ ἐμφανῶς ἠμύνατο,

260. τόνδε, Eurytum nempe, cujus nomen in præcedenti adjectivo τὴν Εὐρύτειαν latet.

262. ἐλθόντ' ἐς δόμους ἐφέστιον. Id est ἐπὶ τὴν οἰκίαν γενόμενον, ut Scholiastes exponit ad El. 419. Sic libri omnes recte. Abreschius ad Æschylum, pag. 79. emendandum censet ἐς δόμους ἐφεστίους, frustra. Perinde dicitur ἐλθὼν ἐς δόμους ἐφέστιος, ἐλθὼν δωμάτων ἐφέστιος, et ἐλθὼν ἐς δόμους ἐφεστίους. Nulla causa est, cur librorum auctoritas conculcetur. Eurip. Ione, 666. Καὶ νῦν μὲν, ὡς δὴ ξένον ἄγων σ' ἐφέστιον, Δείπνοισι τέρψω. Idem Medea, 714. Δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον. Idem Rheso, 201. Στείχοιμ' ἄν· ἐλθὼν δ' εἰς δόμους ἐφέστιος, Σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι. Quæ quidem exempla sufficiunt tuendæ nostræ lectioni. Similia multa addi possent, quæ in promptu habemus.

268. ἡνίκ' ἦν οἰνωμένος. Nempe Hercules. Possis etiam de Euryto intelligere, et fortasse melius.

272. θήτέρᾳ. Sic membr. et Aldus. In aliis θατέρᾳ. Proba est utraque forma. In Comici Avibus, v. 1365. θητέρᾳ trium codicum consensu firmatur.

275. πατὴρ Ὀλύμπιος. Sic libri omnes veteres. Stephanus edidit οὐλύμπιος, ut in T. scriptum est.

Ζεύς τ' ἂν ξυνέγνω ξὺν δίκῃ χειρουμένῳ.
ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες.
κεῖνοι δ' ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς
αὐτοὶ μὲν Ἅδου πάντες εἴσ' οἰκήτορες,
πόλις δὲ δούλη· τάσδε δ', ἅσπερ εἰσορᾷς,
ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον,
χωροῦσι πρὸς σέ. ταῦτα γὰρ πόσις γ' ὁ σὸς
ἐφεῖτ'· ἐγὼ δὲ, πιστὸς ὢν κείνῳ, τελῶ.
αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
φρόνει νιν ὡς ἥξοντα. τοῦτο γὰρ λόγου
πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.

ΧΟ. ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
τῶν μὲν παρόντων, τῶν δὲ * πεπυσμένῃ λόγῳ.

ΔΗ. πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἂν, ἀνδρὸς εὐτυχῆ
κλύουσα πρᾶξιν τήνδε, πανδίκῳ φρενί;
πολλή 'στ' ἀνάγκη τῇδε τοῦτο συντρέχειν.
ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις
ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.
ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
ταύτας ὁρώσῃ δυσπότμους, ἐπὶ ξένης
χώρας ἀοίκους ἀπάτοράς τ' ἀλωμένας,
αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
ὦ Ζεῦ Τροπαῖε, μή ποτ' εἰσίδοιμί σε
πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,
μηδ', εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.

* πεπυσμένη edd. 1. 2.

295. πολλή 'στ' ἀνάγκη. Sic membr. et Aldus. In duobus aliis codd. πολλή τ' ἀνάγκη, quod valet πολλή σοι. Pessime Turnebus edidit πολλὴ δ' ἀνάγκη. Vide ad Œd. Col. 293. et quæ notavimus ad Eur. Med. 1012.

297. ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε. pro ταρβεῖν μὴ ὁ εὖ πράσσων σφαλῇ ποτε. Vide quæ notavimus ad Comici Concion. 1125. Sic Plautus Rud. *Eam veretur, ne perierit.*

οὕτως ἐγὼ δέδοικα, τάσδ' ὁρωμένη.
ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων;
ἄνανδρος, ἢ τεκνοῦσσα; πρὸς μὲν γὰρ φύσιν,
πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.
Λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν;
τίς ἡ τεκοῦσα; τίς δ' ὁ φιτύσας πατήρ;
ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖστον ᾤκτισα
βλέπουσ', ὅσῳ περ καὶ φρονεῖν οἶδεν μόνη.
ΛΙ. τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως
γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.
ΔΗ. μὴ τοῦ τυραννεύοντος Εὐρύτου σπορά;
ΛΙ. οὐκ οἶδα. καὶ γὰρ οὐδ' ἀνιστόρουν μακράν.
ΔΗ. οὐδ' ὄνομα πρός του τῶν ξυνεμπόρων ἔχεις;
ΛΙ. ἥκιστα· σιγῇ τοὐμὸν ἔργον ἤνυτον.
ΔΗ. εἴπ', ὦ τάλαιν', ἀλλ' ἡμὶν ἐκ σαυτῆς· ἐπεὶ
καὶ ξυμφορά τις μὴ εἰδέναι σέ γ', ἥ τις εἶ.
ΛΙ. οὔ τ' ἄρα τῷ γε πρόσθεν οὐδὲν ἐξ ἴσου
χρόνῳ διοίσει γλῶσσαν, ἥ τις οὐδαμᾶ
προὔφηνεν οὔτε μείζον', οὔτ' ἐλάσσονα.
ἀλλ' αἰὲν, ὠδίνουσα συμφορᾶς βάρος,
δακρυῤῥοεῖ δύστηνος, ἐξ ὅτου πάτραν
διήνεμον λέλοιπεν. ἡ δέ τοι τύχη

308. τεκνοῦσσα. Minus bene Aldus τεκνοῦσα. Membr. in textu habent τεκοῦσα, et in margine: γρ. τεκνοῦσα, ἤτοι τέκνα ἔχουσα. In scholiis scripturam emendavi, τεκνοῦσσα—παιδοῦσσα. Non enim sunt ista participia, sed nomina adjectiva formæ contractæ ex τεκνόεσσα et παιδόεσσα, qualia sunt πτεροῦσσα in Eurip. Hippol. 738. αἰθαλοῦσσα in Æschyli Prom. 1000. οἰνοῦττα, μελιτοῦττα apud Comicum. Eodem, quo hic Tragicus, nomine usus est Theophrastus ab Athenæo laudatus p. 31. itidem emendandus: Θεόφραστος δὲ ἐν τῇ περὶ φυτῶν ἱστορίᾳ φησὶν, ἐν Ἡραίᾳ τῆς Ἀρκαδίας γίγνεσθαι οἶνον, ὃς τοὺς μὲν ἄνδρας πινόμενος ἐξίστησι· τὰς δὲ γυναῖκας τεκνούσσας ποιεῖ.

316. In membr. μὴ τῶν τυράννων Εὐρύτου σπορά τις ἦν; absurde. In duobus aliis aliquanto melius, μή του τυράννων—Legendum procul dubio, ut edidimus: Μὴ τοῦ τυραννεύοντος Εὐρύτου σπορά; Infra, 420. Ἰόλην ἔφασκες Εὐρύτου σπορὰν ἄγειν.

321. καὶ ξυμφορά τις. Sic duo codd. In membr. ut apud Aldum, καὶ ξυμφορά τοι.

327. διήνεμον. Schol. ἣν Ὅμηρος ἠνεμόεσσάν φησιν. Nullibi in Homeri

κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.
ΔΗ. ἡ δ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας
οὕτως ὅπως ἥδιστα, μηδὲ πρὸς κακοῖς
τοῖς οὖσι λύπην πρός γ' ἐμοῦ λύπης λάβοι·
ἅλις γὰρ ἡ παροῦσα. πρὸς δὲ δώματα
χωρῶμεν ἤδη πάντες, ὡς σύ γ' οἷ θέλεις
σπεύδῃς, ἐγὼ δὲ τἄνδον ἐξαρκῆ τιθῶ.
ΑΓ. αὐτοῦ γε πρῶτον βαιὸν ἐμμείνασ', ὅπως
μάθῃς, ἄνευ τῶνδ', οὕς τινάς γ' ἄγεις ἔσω,
ὧν τ' οὐδὲν εἰσήκουσας, ἐκμάθῃς γ' ἃ δεῖ.
τούτων ἔχω γὰρ πάντ' ἐπιστήμην ἐγώ.
ΔΗ. τί δ' ἐστὶ, τοῦ με τήνδ' ἐφίστασαι βάσιν;
ΑΓ. σταθεῖσ' ἄκουσον· καὶ γὰρ οὐδὲ τὸν πάρος
μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.
ΔΗ. πότερον ἐκείνους δῆτα δεῦρ' αὖθις πάλιν
καλῶμεν, ἢ μοι ταῖσδέ τ' ἐξειπεῖν θέλεις;
ΑΓ. σοὶ ταῖσδέ τ' οὐδὲν εἴργεται· τούτους δ' ἔα.
ΔΗ. καὶ δὴ βεβᾶσι, χὠ λόγος σημαινέτω.
ΑΓ. ἀνὴρ ὅδ' οὐδὲν, ὧν ἔλεξεν ἀρτίως,
φωνεῖ δίκης ἐς ὀρθόν. ἀλλ' ἢ νῦν κακὸς,
ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.
ΔΗ. τί φῄς; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς.
ἃ μὲν γὰρ ἐξείρηκας, ἄγνοιά μ' ἔχει.
ΑΓ. τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ' ἐγὼ,

poësi, qualem eam hodie legimus, Œchalia ἠνεμόεσσα dicta reperitur. Verum Scholiastes noster meliorem lectionem secutus fuisse videtur Homerici versus Il. β'. 730. Οἵ τ' ἔχον Οἰχαλίην πόλιν Εὐρύτου ἠνεμόεσσαν.

333. ὡς σύ γ'---ἐγὼ δὲ---Sic legendum. Perperam Aldus σύ θ'---Codd. omnes habent ἐγὼ δὲ---Turnebus prava emendatione dedit ἐγώ τε.

335. ἐμμείνασ'---Sic membr. recte, ut Aldus edidit. In aliis libris ἀμμείνασ'.

338. πάντ'. Id est, κατὰ πάντα.

350. ἄγνοιά μ' ἔχει. Perperam Triclinius ἀγνοίᾳ in tertio casu legit. Substantivorum in εια et οια ultima anceps est. Corripitur plerumque, sed productæ haud rara sunt exempla. Eurip. Androm. 520. Καὶ γὰρ ἄνοια μεγάλη λείπειν. Æschylus S. Theb. 404. Τάχ' ἂν γένοιτο μάντις ἡ 'νοιά τινι.

πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ' ἕλοι,
τήν θ' ὑψίπυργον Οἰχαλίαν· Ἔρως δέ νιν
μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε·
οὐ τἀπὶ Λυδοῖς, οὐδ' ἐπ' Ὀμφάλῃ πόνων
λατρεύματ', οὐδ' ὁ ῥιπτὸς Ἰφίτου μόρος·
ὃν νῦν παρώσας οὗτος, ἔμπαλιν λέγει.
ἀλλ' ἡνίκ' οὐκ ἔπειθε τὸν φυτοσπόρον
τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
ἔγκλημα μικρὸν αἰτίαν θ' ἑτοιμάσας,
ἐπιστρατεύει πατρίδα τὴν ταύτης, ἐν ᾗ
τὸν Εὔρυτον τόνδ' εἶπε δεσπόζειν θρόνων·
κτείνει τ' ἄνακτα πατέρα τῆσδε, καὶ πόλιν
ἔπερσε. καί νιν, ὡς ὁρᾷς, ἥκει δόμους
ἐς τούσδε πέμπων οὐκ ἀφροντίστως, γύναι,
οὐδ' ὥστε δούλην· μηδὲ προσδόκα τάδε·
οὐδ' εἰκὸς, εἴπερ ἐντεθέρμανται πόθῳ.
ἔδοξεν οὖν μοι πρὸς σὲ δηλῶσαι τὸ πᾶν,
δέσποιν', ὃ τοῦδε τυγχάνω μαθὼν πάρα.
καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ Τραχινίων
ἀγορᾷ ξυνεξήκουον ὡσαύτως ἐμοὶ,
ὥστ' ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,

358. ὃν νῦν παρώσας οὗτος. Male hunc locum prius accepisse fateor. Versionem denuo mutavi, sensumque fideliter expressi. Duo præcedentes versus tanquam in parenthesi sunt. ὃν refertur ad Ἔρως. Glossa: ὃν, τὸν Ἔρωτα---παρώσας, ἀπωσάμενος. Sic etiam accepit Scholiastes. Hesychius apposite ad hunc locum: παρώσας, ἰάσας. Significationem, quam huic verbo tribueram, non admittit linguæ indoles et prorsus est aliena. Quia inter Ἔρως et ὃν tres interjectos versus videram, temere opinatus sum pronomen ad propius nomen referri. In Œd. Col. 1381. verbum κρατοῦσιν non ad proximum αἴδε refertur, sed ad longe remotius ἀρὰς in sexto ante illum versu. (*l.*)

363. τὸν Εὔρυτον τόνδ'---Sic recte scriptum in B. Perperam in duobus aliis τῶνδ', et in Aldina mendosius adhuc τῶν Εὐρύτου τῶνδ'---

365. καί νιν---Sic legendum. Perperam in libris καὶ νῦν. Ordo est: καὶ ἥκει πέμπων αὐτὴν εἰς δόμους τούσδε---Mendose etiam in libris omnibus δόμους ὡς τούσδε. Vide Marklandum ad Suppl. 321.

οὐχ ἥδομαι· τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.
ΔΗ. οἴ μοι τάλαινα, ποῦ ποτ' εἰμὶ πράγματος;
τίν' εἰσδέδεγμαι πημονὴν ὑπόστεγον,
λαθραῖον; ὢ δύστηνος, ἆρ' ἀνώνυμος
πέφυκεν, ὥσπερ οὑπάγων διώμνυτο,
ἡ κάρτα λαμπρὰ καὶ κατ' ὄμμα καὶ φύσιν;
ΑΓ. πατρὸς μὲν οὖσα γένεσιν Εὐρύτου ποτὲ
Ἰόλη 'καλεῖτο, τῆς ἐκεῖνος οὐδαμᾶ
βλάστας ἐφώνει, δῆθεν οὐδὲν ἱστορῶν.
ΧΟ. ὄλοιντο μή τι πάντες οἱ κακοί, τὰ δὲ
λαθραῖ' ὃς ἀσκεῖ μὴ πρέποντ' αὐτῷ κακά.
ΔΗ. τί χρὴ ποιεῖν, γυναῖκες; ὡς ἐγὼ λόγοις
τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ.
ΧΟ. πεύθου μολοῦσα τἀνδρός, ὡς τάχ' ἂν σαφῆ
λέξειεν, εἴ νιν πρὸς βίαν κρίνειν θέλοις.
ΔΗ. ἀλλ' εἶμι. καὶ γὰρ οὐκ ἀπὸ γνώμης λέγεις.
ΧΟ. ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;
ΔΗ. μίμν', ὡς ἀνὴρ ὅδ' οὐκ ἐμῶν ὑπ' ἀγγέλων,
ἀλλ' αὐτόκλητος, ἐκ δόμων πορεύεται.
ΛΙ. τί χρή, γύναι, μολόντα μ' Ἡρακλεῖ λέγειν;
δίδαξον, ὡς ἕρποντος, εἰσορᾷς, ἐμοῦ.
ΔΗ. ὡς ἐκ ταχείας, ξὺν χρόνῳ βραδεῖ μολών,
ᾄσσεις, πρὶν ἡμᾶς ἀνανεώσασθαι λόγους.

379. *ἡ κάρτα λαμπρά.* Sic legendum. Perperam in libris *ἢ καὶ τὰ λαμπρά.* Recte in B. T. hic versus Deianiræ continuatur, quem cum membr. Aldus Choro tribuit. In T. apposita glossa: *λείπει, δηλοῦσι τὴν ταύτης εὐγένειαν.* juxta quam expositionem scriptum oportuisset *ᾗ* vel *ἧς καὶ τὰ λαμπρά.* Verum longe præstat nostra lectio, quam post Canterum optime constituit Heathius.

383. *μή τι.* Sic Aldus et veteres codices. In T. *μή τοι.*

384. *μὴ πρέποντ' αὐτῷ.* Sic scriptum in tribus codd. ut Aldus excudit.

388. *εἴ νιν.* Perperam libri omnes *εἴ μιν.*

391. *ὡς ἀνὴρ ὅδ'.* Perperam in libris *ὡς ὅδ' ἀνήρ.* Vide ad Œd. Col. 630.

395. *ἐκ ταχείας.* Sic tres codd. Mendose in impressis *τραχείας.*

396. *ἀνανεώσασθαι.* Sic bene Canterus. Vulgo *καὶ νεώσασθαι.* Nostram lectionem agnoscit Eustathius, qui procul dubio ad hunc locum re-

ΛΙ. ἀλλ' εἴ τι χρήζεις ἱστορεῖν, πάρειμ' ἐγώ.
ΔΗ. ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις;
ΛΙ. ἴστω μέγας Ζεύς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
ΔΗ. τίς ἡ γυνὴ δῆτ' ἐστὶν, ἣν ἥκεις ἄγων;
ΛΙ. Εὐβοιίς· ὧν δ' ἔβλαστεν, οὐκ ἔχω λέγειν.
ΑΓ. οὗτος, βλέφ' ὧδε. πρὸς τίν' ἐννέπειν δοκεῖς;
ΛΙ. σὺ δ' εἰς τί δή με τοῦτ' ἐρωτήσας ἔχεις;
ΑΓ. τόλμησον εἰπεῖν, εἰ φρονεῖς, ὅ σ' ἱστορῶ.
ΛΙ. πρὸς τὴν κρατοῦσαν Δηάνειραν, Οἰνέως
κόρην, δάμαρτά θ' Ἡρακλέους, εἰ μὴ κυρῶ
λεύσσων μάταια, δεσπότιν τε τὴν ἐμήν.
ΑΓ. τοῦτ' αὐτ' ἔχρηζον, τοῦτό σου μαθεῖν. λέγεις
δέσποιναν εἶναι τήνδε σήν;
ΛΙ. δίκαια γάρ.
ΑΓ. τί δῆτα; ποίαν ἀξιοῖς δοῦναι δίκην,
ἢν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
ΛΙ. πῶς μὴ δίκαιος; τί ποτε ποικίλας ἔχεις;
ΑΓ. οὐδέν. σὺ μέν τοι κάρτα τοῦτο δρῶν κυρεῖς.
ΛΙ. ἄπειμι. μῶρος δ' ἦν πάλαι κλύων σέθεν.
ΑΓ. οὔ· πρίν γ' ἂν εἴπῃς ἱστορούμενος βραχύ.
ΛΙ. λέγ', εἴ τι χρῄζεις. καὶ γὰρ οὐ σιγηλὸς εἶ.
ΑΓ. τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμους,

spexit p. 811. ubi de verbo νιᾷν. ἐξ οὗ καὶ παρὰ Σοφοκλεῖ, ἀνανιώσασθαι λόγους, τὸ ἀνακινῆσαι. εἰπεῖν δὲ καιριώτατον, ἀναπολῆσαι.

402. οὗτος, βλέφ' ὧδε. Hic versus et sequentes omnes, quibus Nuntii personam præfixi, Deianiræ in libris omnibus adscripti sunt: quæ confusio, veteri Scholiastæ non observata, totum hunc dialogum nimis quam absurdum et ridiculum reddiderat, plurimisque interpolationibus et pravis conjecturis occasionem dederat. Errorem detexit Tyrwhittus, eadem sagacitate, qua similes tenebras discussit in Eurip. Cycl. 174. Heracl. 964. Præstantissimi viri ingenio unice debetur hujus loci restitutio.

403. ἐρωτήσας. Sic scribi debuit. Quod in codd. est, ἐρωτήσασ', errori librariorum imputandum; qui Deianiram cum Licha colloqui falso opinabantur. Idem sentiendum de ποικίλας infra v. 412.

404. ὅ σ' ἱστορῶ. In B. T. ἅ σ'—

412. Perperam Aldus ποικίλλασ', ut in membr. In aliis ποικίλασ'.

* κάτοισθα δῆτ';

ΛΙ. οὔ φημι. πρὸς τί δ' ἱστορεῖς;

ΑΓ. οὔκουν σὺ ταύτην, ἣν ὑπ' ἀγνοίας ὁρᾷς,
Ἰόλην ἔφασκες Εὐρύτου σπορὰν ἄγειν;

ΛΙ. ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολὼν
σοὶ μαρτυρήσει ταῦτ' ἐμοῦ κλύειν παρών;

ΑΓ. πολλοῖσιν ἀστῶν. ἐν μέσῃ Τραχινίων
ἀγορᾷ πολύς σου ταῦτά γ' εἰσήκουσ' ὄχλος.

ΛΙ. ναί.
κλύειν γ' ἔφασκον. ταυτὸ δ' οὐχὶ γίγνεται,
δόκησιν εἰπεῖν, κἀξακριβῶσαι λόγον.

ΑΓ. ποίαν δόκησιν; οὐκ, ἐπώμοτος λέγων,
δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;

ΛΙ. ἐγὼ δάμαρτα; πρὸς θεῶν, φράσον, φίλη
δέσποινα, τόνδε, τίς ποτ' ἐστὶν ὁ ξένος.

ΑΓ. ὃς σου παρὼν ἤκουσεν, ὡς ταύτης πόθῳ
πόλις δαμείη πᾶσα, κοὐχ ἡ Λυδία
πέρσειεν αὐτήν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς.

ΛΙ. ὥνθρωπος, ὦ δέσποιν', ἀποστήτω. τὸ γὰρ

* κάτοισθα δή που; ΛΙ. φημὶ edd. 2. 1.

418. κάτοισθα δῆτ'; Οὔ φημι. Sic omnino legendum; nec ullo modo defendi potest librorum lectio, quam nimia pertinacia retinueram, κάτοισθα δή που; Φημί. Plane negare debet Lichas sibi cognitam esse captivam puellam: alioquin Nuntius ei continuo non objiceret his verbis ἣν ὑπ' ἀγνοίας ὁρᾷς, eum dissimulare quasi hanc non nosceret. (m).

425. Æschylus in Agamemnone, 1378. Τὸ γὰρ τοπάζειν τοῦ σαφ' εἰδέναι δίχα.

434. ὤνθρωπος. Perperam in libris ἄνθρωπος sine articulo. Quod sequitur ἀποστήτω, librorum omnium veterum lectio est, eaque genuina; sed quid ea significaretur nec veteres, nec novi interpretes intelligere potuerunt, postquam ridiculo librarii errore Nuntii partes Deianira invaserat. Itaque alius παρεστήτω, alius ἐπιστήτω legendum esse sibi persuasit. Nunc quæ prius absurda videbantur, apparet, quam vera et personis convenientia sint. Lichas Nuntium despectui habet, eique cum fastu respondet, qualia nemo unquam famulum heræ suæ dicentem induxit in scenam: quumque Nuntius quæstionibus suis Lichæ molestus sit, hic ad heram conversus v. 439. percunctatur quis tandem ille sit homo: Nuntius Reginæ responsum antevertit, ipseque dicit,

νοσοῦντι ληρεῖν, ἀνδρὸς οὐχὶ σώφρονος.
ΔΗ. μὴ, πρὸς σὲ τοῦ κατ' ἄκρον Οἰταῖον νάπος
Διὸς καταστράπτοντος, ἐκκλέψῃς λόγον.
οὐ γὰρ γυναικὶ τοὺς λόγους ἐρεῖς κακῇ,
οὐδ' ἥ τις οὐ κάτοιδε τἀνθρώπων, ὅτι
χαίρειν πέφυκεν οὐχὶ τοῖς αὐτοῖς ἀεί.
Ἔρωτι μέν νυν ὅστις ἀντανίσταται,
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ.
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει,
κἀμοῦ γε· πῶς δ' οὐ χἀτέρας, οἵας γ' ἐμοῦ;
ὥστ' εἴ τι τῷ 'μῷ τἀνδρὶ, τῇδε τῇ νόσῳ
ληφθέντι, μεμπτός εἰμι, κάρτα μαίνομαι,
ἢ τῇδε τῇ γυναικὶ, τῇ μεταιτίᾳ
τοῦ μηδὲν αἰσχροῦ, μηδ' ἐμοὶ κακοῦ τινος.
οὐκ ἔστι ταῦτ'. ἀλλ' εἰ μὲν ἐκ κείνου μαθὼν
ψεύδῃ, μάθησιν οὐ καλὴν ἐκμανθάνεις·
εἰ δ' αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
θέλῃς γενέσθαι χρηστὸς, ὀφθήσει κακός.
ἀλλ' εἰπὲ πᾶν τἀληθές· ὡς ἐλευθέρῳ,
ψευδεῖ καλεῖσθαι, κὴρ πρόσεστιν οὐ καλή.
ὅπως δὲ λήσεις, οὐδὲ τοῦτο γίγνεται.

se eum esse qui ex ore Lichæ omnia vera acceperit. Tum Lichas, cui nullum effugium superest, heram orat, ut hominem illum *amandet*. ὤνθρωπος, ὦ δέσποιν', ἀποστήτω. Dignus fuisset Lichas, qui virgis illico cæderetur, si heram suam Reginam *stultam* appellasset. Haud sane miror H. Stephanum νοσοῦντι de Deianira acceptum concoquere non potuisse.

436. πρὸς σὲ τοῦ. Sic optime in B. T. In membr. ut apud Aldum, πρὸσ σὺ τοῦ. Vide quæ notavimus ad Euripid. Med. 326. et ad Apollonium iii. 985.

442. Sophoclea hac comparatione usus est Plutarchus initio Solonis vitæ: Ὅτι δὲ πρὸς τοὺς καλοὺς οὐκ ἦν ἰσχυρὸς ὁ Σόλων, οὐδ' ἔρωτι θαῤῥαλέος ἀντανασῆναι, πύκτης ὅπως ἐς χεῖρας, ἔκ τε τῶν ποιημάτων αὐτοῦ λαβεῖν ἐστι—

445. ὥστ' εἴ τι. Sic in B. T. Vulgo ὡς εἴ τι—Thais apud Terentium in Eunucho, v. 2. Non adeo inhumano ego sum ingenio, Chærea, Neque ita imperita, ut, quid amor valeat, nesciam.

452. ὀφθήσει κακός. Phædrus l. i. fab. x. Quicunque turpi fraude semel innotuit, Etiamsi verum dicit, amittit fidem.

πολλοὶ γὰρ, οἷς εἴρηκας, οἳ φράσουσ' ἐμοί.
κεὶ μὲν δέδοικας, οὐ καλῶς ταρβεῖς, ἐπεὶ
τὸ μὴ πυθέσθαι, τοῦτό μ' ἀλγύνειεν ἄν·
τὸ δ' εἰδέναι, τί δεινόν; οὐχὶ χἀτέρας
πλείστας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή;
κοὔπω τις αὐτῶν ἔκ γ' ἐμοῦ λόγον κακὸν
ἠνέγκατ', οὐδ' ὄνειδος· ἥδε τ', οὐδ' ἂν εἰ
κάρτ' ἐντακείη τῷ φιλεῖν, ἐπεί σφ' ἐγὼ
ᾤκτειρα δὴ μάλιστα προσβλέψασ', ὅτι
τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσε,
καὶ γῆν πατρῴαν οὐχ ἑκοῦσα δύσμορος
ἔπερσε κἀδούλωσεν. ἀλλὰ ταῦτα μὲν
ῥείτω κατ' οὖρον· σοὶ δ' ἐγὼ φράζω κακὸν
πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.

ΧΟ. πείθου λεγούσῃ χρηστὰ, κοὐ μέμψει χρόνῳ,
γυναικὶ τῇδε, κἀπ' ἐμοῦ κτήσει χάριν.

ΛΙ. ἀλλ', ὦ φίλη δέσποιν', ἐπεί σε μανθάνω
θνητὴν φρονοῦσαν θνητὰ, κοὐκ ἀγνώμονα,
πᾶν σοι φράσω τἀληθὲς, οὐδὲ κρύψομαι.
ἔστιν γὰρ οὕτως, ὥσπερ οὗτος ἐννέπει.
ταύτης ὁ δεινὸς ἵμερός ποθ' Ἡρακλῆ
διῆλθε, καὶ τῆσδ' οὕνεχ' ἡ πολύφθορος
καθῃρέθη πατρῷος Οἰχαλία δορί.
καὶ ταῦτα, δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν,
οὔτ' εἶπε κρύπτειν, οὔτ' ἀπηρνήθη ποτέ.
ἀλλ' αὐτὸς, ὦ δέσποινα, δειμαίνων τὸ σὸν
μὴ στέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,
ἥμαρτον, εἴ τι τήνδ' ἁμαρτίαν νέμεις.

475. ἔστιν γὰρ οὕτως, ὥσπερ οὗτος ἐννέπει. Nunc intelligi potest hic versus, cujus antea sensus absurdus videri debebat. *Res enim ita se habet, ut prædicat οὗτος, hic qui præsens adest.* Johnsenus vertit, *quemadmodum ille Nuntius dixit.* At vero, ut personis divisæ erant colloquii partes, censeri debebat Nuntius e scena abiisse post versum 374. Ne minimum quidem de eo resciverat Lichas; proinde dicere non poterat *rem se habere, quemadmodum Nuntius retulerat.*

ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι λόγον,
κείνου τε καὶ σὴν ἐξ ἴσου κοινὴν χάριν,
καὶ στέργε τὴν γυναῖκα, καὶ βούλου λόγους,
οὓς εἶπας ἐς τήνδ', ἐμπέδως εἰρηκέναι.
ὡς τἄλλ' ἐκεῖνος πάντ' ἀριστεύων χεροῖν,
τοῦ τῆσδ' ἔρωτος εἰς ἅπανθ' ἥσσων ἔφυ.
ΔΗ. ἀλλ' ὧδε καὶ φρονοῦμεν, ὥστε ταῦτα δρᾶν,
κοὔ τοι νόσον γ' ἐπακτὸν ἐξαιρούμεθα,
θεοῖσι δυσμαχοῦντες. ἀλλ' ἔσω στέγης
χωρῶμεν, ὡς λόγων τ' ἐπιστολὰς φέρῃς,
ἅ τ' ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι,
καὶ ταῦτ' ἄγῃς. κενὸν γὰρ οὐ δίκαιά σε
χωρεῖν, προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ.

## ΧΟΡΟΣ.

Μέγα τι σθένος ἁ Κύπρις ἐκφέρεται στροφή.
νίκας ἀεί. καὶ τὰ μὲν θεῶν
παρέβαν, χὤπως Κρονίδαν
ἀπάτασεν, οὐ λέγω,
οὐδὲ τὸν ἔννυχον Ἅδαν,
οὐ Ποσειδάωνα τινάκτορα γαίας.
ἀλλ' ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν
ἀμφίγυοι κατέβαν πρὸ γάμων τινὲς,
πάμπληκτα παγκόνιτά τ' ἐξ-
ῆλθον ἄεθλ' ἀγώνων.
ὁ μὲν ἦν ποταμοῦ σθένος, ὑψίκερω ἀντιστρ.
τετράορον φάσμα ταύρου,

495. κεινόν. Perperam Aldus κενόν, ut in membr. scriptum est. Pejus in T. κεῖνον.

496. ὧδε σὺν πολλῷ στόλῳ. *Cum tanto captivarum grege.* ut est apud Terentium Heautontim. *Ancillarum gregem ducunt secum.*

499. χὤπως. Male in libris καὶ ὅπως.

508. ὑψίκερω τετράορον φάσμα ταύρου. Sic Sophoclea hæc citat Eustathius ad Il. ς'. p. 573. Verum ad Il. ψ'. p. 1313. ubi eadem excitat, legisse videtur, ut in nostris exem-

Ἀχελῶος ἀπ' Οἰνιαδᾶν·
ὁ δὲ Βακχίας ἀπὸ
ἦλθε παλίντονα Θήβας
τόξα, καὶ λόγχας, ῥόπαλόν τε τινάσσων,
παῖς Διός· οἳ τότ' ἀολλεῖς
ἤϊσαν ἱέμενοι λεχέων· μόνα δ'
εὔλεκτρος ἐν μέσῳ Κύπρις
ῥαβδονομεῖ ξυνοῦσα.
τότ' ἦν χερὸς, ἦν δὲ τόξων ἐπῳδός.
πάταγος, ταυρείων τ'
ἀνάμιγδα κεράτων·
ἦν δ' ἀμφίπλεκτοι κλίμακες,
ἦν δὲ μετώπων ὀλόεντα
πλήγματα, καὶ στόνος ἀμφοῖν.
ἁ δ' εὐῶπις ἁβρὰ
τηλαυγεῖ παρ' ὄχθῳ ἧστο,
τὸν ὃν προσμένουσ' ἀκοίταν.
ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω.
τὸ δ' ἀμφινείκητον ὄμμα νύμφας
ἐλεεινὸν ἀμμένει·
κἀπὸ ματρὸς ἄφαρ βέβα-

plaribus est, τετρακόρου. Priorem lectionem præfero. τετράορος hic *quadrupedem* significat. Alias τετράοροι sunt *quadrijuges*, τετράορον ἅρμα, *quadrigæ*, ut apud Eurip. Helen. 732. et passim. Eleganti hypallage τετράορον φάσμα ταύρου dictum, ut apud Eurip. Or. 987. τὸ πτανὸν δίωγμα πώλων.

510. Βακχίας. Male in libris Βακχείας.

512. τόξα καὶ λόγχας, *arcum et sagittas.* Vocem λόγχας secus accepit Scholiastes, cujus inepta observatio est. Herculis sagittas ἔγχη πτερωτὰ appellat Euripides Herc. Fur. 1101. Quidni eas Noster λόγχας appellaverit?

514. ἤϊσαν ἱέμενοι λεχέων· μόνα δ'— Aldus et veteres codd. habent ἴσαν ἐς μέσον ἱέμενοι λεχέων. In T. ἴσαν μέσον. Tot verbis suffarcinatus versus cum strophico congruere nequit. Heathius ἴσαν ex glossa irrepsisse censuit. Ego ἐς μέσον a mala manu suppositum fuisse opinor, et ἤϊσαν ad metri normam lego. Quid inficetius quam ἐς μέσον, ἐν μέσῳ in duobus continuis versibus? Et quid hic ad sensus integritatem confert ἐς μέσον? perspicua est erroris causa.

κεν, ὡς πόρτις ἐρήμα.
ΔΗ. Ἦμος, φίλαι, κατ' οἶκον ὁ ξένος θροεῖ
ταῖς αἰχμαλώτοις παισὶν, ὡς ἐπ' ἐξόδῳ,
τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθρα,
τὰ μὲν, φράσουσα, χερσὶν ἁ'τεχνησάμην,
τὰ δ', οἷα πάσχω ξυγκατοικτιουμένη.
κόρην γὰρ, οἶμαι δ', οὐκ ἔτ', ἀλλ' ἐξευγμένην
παρεισδέδεγμαι, φόρτον ὥστε ναυτίλος,
λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενός.
καὶ νῦν δύ' οὖσαι μίμνομεν μιᾶς ὑπὸ
χλαίνης ὑπαγκάλισμα. τοιάδ' Ἡρακλῆς,
ὁ πιστὸς ἡμῖν κἀγαθὸς καλούμενος,
οἰκούρι' ἀντέπεμψε τοῦ μακροῦ χρόνου.
ἐγὼ δὲ θυμοῦσθαι μὲν οὐκ ἐπίσταμαι
νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ·
τὸ δ' αὖ ξυνοικεῖν τῇδ' ὁμοῦ, τίς ἂν γυνὴ
δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων;
ὁρῶ γὰρ ἥβην, τὴν μὲν ἕρπουσαν πρόσω,
τὴν δὲ φθίνουσαν· ὧν ἀφαρπάζειν φιλεῖ
ὀφθαλμὸς ἄνθος, τῶν δ' ὑπεκτρέπειν πόδα.
ταῦτ' οὖν φοβοῦμαι, μὴ πόσις μὲν Ἡρακλῆς
ἐμὸς καλῆται, τῆς νεωτέρας δ' ἀνήρ.
ἀλλ' οὐ γὰρ, ὥσπερ εἶπον, ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν· ᾗ δ' ἔχω, φίλαι,
λυτήριον λύπημα, τῇδ' ὑμῖν φράσω.
ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ
θηρὸς, λέβητι χαλκέῳ κεκρυμμένον,
ὃ παῖς ἔτ' οὖσα, τοῦ δασυστέρνου παρὰ

530. ὡς πόρτις. Sic bene Turnebus. In membr. et in Aldina ὥστε. In B. ὥσπερ.

531. θροεῖ. gl. ἀποχαιρετίζει.

551. τῆς νεωτέρας δ' ἀνήρ. Frustra solicitatur hæc lectio. Eustath. p. 1384. Ὅτι δοκεῖ μὲν ἀδιάφορα εἶναι ὁ πόσις τε καὶ ὁ ἀνήρ· Σοφοκλῆς δὲ ἐν Τραχινίαις ὑπεμφαίνει διαφοράν τινα τῶν λέξεων τούτων, ἔνθα δέδοικεν ἡ ὑπέρακμος Δηϊάνειρα, μή ποτε ὁ Ἡρακλῆς αὐτῆς μὲν εἴη πόσις, τῆς δὲ νεωτέρας Ἰόλης ἀνήρ.

Νέσσου φθίνοντος ἐκ φόνων ἀνειλόμην,
ὃς τὸν βαθύῤῥουν ποταμὸν Εὔηνον βροτοὺς
μισθοῦ 'πόρευε χερσὶν, οὔτε πομπίμοις
κώπαις ἐρέσσων, οὔτε λαίφεσιν νεώς.
ὃς κᾀμὲ, τῶν στόλων πατρῴων ἡνίκα
ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην,
φέρων ἐπ' ὤμοις, ἡνίκ' ἦν μέσῳ πόρῳ,
ψαύει ματαίαις χερσίν· ἐκ δ' ἤϋσ' ἐγὼ,
χᾦ Ζηνὸς εὐθὺς παῖς ἐπιστρέψας, χεροῖν
ἧκεν κομήτην ἰόν· ἐς δὲ πλεύμονας
στέρνων διεῤῥοίζησεν. ἐκθνήσκων δ' ὁ θὴρ
τοσοῦτον εἶπε· Παῖ γέροντος Οἰνέως,
τοσόνδ' ὀνήσει τῶν ἐμῶν, ἐὰν πίθῃ,
πορθμῶν, ὅθ' οὕνεχ' ὑστάτην σ' ἔπεμψ' ἐγώ·
ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
σφαγῶν, ἐνέγκῃ χερσὶν, ᾗ μελαγχόλους
ἔβαψεν ἰοὺς θρέμμα Λερναίας ὕδρας,
ἔσται φρενός σοι τοῦτο κηλητήριον
τῆς Ἡρακλείας, ὥστε μή τιν' εἰσιδὼν
στέρξει γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον.—
τοῦτ' ἐννοήσασ', ὦ φίλαι· δόμοις γὰρ ἦν,

562. In membr. et in Aldina sic legitur hic versus, metro plane corrupto ; Ὃς κᾀμὲ, τῶν πατρῴων ἡνίκα στόλων— In B. T. servata metri, sed spreta structuræ lege, et absque sensu : Ὃς κᾀμὲ, τὸν πατρῷον ἡνίκα στόλον —quæ lectio admitti non posset, nisi altero versu ad hunc modum immutato : Ξὺν Ἡρακλεῖ λιποῦσα πρῶτον ἑσπόμην. Verum nimis violenta est hæc medicina. Retinendæ omnes Aldinæ lectionis voces, modo in suam quæque sedem reponatur : Ὃς κᾀμὲ, τῶν στόλων πατρῴων ἡνίκα Ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην—

567. πλεύμονας. Sic Aldus edidit, ut hic habent membr. In aliis codd. πνεύμονας, quod fortasse verius. Recentioris enim Atticismi plerasque formas Tragicos sprevisse video. Quapropter in fragm. incerto xxiii. codicis scriptum prætuli, πνευμόνων, ei quam Grotius secutus est, πλευμόνων.

570. ἐὰν πίθῃ. Perperam in T. πύθῃ cum glossa ἀκούσῃς.

571. ὑστάτην σ' ἔπεμψ'. Pronomen omittunt membran. et Aldus.

577. στέρξει. Sic emendate in B. T. Ald. et membr. στέρξαι. Quod Henr. Stephanus supposuit στέρξῃ, nescio unde hauserit. Sane solœcum est.

κείνου θανόντος, ἐγκεκλεισμένον καλῶς·
χιτῶνα τόνδ' ἔβαψα, προσβαλοῦσ' ὅσα
ζῶν κεῖνος εἶπε· καὶ πεπείρανται τάδε.
κακὰς δὲ τόλμας μήτ' ἐπισταίμην ἐγὼ,
μήτ' ἐκμάθοιμι, τάς τε τολμώσας στυγῶ·
φίλτροις δ' ἐάν πως τήνδ' ὑπερβαλώμεθα
τὴν παῖδα, καὶ θέλκτροισι τοῖς ἐφ' Ἡρακλεῖ,
μεμηχάνηται τοὔργον, εἴ τι μὴ δοκῶ
πράσσειν μάταιον· εἰ δὲ μὴ, πεπαύσεται.
ΧΟ. ἀλλ' εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις,
δοκεῖς παρ' ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς.
ΔΗ. οὕτως ἔχει γ' ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν
ἔνεστι, πεῖρα δ' οὐ προσωμίλησά πω.
ΧΟ. ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ', εἰ δοκεῖς
ἔχειν, ἔχοις ἂν γνῶμα, μὴ πειρωμένη.
ΔΗ. ἀλλ' αὐτίκ' εἰσόμεσθα, τόνδε γὰρ βλέπω
θυραῖον ἤδη· διὰ τάχους δ' ἐλεύσεται.
μόνον παρ' ὑμῶν εὖ στεγοίμεθ', ὡς σκότῳ
κἂν αἰσχρὰ πράσσῃς, οὔ ποτ' αἰσχύνῃ πεσεῖ.
ΛΙ. τί χρὴ ποιεῖν; σήμαινε, τέκνον Οἰνέως,
ὡς ἐσμὲν ἤδη τῷ μακρῷ χρόνῳ βραδεῖς.
ΔΗ. ἀλλ' αὐτὰ δή σοι ταῦτα καὶ πράσσω, Λίχα,
ἕως σὺ ταῖς ἔσωθεν ἠγορῶ ξέναις,
ὅπως φέρῃς μοι τόνδε γ' εὐϋφῆ πέπλον,

584. ἐάν πως. Sic libri nostri omnes. Eustathius vero haud deterius, ἐάν που. Sic ille ad Il. κ'. pag. 799. Σοφοκλῆς δὲ τὸ εἴ που εἰς τὸ ἐάν που μεταλαβὼν, καθ' ὁμοίαν ἔννοιαν φράζει τὸ, Φίλτροις ἐάν που τήνδ' ὑπερβαλώμεθα, μεμηχάνηται τοὔργον, ἤγουν ἐμηχανησάμεθα τόδε, ὅπως τόδε τι ἀνύσωμεν.

585. τοῖς ἐφ' Ἡρακλεῖ. Triclinius τοῖσδ'.

587. πεπαύσεται. Sic membr. et Aldus: alii πεπαύσομαι. Heathius pro εἰ δὲ μὴ legendum censet εἰ δὲ μὴν, imperite. Vide nuperum auctorem de Particulis, p. 347. §. xiii.

591. οὐ προσωμίλησά πω. Triclinius που.

602. ὅπως φέρῃς. Sic tres codd. Perperam in impressis φέρεις.—εὐϋφῆ. Eustathius p. 601. l. 1. εὐαφῆ legit. Ὅτι δὲ ποτε καὶ ἐπὶ ἀνδρείου ἱματίου ὁ πέπλος τίθεται, δηλοῖ που Εὐριπίδης. (Iph. A. 1559.) καὶ Σοφοκλῆς δὲ ἐν

δώρημ' ἐκείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός.
διδοὺς δὲ τόνδε, φράζ' ὅπως μηδεὶς βροτῶν
κείνου πάροιθεν ἀμφιδύσεται χροΐ,
μηδ' ὄψεταί νιν μήτε φέγγος ἡλίου,
μήθ' ἕρκος ἱερὸν, μήτ' ἐφέστιον σέλας,
πρὶν κεῖνος αὐτὸν φανερὸς ἐμφανῆ σταθεὶς
δείξῃ θεοῖσιν ἡμέρᾳ ταυροσφάγῳ.
οὕτω γὰρ ηὔγμην, εἴ ποτ' αὐτὸν ἐς δόμους
ἴδοιμι σωθέντ', ἢ κλύοιμι, πανδίκως
στελεῖν χιτῶνι τῷδε, καὶ φανεῖν θεοῖς
θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.
καὶ τῶνδ' ἀποίσεις σῆμ', ὃ κεῖνος εὐμαθὲς,
σφραγῖδι θέμενος τῇδ' ἐπ' ὄμμα, γνώσεται.
ἀλλ' ἕρπε, καὶ φύλασσε πρῶτα μὲν νόμον,
τὸ μὴ 'πιθυμεῖν, πομπὸς ὢν, περισσὰ δρᾷν·
ἔπειθ', ὅπως ἂν ἡ χάρις κείνου τέ σοι
κἀμοῦ ξυνελθοῦσ', ἐξ ἁπλῆς διπλῆ φανῇ.
ΛΙ. ἀλλ', εἴπερ Ἑρμοῦ τήνδε πομπεύω τέχνην
βέβαιον, οὔ τι μὴ σφαλῶ γ' ἐν σοί ποτε,
τὸ μὴ οὐ τόδ' ἄγγος ὡς ἔχει δεῖξαι φέρων,
λόγων τε πίστιν, ὧν ἔχεις, ἐφαρμόσαι.

Τραχινίαις, ὃς τὸν Ἡρακλέους χιτῶνα, ὃν ἔβαψε Δηϊάνειρα τῷ ἐκ Νέσου φαρμάκῳ, καὶ εὐαφῆ πέπλον λέγει, καὶ καινὸν πέπλωμα, καὶ ἐνδυτῆρα πέπλον, καὶ θανάσιμον πέπλον.

608. Aldus et membr. φανερὸς ἐμφανῶς. In B. αὐτὸν ἐμφανὴς φανερῶς σταθείς. In T. αὐτὸν φανερὸν, ἐμφανὴς, superscripta varia lectione ἐμφανῶς. Ex his concinnata lectio ceteris omnibus præstat.

613. Mos erat veteribus, ut sacris operaturi vestes aut novas, aut recens lotas induerent. Pollux i. 25. ὑπὸ νεουργῷ στολῇ, ὑπὸ νεοπλυνεῖ ἐσθῆτι, προσιέναι θεοῖς.

615. Manifesta est librorum omnium depravatio, in quibus hi versus sic constituti leguntur: Καὶ τῶνδ' ἀποίσεις σῆμ' ὃ κεῖνος εὐμαθὲς Σφραγῖδος ἕρκει τῷδ' ἐπ' ὄμμα θήσεται. Non adeo sum felix acuminis, ut, nedum hic quid intricati sit, ordinem facilem dispiciam, qui Parisino Regio Professori in oculos incurrit. Cum Johnsono nullum his verbis sensum subesse aio. Sed nec ille, nec Heathius veram emendandi viam ingressus est. Nisi sincerum est quod ex conjectura dedimus, Sophocleum saltem colorem refert.

622. τὸ μὴ οὐ τόδ' ἄγγος. In B. T. οὐ omissum, ut supra, 88.

ΔΗ. στείχοις ἂν ἤδη. καὶ γὰρ ἐξεπίστασαι
τά γ' ἐν δόμοισιν ὡς ἔχοντα τυγχάνει.
ΛΙ. ἐπίσταμαί τε καὶ φράσω σεσωσμένα.
ΔΗ. ἀλλ' οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης ὁρῶν
προσδέγματ', αὐτὴν ὡς ἐδεξάμην φίλως.
ΛΙ. ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ.
ΔΗ. τί δῆτ' ἂν ἄλλο γ' ἐννέποις; δέδοικα γὰρ
μὴ πρῴ λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ,
πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθούμεθα.

## ΧΟΡΟΣ.

Ὦ ναύλοχα καὶ πετραῖα — στροφὴ α'.
θερμὰ λουτρὰ, καὶ πάγους
Οἴτας παραναιετάοντες,
* οἵ τε μέσσαν
Μηλίδα πὰρ λίμναν,
χρυσαλακάτου τ' ἀκτὰν κόρας,
ἔνθ' Ἑλλάνων ἀγοραὶ
Πυλάτιδες καλέονται,
ὁ καλλιβόας τάχ' ὑμῖν — ἀντιστρ. α'.
αὐλὸς οὐκ ἀναρσίαν
ἰάχων καναχὰν ἐπάνεισιν,
† ἀλλὰ θείας
ἀντίλυρον μούσας.

* οἵ τε μέσσαν Μηλίδα παρὰ λίμναν edd. 1. 2.
† ἀλλὰ θείας ἀντίλυρον μούσας edd. 1. 2.

628. αὐτὴν ὡς. Sic Aldus et membr. Perperam alii copulam inserunt.

631. μὴ πρῴ. Aldus et membr. πρῷ. Nihil interest, utro modo scribatur. In aliis libris ex glossemate μὴ πρίν. Vide quæ notavimus ad Comici Lysistr. 612.

636. Οἵ τε μέσσαν Μηλίδα πὰρ λίμναν. Sic bene codex Triclinii recensionem exhibens. Nisi versus hoc modo digerantur et legantur, metrica lex servari non potest. Aldus e veteribus libris dedit, Οἵ τε μέσαν Μηλίδα παρὰ λίμναν. et in antistrophico versu, Ἀλλὰ θείας ἀντίλυρον μούσας. (n)

ὁ γὰρ Διὸς Ἀλκμήνας τε κόρος
σεῦται, πάσας ἀρετᾶς
λάφυρ' ἔχων, ἐπ' οἴκους·
ὃν ἀπόπτολιν εἴχομεν, στροφὴ β'.
πάντα δυοκαιδεκάμηνον ἀμμένουσαι
χρόνον, πελάγιον, ἴδριες οὐδέν·
ἁ δέ οἱ φίλα δάμαρ τάλαινα,
δυστάλαινα καρδίαν,
πάγκλαυστος αἰὲν ὤλλυτο·
νῦν δ' Ἄρης οἰστρηθεὶς
ἐξέλυσ' ἐπίπονον ἁμέραν.
ἀφίκοιτ', ἀφίκοιτο· μὴ ἀντιστρ. β'.
σταίη πολύκωπον ὄχημα ναὸς αὐτῷ,
πρὶν τάνδε πρὸς πόλιν ἀνύσειε,
νασιῶτιν ἑστίαν ἀμείψας,
ἔνθα κλῄζεται θυτήρ·
ὅθεν μόλοι πανάμερος,
τᾶς πειθοῦς παγχρίστῳ
συγκραθεὶς, ἐπὶ προφάσει θηρός.

ΔΗ. Γυναῖκες, ὡς δέδοικα, μὴ περαιτέρω
πεπραγμέν' ᾖ μοι πάνθ', ὅσ' ἀρτίως ἔδρων.

ΧΟ. τί δ' ἐστὶ, Δηάνειρα, τέκνον Οἰνέως;

646. κόρος. Sic B. T. ut Heathius emendavit. Aldus et membr. κοῦρος. In T. Ἀλκμήνας κόρος, omissa copula.

651. πελάγιον. Absque ulla necessitate Heathius ante hanc vocem καὶ inserit. Optime quadrant metra. Hic versus, ut antistrophicus 659. iambicus est dimeter hypercatal. Χρόνον | πελάγι | ον ἴδρι | ες οὐ | δὲν Πρὶν τάν | δε πρὸς | πόλιν ἀ | νύσει | ε. Longe ineptior est Parisini editoris conjectura, qui non intelligit cur πελάγιον Herculem esse dicat Chorus, quem sciat aut in Lydia apud Omphalam, aut in Eubœa ad Œchaliam moratum fuisse. Verum id modo rescivit Chorus, et nunc de tempore loquitur, quo nihil de fatis Herculis compertum habuit, quem tamdiu peregre agentem timere poterat, ne in Asiam profectus pelago jactaretur. Haud minus ridicula est præcedentis versus emendatio proposita a Sam. Petito ad Leges Atticas, p. 97.

654. πάγκλαυστος. Perperam vulgo πάγκλαυτος. Vide ad Antig. 847.

665. περαιτέρω. gl. πέρα τοῦ δέοντος.

ΔΗ. οὐκ οἶδ'· ἀθυμῶ δ', εἰ φανήσομαι τάχα
κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.
ΧΟ. οὐ δή τι τῶν σῶν Ἡρακλεῖ δωρημάτων;
ΔΗ. μάλιστά γ'· ὥστε μή ποτ' ἂν προθυμίαν
ἄδηλον ἔργου τῳ παραινέσαι λαβεῖν.
ΧΟ. δίδαξον, εἰ διδακτὸν, ἐξ ὅτου φοβῇ.
ΔΗ. τοιοῦτον ἐκβέβηκεν, οἷον ἂν φράσω,
γυναῖκες, ὑμῖν θαῦμ' ἀνέλπιστον μαθεῖν.
ᾧ γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
ἔχριον, ἀργῆτ' οἰὸς εὐείρου πόκῳ,
τοῦτ' ἠφάνισται, διάβορον πρὸς οὐδενὸς
τῶν ἔνδον, ἀλλ' ἐδεστὸν ἐξ αὑτοῦ φθίνει,
καὶ ψῇ κατ' ἄκρας σπιλάδος. ὡς δ' εἰδῇς ἅπαν,
ᾗ τοῦτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
ἐγὼ γὰρ ὧν ὁ θήρ με Κένταυρος, πονῶν
πλευρὰν πικρᾷ γλωχῖνι, προὐδιδάξατο,
παρῆκα θεσμῶν οὐδὲν, ἀλλ' ἐσωζόμην,
χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν.
κἀμοὶ τάδ' ἦν πρόῤῥητα, καὶ τοιαῦτ' ἔδρων,
τὸ φάρμακον τοῦτ' ἄπυρον, ἀκτῖνός τ' ἀεὶ
θερμῆς ἄθικτον, ἐν μυχοῖς σώζειν ἐμὲ,
ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που.
κἄδρων τοιαῦτα. νῦν δ', ὅτ' ἦν ἐργαστέον,

675. ἀνέλπιστον μαθεῖν. In B. T. παθεῖν.

677. εὐείρου. Libri omnes perperam εὐείρῳ. Vide Valckenarium ad Phœn. p. 361.

680. ψῇ. a ψάω significante λεπτύνω, fit ψῆμι, ἔψην, et abjecto augmento ψῆν, ψῆς, ψῆ. ut a κνῆμι, κνῆ. Homerus Il. λ'. 638. ἐπὶ δ' αἴγειον κνῆ τυρόν. In hoc verbo duo sunt observanda: primo formam esse poëticam, qua Tragici rarissime in senariis utuntur; tum formam esse activam significatione passiva, quod poëta ipse v. 700. declarat: 'Ρεῖ πᾶν ἄδηλον, καὶ κατέψηκται χθονί.

684. ἐσωζόμην. gl. ἀντὶ τοῦ ἔσωσα. Id est, *memoria condita servavi*. Vide ad priorem Œdipum 318. Contra παρῆκα οὐδὲν, *nihil me fugit*.

686. κἀμοί. Minus bene Aldus καί μοι.

688. σώζειν librorum omnium est lectio. Johnsonus edidit σώσειν, quod forte operarum errore irrepsit.

ἔχρισα μὲν κατ᾽ οἶκον ἐν δόμοις κρυφῇ
μαλλῷ, σπάσασα κτησίου βοτοῦ λάχνην·
κἄθηκα συμπτύξασ᾽ ἀλαμπὲς ἡλίου
κοίλῳ ζυγάστρῳ δῶρον, ὥσπερ εἴδετε.
ἔσω δ᾽ ἀποστείχουσα, δέρκομαι φάτιν
ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.
τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως
τῆς οἰὸς, ᾧ προὔχριον, ἐς μέσην φλόγα,
ἀκτῖν᾽ ἐς ἡλιῶτιν· ὡς δ᾽ ἐθάλπετο,
ῥεῖ πᾶν ἄδηλον, καὶ κατέψηκται χθονὶ,
μορφῇ μάλιστ᾽ εἰκαστὸν, ὥστε πρίονος
ἐκβρώματ᾽ ἂν βλέψειας ἐν τομῇ ξύλου.
τοιόνδε κεῖται προπετές· ἐκ δὲ γῆς, ὅθεν
προὔκειτ᾽, ἀναζέουσι θρομβώδεις ἀφροὶ,
γλαυκῆς ὀπώρας ὥστε πίονος ποτοῦ
χυθέντος εἰς γῆν Βακχίας ἀπ᾽ ἀμπέλου.
ὥστ᾽ οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω·
ὁρῶ δ᾽ ἔμ᾽ ἔργον δεινὸν ἐξειργασμένην.
πόθεν γὰρ ἄν ποτ᾽, ἀντὶ τοῦ θνήσκων ὁ θὴρ
ἐμοὶ παρέσχ᾽ εὔνοιαν, ἧς ἔθνησχ᾽ ὕπερ;
οὐκ ἔστιν. ἀλλὰ τὸν βαλόντ᾽ ἀποφθίσαι
χρῄζων, ἔθελγέ μ᾽. ὧν ἐγὼ μεθύστερον,
ὅτ᾽ οὐκ ἔτ᾽ ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.
μόνη γὰρ αὐτὸν, εἴ τι μὴ ψευσθήσομαι
γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ.
τὸν γὰρ βαλόντ᾽ ἄτρακτον οἶδα καὶ θεὸν

693. ἀλαμπὲς ἡλίου. Id est, ἄπωθεν τῆς λαμπηδόνος τοῦ ἡλίου. Forma loquendi haud absimilis illius in Œd. T. 191. ἄχαλκος ἀσπίδων.

694. Zonaras in lexico nondum edito, citatus a Valckenario ad Adoniazusas Theocriti, p. 335. Ζύγαστρον, κιβωτός. κυρίως δὲ ἡ ξυλίνη σορός. Σοφ. Κοίλῳ ζυγάστρῳ. παρὰ τὸ ἐζυγῶσθαι τὰς σανίδας.

706. Βακχίας. Sic in T. et in membr. etiam a secunda manu. Male vulgo βακχείας. Vide Miscell. Observ. vol. x. p. 439.

712. ἔθελγε μ᾽—Aldus et membr. omisso pronomine. ἔθελγεν. ὧν.

Χείρωνα πημήναντα, χὤσα περ ἂν θίγῃ,
φθείρει τὰ πάντα κνώδαλ'· ἐκ δὲ τοῦδ' ὅδε
σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας,
πῶς οὐκ ὀλεῖ καὶ τόνδε; δόξῃ γοῦν ἐμῇ.
καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
ταὐτῇ ξὺν ὁρμῇ κἀμὲ συνθανεῖν ἅμα.
ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετὸν,
ἥ τις προτιμᾷ μὴ κακὴ πεφυκέναι.

ΧΟ. ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει·
τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.

ΔΗ. οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ' ἐλπὶς, ἥ τις καὶ θράσος τι προξενεῖ.

ΧΟ. ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι μὴ 'ξ ἑκουσίας
ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.

ΔΗ. τοιαῦτα δ' ἂν λέξειεν οὐχ ὁ τοῦ κακοῦ
κοινωνὸς, ἀλλ' ᾧ μηδέν ἐστ' οἴκοις βαρύ.

ΧΟ. σιγᾷν ἂν ἁρμόζοι σε τὸν πλείω λόγον,
εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς· ἐπεὶ
πάρεστι, μαστὴρ πατρὸς ὃς πρὶν ᾤχετο.

ΥΛ. ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην,
ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσωσμένην
ἄλλου κεκλῆσθαι μητέρ', ἢ λῴους φρένας
τῶν νῦν παρουσῶν τῶνδ' ἀμείψασθαί ποθεν.

ΔΗ. τί δ' ἐστὶν, ὦ παῖ, πρός γ' ἐμοῦ στυγούμενον;

717. Aldus et membr. perperam χ' ὥσπερ ἂν θίγῃ.

720. δόξῃ γοῦν ἐμῇ. Sic emendate scriptum in T. Perperam in aliis libris δόξει γοῦν ἐμοί.

722. ταὐτῇ ξὺν ὁρμῇ. Aldus et membr. ταύτῃ σὺν ὀργῇ. In duobus aliis ταύτῃ σὺν ὁρμῇ. Scriptum oportuit ταὐτῇ, id est, τῇ αὐτῇ. Inepta est scholiastæ explicatio.

733. τὸν πλείω λόγον. Hujus lectionis meminit scholiastes, quæ procul dubio sincera est. Minus probabilis est altera, quam exhibent nostra exemplaria, quamque tuetur Heathius, τὸν πλείω χρόνον.

738. μητέρ', ἢ—Sic Aldus et veteres codd. Perperam Triclinius μητέρα σ', ἢ—Inutilis est pronominis repetitio, sive initio sermonis Hylli in ἐκ τριῶν σ' ἓν, illud σ' pro σοὶ accipiatur, sive pro σέ. Mihi posterius verius videtur: ὡς ἂν ἐκ τριῶν ἓν εἱλόμην, σὲ ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ—

ΥΛ. τὸν ἄνδρα τὸν σὸν ἴσθι, τὸν δ' ἐμὸν λέγω
πατέρα, κατακτείνασα τῇδ' ἐν ἡμέρᾳ.
ΔΗ. οἴ μοι. τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον;
ΥΛ. ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι. τὸ γὰρ
φανθὲν τίς ἂν δύναιτ' ἀγέννητον ποιεῖν;
ΔΗ. πῶς εἶπας, ὦ παῖ; τοῦ παρ' ἀνθρώπων μαθὼν
ἄζηλον οὕτως ἔργον εἰργάσθαι με φῄς;
ΥΛ. αὐτὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασι
πατρὸς δεδορκὼς, κοὐ κατὰ γλῶσσαν κλύων.
ΔΗ. ποῦ δ' ἐμπελάζεις τἀνδρὶ, καὶ παρίστασαι;
ΥΛ. εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
ὅθ' εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν,
νίκης ἄγων τρόπαια κἀκροθίνια,
ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κήναιόν ἐστιν, ἔνθα πατρῴῳ Διὶ
βωμοὺς ὁρίζει, τεμενίαν τε φυλλάδα·
οὗ νιν τὰ πρῶτ' ἐσεῖδον ἄσμενος πόθῳ.
μέλλοντι δ' αὐτῷ πολυθύτους τεύχειν σφαγὰς
κῆρυξ ἀπ' οἴκων ἵκετ' οἰκεῖος Λίχας,
τὸ σὸν φέρων δώρημα, θανάσιμον πέπλον·
ὃν κεῖνος ἐνδὺς, ὡς σὺ προὐξεφίεσο,
ταυροκτονεῖ μὲν, δώδεκ' ἐντελεῖς ἔχων,
λείας ἀπαρχὴν, βοῦς· ἀτὰρ τὰ πάνθ' ὁμοῦ
ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
καὶ πρῶτα μὲν δείλαιος, ἵλεῳ φρενὶ,
κόσμῳ τε χαίρων καὶ στολῇ, κατηύχετο·
ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο

749. κοὺ κατὰ γλῶσσαν κλύων. Sic optime in B. Absurda est aliorum librorum lectio καὶ κατὰ—Similiter Nuntius apud Æschyl. in Persis, 264. Καὶ μὴν παρών γε, κοὐ λόγους ἄλλων κλύων, Πέρσαι, φράσαιμ' ἂν, οἷ' ἐπορσύνθη κακά. Plautus Bacchidibus, iii. 3. 65. Quin ego, quum periret, vidi; non ex audito arguo.

753. ἀκροθίνια. Hesych. σκῦλα, λαφύρων ἀπαρχαί.

758. πολυθύτους. Mendose in membr. πολυθίτους.

φλὸξ αἱματηρὰ, κἀπὸ πιείρας δρυὸς,
ἱδρὼς ἀνῄει χρωτὶ, καὶ προσπτύσσετο
πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκτονος,
χιτὼν ἅπαν κατ' ἄρθρον· ἦλθε δ' ὀστέων
ἀδαγμὸς ἀντίσπαστος. εἶτα φοίνιος
ἐχθρᾶς ἐχίδνης ἰὸς ὡς ἐδαίνυτο,
ἐνταῦθα δὴ 'βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ,
ποίαις ἐνέγκαι τόνδε μηχαναῖς πέπλον·
ὁ δ' οὐδὲν εἰδὼς δύσμορος, τὸ σὸν μόνης
δώρημ' ἔλεξεν, ὥσπερ ἦν ἐσταλμένον.
κἀκεῖνος, ὡς ἤκουσε, καὶ διώδυνος
σπαραγμὸς αὐτοῦ πλευμόνων ἀνθήψατο,
μάρψας ποδός νιν, ἄρθρον ᾗ λυγίζεται,
ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν·
κρατὸς δὲ λευκὸν μυελὸν ἐκραίνει μέσου,
διασπαρέντος αἵματος, κόμης θ' ὁμοῦ.

769. ἀνῄει. Sic in membr. a prima manu, et in T. ex correctione. gl. ἀνήρχετο. Mendose in impressis ἀνίει.

772. ἀδαγμός. Vide Lexicon et Piersonum ad Mœridem, p. 41. Nostris in exemplaribus scriptum ὀδαγμός.—φοίνιος. Sic lego. Minus bene in libris φοινίας. In Cod. T. scholion sic scriptum est: ὀδαγμὸς, ὁ κνησμός. δήξασθαι γὰρ τὸ κνήσασθαι. Nec aliter legisse videtur Janus Lascaris, siquidem ille etiam edidit ὀδαγμός. Scriptum oportuit: Ἀδαγμὸς, ὁ κνησμός. ἀδάξασθαι γὰρ, τὸ κνήσασθαι.

776. ἐνέγκαι. Sic Aldus et membr. In B. ἐνέγκαις. Triclinius ἐνέγκοι.

780. πλευμόνων. Sic Aldus et membr. Vide supra ad 567.

783. Hunc et sequentem versum Aldus edidit, ut in codd. scripti sunt, et in Athenæi epitome libri ii. pag. 66. Κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει μέσου Κρατὸς διασπαρέντος, αἵματός θ' ὁμοῦ. Absurda hæc esse quis non videt, nisi sit ipse ineptissimo ineptior? Vitium ostendit quidem Heathius, sed male ei cessit emendandi conatus. κόμης διασπαρέντος purus putus est solœcismus. Vide quæ notavimus ad Antig. 986. Scripserat procul dubio Sophocles, ut edidimus: Κρατὸς δὲ λευκὸν μυελὸν ἐκραίνει μέσου, Διασπαρέντος αἵματος, κόμης θ' ὁμοῦ. *Cerebrum* cur λευκὸν μυελὸν κρατὸς appellarit Tragicus, docet Athenæus: Ἀπολλόδωρος δ' ὁ Ἀθηναῖος οὐδ' ὀνομάζειν τινὰ τῶν παλαιῶν φησὶν ΕΓΚΕΦΑΛΟΝ. καὶ Σοφοκλέα γοῦν ἐν Τραχινίαις ποιήσαντα τὸν Ἡρακλέα ῥιπτοῦντα τὸν Λίχαν ἐς θάλασσαν, οὐκ ὀνομάσαι ΕΓΚΕΦΑΛΟΝ, ἀλλὰ ΛΕΥΚΟΝ ΜΥΕΛΟΝ, ἐκκλίνοντα τὸ μὴ ὀνομαζόμενον.

ἅπας δ᾽ ἀνευφήμησεν οἰμωγῇ λεὼς,
τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου·
κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν.
ἐσπᾶτο γὰρ πέδονδε καὶ μετάρσιος,
βοῶν, ἰύζων· ἀμφὶ δ᾽ ἐκτύπουν πέτραι,
Λοκρῶν ὄρειοι πρῶνες, Εὐβοίας τ᾽ ἄκραι.
ἐπεὶ δ᾽ ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὶ
ῥίπτων ἑαυτὸν, πολλὰ δ᾽ οἰμωγῇ βοῶν,
τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος
σοῦ τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον,
οἷον κατακτήσαιτο λυμαντὴν βίου·
τότ᾽ ἐκ προσέδρου λιγνύος διάστροφον
ὀφθαλμὸν ἄρας, εἶδέ μ᾽ ἐν πολλῷ στρατῷ
δακρυῤῥοοῦντα, κἀμὲ προσβλέψας, καλεῖ·
Ὦ παῖ, πρόσελθε, μὴ φύγῃς τοὐμὸν κακὸν,
μηδ᾽ εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί.
ἀλλ᾽ ἆρον ἔξω, καὶ μάλιστα μὲν μέθες
ἐνταῦθ᾽, ὅπου με μή τις ὄψεται βροτῶν·
εἰ δ᾽ οἶκτον ἴσχεις, ἀλλά μ᾽ ἔκ γε τῆσδε γῆς
πόρθμευσον ὡς τάχιστα, μηδ᾽ αὐτοῦ θάνω.—
τοσαῦτ᾽ ἐπισκήψαντος, ἐν μέσῳ σκάφει
θέντες σφε, πρὸς γῆν τήνδ᾽ ἐκέλσαμεν μόλις,
βρυχώμενον σπασμοῖσι. καί νιν αὐτίκα
ἢ ζῶντ᾽ ἐσόψεσθ᾽, ἢ τεθνηκότ᾽ ἀρτίως.
τοιαῦτα, μῆτερ, πατρὶ βουλεύσασ᾽ ἐμῷ
καὶ δρῶσ᾽ ἐλήφθης, ὧν σε ποίνιμος Δίκη

785. ἀνευφήμησεν. Vide Hesychii interpretes ad gl. ἀνευφημήσει. Perperam in Tragici exemplaribus scriptum ἀνευφώνησεν, ἄνευ φωνῆς ἦν, ἀνεφώνησεν.

793. ἐνδατεῖσθαι proprie significat *dividere*, ut Œd. T. 205. atque hoc verbo sic usus est Euripides Herc. Fur. 217. Λόγους ὀνειδιστῆρας ἐνδατούμενος. *Convicia dividens*, id est, *conviciis incessens*. Hinc ἐνδατεῖσθαί τι vel τινὰ, pro σφόδρα λοιδορεῖν. Simplex δατεῖσθαι frequentat Homerus. Ut Græci ἐνδατεῖσθαι, sic Latini *differre*. Plautus Pseudolo. *Jam ego te differam dictis meis.* et Aulul. *Te jam pipulo hic differam ante ædes.*

τίσαιτ', Ἐρινύς τ'. εἰ θέμις γ', ἐπεύχομαι·
θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ προὔβαλες,
πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.
ΧΟ. τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὁθ' οὕνεκα
ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ;
ΥΛ. ἐᾶτ' ἀφέρπειν. οὖρος ὀφθαλμῶν ἐμῶν
αὐτῇ γένοιτ' ἄπωθεν ἑρπούσῃ καλός.
ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
μητρῷον, ἥ τις μηδὲν ὡς τεκοῦσα δρᾷ;
ἀλλ' ἑρπέτω χαίρουσα· τὴν δὲ τέρψιν, ἣν
τῷ 'μῷ δίδωσι πατρὶ, τήνδ' αὐτὴ λάβοι.

## ΧΟΡΟΣ.

Ἴδ' οἷον, ὦ παῖδες, προσέμιξεν ἄφαρ — στροφὴ α'.
τοὔπος τὸ θεοπρόπον ἡμῖν
τᾶς παλαιφάτου προνοίας,
ὅ τ' ἔλακεν, ὁπότε τελεόμηνος ἐκφέροι
δωδέκατος ἄροτος, ἀναδοχὰν τελεῖν πόνων
τῷ Διὸς αὐτόπαιδι, καὶ τάδ' ὀρθῶς
ἔμπεδα κατουρίζει.
πῶς γὰρ ἂν ὁ μὴ λεύσσων
ἔτι ποτ' ἔτ' ἐπίπονόν γ' ἔχοι
θανὼν λατρείαν;
εἰ γάρ σφε Κενταύρου φονίᾳ νεφέλᾳ — ἀντιστρ. α'.
χρίει δολοποιὸς ἀνάγκα,
πλευρᾷ προστακέντος ἰοῦ,

811. εἰ θέμις γ', ἐπεύχομαι· θέμις δ'—Sic omnino scriptum oportuit; non, ut vulgo, εἰ θέμις δ'---θέμις δ'--- Aldus et vetera exemplaria habent προὔβαλες, cujus vice Triclinius inepte dedit προὔλαβες.

825. παλαιφάτου. gl. τῆς πάλαι λεχθείσης.

831. ἐπίπονόν γ' ἔχοι. Inserta ob metrum particula a libris abest.

833. φονίᾳ νεφέλᾳ. Sic scribendum in tertio casu. gl. in membr. τῷ αἵματι, nec post χρίει ulla distinctio est in codd. Perperam impressi has voces exhibent in recto casu.

ὃν τέκετο θάνατος, ἔτεκε δ' αἰόλος δράκων,
πῶς ὅδ' ἂν ἀέλιον ἕτερον ἢ τανῦν ἴδοι,
δεινοτάτῳ μὲν ὕδρας προστετακὼς
φάσματι; μελαγχαίτα δ'
ἄμμιγά νιν αἰκίζει
Νέσσου φόνια δολόμυθα κέντρ'
ἐπιζέσαντα.
ὧν ἅδ' ἁ τλάμων ἄοκνον στροφὴ β'.
μεγάλαν προσορῶσα δόμοισι βλάβαν,
νέων ἀϊσσόντων γάμων,
τὰ μὲν οὔ τι προσέβαλ' ἀπ' ἀλλοθρόου
γνώμας μολόντ' ὀλεθρίαις ξυναλλαγαῖς.
ἦ που ὀλοὰ στένει,
ἦ που ἀδινῶν χλωρὰν

841. Νέσσου φόνια δολόμυθα κέντρ'--- Versus est dimeter iambicus. Perperam Aldus et codd. omnes Νέσσου θ' ὕπο, φοίνια---sensu et metro itidem conturbato. Male etiam in libris μελαγχαίτα τ'---

843. ἄοκνον. gl. ὀξεῖαν, ταχεῖαν.

846. τὰ μὲν οὔ τι προσέβαλ' ἀπ' ἀλλοθρόου γνώμας μολόντ'---Sic legendum esse et metri et sententiæ ratio ostendit. Quia τὰ μὲν initio phraseos positum, credidit librarius huic referri debere partitivum vel adversativum τὰ δὲ, qui error vulgatæ lectioni originem dedit, προσέβαλε, τὰ δ' ἀπ' ἀλλοθρόου. Eadem imperitia variam lectionem peperit v. 7. ναίουσα δ' ἐν Πλευρῶνι, quomodo librarius eximie emendasse sibi visus est, quia μὲν in proximo versu præcesserat. At hæc particula sæpissime initio sententiæ adhibetur, altera non subsequente.

848. ὀλοά. gl. ἡ δυστυχής. ἢ ὀλέθρια γίνει καὶ δεινά.

849. χλωρὰν δακρύων ἄχναν. Eustathius ad Il. δ'. p. 492. Ἰστέον δὲ ὅτι ἄχνην Ὁμήρου εἰπόντος τὸ λεπτότατον τοῦ κύματος, ὅπερ ἐν ταῖς ἔξω προσρήξεσιν ἀπαφρίζεται, Σοφοκλῆς ἄλλως τὴν λέξιν ἐκλαβόμενος, ἄχνην τὴν δρόσον ἔφη ἐν τῷ, (Œd. Col. 681.) θάλλει δ' οὐρανίας ὑπ' ἄχνης ὁ καλλίβοτρυς νάρκισσος. οὐδ' αὐτὸς ἀπροσφυῶς γράψας, διὰ τὸ μηδὲ τὰς τοῦ ὑετοῦ σταγόνας συνεχεῖς εἶναι, ἀλλὰ διεχεῖς· ὅθεν καὶ ἡ ἄχνη ὠνόμασται, ἀέχη τις οὖσα, καὶ κατὰ κρᾶσιν καὶ πλεονασμῷ, τοῦ ν, ἄχνη. Εὐριπίδης δὲ καὶ αὐτὸς μεμνησάμενος τὸ, ἁλὸς ἄχνη, οἰνωπὸν ἄχνην λέγει (Or. 115.) τὴν ἐν λοιβαῖς καταχεομένην τῆς γῆς. Idem ad Il. β'. p. 217. Ἰστέον δὲ ὅτι ἐπεὶ καὶ κυρίως θάλλοντα, καὶ ἁπαλά εἰσι, διὰ τοῦτο καὶ τέρεν δάκρυόν που λέγεται τὸ ἁπαλόν. ἐπεὶ δὲ καὶ χλωρά εἰσι τὰ θάλλοντα καὶ ὑγρότητα ἔχει πλείω, διὰ τοῦτο καὶ ὑγρὸν δάκρυον καὶ χλωρὸν ὁ Εὐριπίδης φησί. (Med. 921.) Σοφοκλῆς δὲ ἐν Τραχινίαις, χλωρὰν ἄχνην δακρύων ἔφη. Hinc intelligere est,

τέγγει δακρύων ἄχναν. .
ἁ δ' ἐρχομένα
μοῖρα προφαίνει δολίαν
καὶ μεγάλαν ἄταν.
ἔῤῥωγεν παγὰ δακρύων· ἀντιστρ. β'.
κέχυται νόσος, ὢ πόποι, οἷον ἀναρ-
σίων οὔπω ἀγακλειτὸν
Ἡρακλέα 'πέμολεν πάθος οἰκτίσαι.
ἰὼ κελαινὰ λόγχα προμάχου δορὸς,
ἃ τότε θοὰν νύμφαν
ἄγαγες ἀπ' αἰπεινᾶς
τάνδ' Οἰχαλίας αἰχμᾷ·
ἁ δ' ἀμφίπολος
Κύπρις ἄναυδος φανερὰ
τῶνδ' ἐφάνη πράκτωρ.

ΗΜ. πότερον ἐγὼ μάταιος, ἢ κλύω τινὸς
οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου;
τί φημί;

ΗΜ. ἠχεῖ τις οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ
κωκυτὸν εἴσω· καί τι καινίζει στέγη.

ΗΜ. ξύνες δὲ
τήνδ', ὡς ἀήθης καὶ ξυνωφρυωμένη
χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.

## ΤΡΟΦΟΣ.

Ὦ παῖδες, ὡς ἄρ' ἡμὶν οὐ σμικρῶν κακῶν
ἦρξεν τὸ δῶρον, Ἡρακλεῖ τὸ πόμπιμον.

quam prava sit Heathii explicatio ἄχναν pro *lanugine*, et per synecdochen pro genis accipientis.

857. Ἡρακλέα 'πέμολεν πάθος οἰκτίσαι. In veteribus codd. scriptum Ἡρακλέα ἀπέμολε. Aldus edidit Ἡρακλέους ἀπέμολε. Triclinius, Ἡρακλέ' ἐπέμολε πάθος, ὥσ' οἰκτίσαι. Inde verum est ἐπέμολε, cujus tamen prima eliditur post α longum præcedentis vocis: versus est dimeter anapæsticus.

862. ἀμφίπολος. gl. ἡ περὶ ταῦτα στρεφομένη, καὶ ταῦτα οἰκονομοῦσα.

863. ἄναυδος. gl. ἤγουν σιωπῶσα.

ΧΟ. τί δ', ὦ γεραιὰ, καινοποιηθὲν λέγεις;
ΤΡ. βέβηκε Δηάνειρα τὴν πανυστάτην
ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.
ΧΟ. οὐ δή ποθ' ὡς θανοῦσα;
ΤΡ. πάντ' ἀκήκοας.
ΧΟ. τέθνηκεν ἡ τάλαινα;
ΤΡ. δεύτερον κλύεις.
ΧΟ. τάλαιν' ὀλεθρία, τίνι τρόπῳ θανεῖν σφε φῄς;
ΤΡ. σχετλιώτατα πρός γε πρᾶξιν.
ΧΟ. εἰπὲ τῷ μόρῳ, γύναι, ξυντρέχει.
ΤΡ. αὐτὴν διηΐστωσε.
ΧΟ. τίς θυμὸς, ἢ τίνες νόσοι;
ΤΡ. τάνδ' αἰχμὰ βέλεος κακοῦ
ξυνεῖλε.
ΧΟ. πῶς ἐμήσατο
πρὸς θανάτῳ θάνατον
ἀνύσασα μόνα;
ΤΡ. στονόεντος ἐν τομᾷ σιδήρου.
ΧΟ. ἐπεῖδες, ὦ ματαία, τάνδ' ὕβριν;
ΤΡ. ἐπεῖδον, ὡς δὴ πλησία παραστάτις.
ΧΟ. τίς ἦν; πῶς; φέρ' εἰπέ.
ΤΡ. αὐτὴ πρὸς αὐτῆς χειροποιεῖται τάδε.
ΧΟ. τί φωνεῖς;
ΤΡ. σαφηνῆ.
ΧΟ. ἔτεκεν, ἔτεκεν μεγάλαν
ἁ νέορτος ἅδε νύμφα
δόμοισι τοῖσδ' ἐριννύν.
ΤΡ. ἄγαν γε· μᾶλλον δ' εἰ παροῦσα πλησία
ἔλευσσες οἷ' ἔδρασε, κάρτ' ἂν ᾤκτισας.

885. τάνδ' αἰχμὰ---Perperam Aldus αἰχμὰν, indistinctis etiam personis. Nempe hunc versum cum tribus sequentibus Choro continuat.

896. ἁ νέορτος. Sic legendum. Perperam vulgo ἀνέορτος.

899. ἔλευσσες. Sic Aldus et veteres codices, recte. Triclinius ἔλευσας.

ΧΟ. καὶ ταῦτ' ἔτλη τις χεὶρ γυναικεία κτίσαι;
ΤΡ. δεινῶς γε· πεύσει δ', ὥστε μαρτυρεῖν ἐμοί.
ἐπεὶ παρῆλθε δωμάτων ἔσω μόνη,
καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα δέμνια
στορνύνθ', ὅπως ἄψορρον ἀντῴη πατρὶ,
κρύψασ' ἑαυτὴν ἔνθα μή τις εἰσίδοι,
'βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ', ὅτι
γένοιτ' ἐρήμη, 'κλαιε δ' ὀργάνων ὅτου
ψαύσειεν, οἷς ἐχρῆτο δειλαία πάρος·
ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη,
εἴ που φίλων βλέψειεν οἰκετῶν δέμας,
ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη,
αὐτὴ τὸν αὑτῆς δαίμον' ἀνακαλουμένη,
καὶ τὰς ἄπαιδας ἐς τὸ λοιπὸν οὐσίας.
ἐπεὶ δὲ τῶνδ' ἔληξεν, ἐξαίφνης σφ' ὁρῶ
τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην.
κἀγὼ λαθραῖον ὄμμ' ἐπεσκιασμένη
'φρούρουν· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
τοῖς Ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.
ὅπως δ' ἐτέλεσε τοῦτ', ἐπενθοροῦσ' ἄνω
'καθέζετ' ἐν μέσοισιν εὐναστηρίοις,

900. τις χεὶρ γυναικεία. Sic Aldus et veteres codd. In Tricknianis vocula τις omissa, metro ruente. Quod quædam editiones præferunt, χεὶρ ἡ γυναικεία, ab inepto interpolatore suppositum fuit.

904. ἀντῴη. Perperam Aldus et membr. ἀντοίη.

910. φίλων οἰκετῶν δέμας. Periphrasis pro φίλους οἰκέτας. Sic Eurip. Or. 107. Τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας; Periphrasi itidem servit nomen ὄμμα. Supra, 527. ὄμμα νύμφας, pro νύμφη. Aj. 140. ὄμμα πελείας, pro πέλεια. Antig. 945. Δανάης δέμας, pro Δανάη. Supra, 838. ὕδρας φάσμα.

912. αὐτὴ τὸν αὑτῆς δαίμον' ἀνακαλουμένη. Sic codd. omnes. Aldus mendosissime αὐτὴ πρὸς αὑτῆς δαίμονα καλουμένη.

914. Hos Sophoclis versus æmulatus est Virgilius in Didonis morte, Æn. iv. Interiora domus irrumpit limina, et altos Conscendit furibunda rogos . . . Hic, postquam Iliacas vestes notumque cubile Conspexit, paullum lacrymis et mente morata, Incubuitque toro, dixitque novissima verba: Dulces exuviæ, dum fata, deusque sinebat, Accipite hanc animam, meque his exsolvite curis. Vide P. Victorii Var. Lect. v. 14.

καὶ δακρύων ῥήξασα θερμὰ νάματα,
ἔλεξεν· Ὦ λέχη τε, καὶ νυμφεῖ᾽ ἐμὰ,
τὸ λοιπὸν ἤδη χαίρεθ᾽, ὡς ἔμ᾽ οὔ ποτε
δέξεσθ᾽ ἔτ᾽ ἐν κοίταισι ταῖσδ᾽ εὐνήτριαν.—
τοσαῦτα φωνήσασα, συντόνῳ χερὶ
λύει τὸν αὐτῆς πέπλον, ᾧ χρυσήλατος
προὔκειτο μαστῶν περονίς· ἐκ δ᾽ ἐλώπισε
πλευρὰν ἅπασαν, ὠλένην τ᾽ εὐώνυμον.
κἀγὼ δρομαία βᾶσ᾽, ὅσονπερ ἔσθενον,
τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.
κἀν ᾧ τὸ κεῖσε δεῦρό τ᾽ ἐξορμώμεθα,
ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ
πλευρὰν ὑφ᾽ ἧπαρ καὶ φρένας πεπληγμένην.
ἰδὼν δ᾽ ὁ παῖς ᾤμωξεν. ἔγνω γὰρ τάλας
τοὔργον κατ᾽ ὀργὴν ὡς ἐφάψειεν τόδε,
ὄψ᾽ ἐκδιδαχθεὶς τῶν κατ᾽ οἶκον, οὕνεκα
ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.
κἀνταῦθ᾽ ὁ παῖς δύστηνος οὔτ᾽ ὀδυρμάτων
ἐλείπετ᾽ οὐδὲν, ἀμφί νιν γοώμενος,
οὔτ᾽ ἀμφιπίπτων στόμασιν, ἀλλὰ πλευρόθεν
πλευρὰν παρεὶς, ἔκειτο πόλλ᾽ ἀναστένων,
ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ·
κλαίων δ᾽ οὕνεκ᾽ ἐκ δυεῖν ἔσοιθ᾽ ἅμα,
πατρός τ᾽ ἐκείνης τ᾽, ὠρφανισμένος βίου.
τοιαῦτα τἀνθάδ᾽ ἐστίν. ὥστ᾽ εἴ τις δύο
ἢ καὶ πλέους τις ἡμέρας λογίζεται,
μάταιός ἐστιν. οὐ γάρ ἐσθ᾽ ἥ γ᾽ αὔριον,
πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.

922. νυμφεῖα. gl. παστοὶ, θάλαμοι.

924. εὐνήτριαν. Sic codd. Male Aldus εὐνήστριαν.

943. ἐκ δυεῖν. Sic in B. ut Œd. T. 1280. In aliis δυοῖν. Vide quæ notavimus ad Æschyli Prom. 784. S. Th. 923.

946. ἢ καὶ πλέους τις. Sic Aldus et Turnebus. Perperam H. Stephanus dedit πλείους metro corrupto, quomodo scriptum quidem fuit in membranis primo, sed eadem manus postmodo emendavit πλέους. In B. pessime ἢ καὶ πλείστας τις.

## ΧΟΡΟΣ.

Πότερα πρότερ' ἂν ἐπιστένω,
πότερα τέλεα περαιτέρω,
δύσκριτ' ἔμοιγε δυστάνῳ.
τάδε μὲν ἔχομεν ὁρᾷν δόμοις,
τάδε δὲ μέλλομεν ἐπ' ἐλπίσι.
κοινὰ δ', ἔχειν τε καὶ μέλλειν.
εἴθ' ἀνεμόεσσά τις — στροφή.
γένοιτ' ἔπουρος ἑστιῶτις αὔρα,
ἥ τις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως
τὸν Ζηνὸς ἄλκιμον γόνον
μὴ ταρβαλέα θάνοιμι
μοῦνον εἰσιδοῦσ' ἄφαρ,
ἐπεὶ ἐν δυσαπαλλάκτοις ὀδύναις
χωρεῖν πρὸς δόμον λέγουσιν
ἄσπετόν τι θαῦμα.
ἀγχοῦ δ' ἄρα κοὐ μακρὰν — ἀντιστρ.
προὔκλαιον, ὀξύφωνος ὡς ἀηδών.
ξένων γὰρ ἐξόμιλος ἥδε τις βάσις.
πᾷ δ' αὖ φορεῖ νιν; ὡς φίλου
προκηδομένα, βαρεῖαν
ἄψοφον φέρει βάσιν.
αἶ αἶ αἶ· ὅδ' ἄναυδος φέρεται.
τί χρὴ, θανόντα νιν, ἢ καθ'
ὕπνον ὄντα, κρῖναι;

ΥΛ. Ὤ μοι ἐγὼ σοῦ, πάτερ, ᾤ μοι ἐγὼ

949. Inconcinne Aldus et membr. πότερ' ἂν πότερα ἐπιστένω.

962. χωρεῖν πρὸς δόμον. Sic bene legit Heathius. Vulgo πρὸ δόμων, ut est in membr. At duo alii nostram lectionem firmant. In B. πρὸς δόμων: in T. πρὸς δῶμα.

965. In fine hujus versus Aldus et veteres codd. addunt vocem ξένοι, sententia et metro reclamante.

968. προκηδομένα. Sic membr. et Aldus. In duobus aliis προσκηδομέναν.

971. Metrum hujus versus cum strophico non congruit. Heathius haud male legit τί δὴ χρὴ—

σοῦ μέλεος. τί πάθω; τί δὲ μήσομαι;
 οἴ μοι.

## ΠΡΕΣΒΥΣ.

σίγα, τέκνον, μὴ κινήσῃς
ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
ζῇ γὰρ προπετής. ἀλλ' ἴσχε δακὼν
 στόμα σόν.

ΥΛ. πῶς φῄς, γέρον; ἦ ζῇ;

ΠΡ. οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνῳ κάτοχον,
κἀκκινήσεις, κἀναστήσεις
φοιτάδα δεινὴν νόσον, ὦ τέκνον.

ΥΛ. ἀλλ'
 ἐπί μοι μελέῳ
 βάρος ἄπλετον ἐμμέμονε φρήν.

## ΗΡΑΚΛΗΣ.

ὦ Ζεῦ,
ποῖ γᾶς ἥκω; παρὰ τοῖσι βροτῶν
κεῖμαι πεπονημένος ἀλλήκτοις
ὀδύναις; οἴ μοι μοι ἐγὼ τλάμων·
 ἡ δ' αὖ μιαρὰ βρύκει. φεῦ.

980. Perperam Aldus et codd. οὐ μὴ 'ξεγείρῃς—κἀκκινήσῃς, κἀναστήσῃς. Quæ primo quidem solœca sunt, siquidem particulæ οὐ μὴ cum aor. 1. subjunctivo nunquam construuntur. Vide ad Œd. T. 328. 1075. Œd. Col. 408. 849. 1024. et quæ notavimus ad Comici Lysistr. 704. Præterea μὴ 'ξεγείρῃς metrum jugulat.

984. ἐμμέμονε. Sic codd. omnes recte. Quod erudito Britanno apud Heathium, nescio qua gratia, reponi placet, ἐκμέμονε, ne Græcum quidem esse credo. Multis hujus viri conjecturis chartas suas oneravit Heathius, quas melius suppressisset, qualis est v. 964. ἐξόμιλος pro ἐξόμιλος, quod glossæ nostræ recte exponunt ἀήθης, eodem sensu, quem huic voci tribuit Henr. Stephanus in Thesauro. Verborum ordo est: φρὴν ἐμμέμονέ μοι μελέῳ ἐπὶ βάρος ἄπλετον. Compositum ἐμμέμονε, quod, ut et alterum ἐπιμέμονε, Lexicographis haud observatum fuit, idem valet, quod simplex μέμονε. Homerica phrasis est κραδίη μοι μέμονε. Plus autem hic significat, quam προθυμεῖται, ὁρμᾷ, quibus verbis illud exponi solet. Bene Scholiastes, ἐνθουσιᾷ. Addere poterat ταράσσεται.

988. οἴ μοι μοι. Sic legendum ad metri rationem. In libris οἴ μοι ἐγώ.

ΠΡ. ἆρ' ἐξήδης ὅσον ἦν κέρδος'
σιγῇ κεύθειν, καὶ μὴ σκεδάσαι
τῶδ' ἀπὸ κρατὸς καὶ βλεφάρων ὕπνον;
ΥΛ. οὐ γὰρ ἔχω πῶς
ἂν στέξαιμι, κακὸν τόδε λεύσσων.
ΗΡ. ὦ Κηναία κρηπὶς βωμῶν
ἱερῶν, οἵαν ἀνθ' οἵων
θυσιῶν ἐπί μοι
μελέῳ χάριν ἤνυσας. ὦ Ζεῦ,
οἵαν μ' ἄρ' ἔθου λώβαν, οἵαν·
ἣν μή ποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
ὤφελον ὅσσοις, τόδ' ἀκήλητον
μανίας ἄνθος καταδερχθῆναι.
τίς γὰρ ἀοιδὸς, τίς ὁ χειροτέχνης
ἰατορίας, ὃς τήνδ' ἄτην
χωρὶς Ζηνὸς κατακηλήσει;
θαῦμ' ἂν πόῤῥωθεν ἰδοίμην. ἔ, ἔ.
ἐᾶτέ μ', ἐᾶτέ με δύσμορον εὐνάσαι.
πᾷ μου ψαύεις; ποῖ κλίνεις;
ἀπολεῖς μ', ἀπολεῖς.
ἀντέτροφας ὅ τι καὶ μύσῃ.
ἧπταί μου τοῦτό τοι.
ἧδ' αὖθ' ἕρπει. πόθεν ἔστ', ὦ

992. καὶ βλεφάρων ὕπνον. Sic bene Heathius ex anapæstici metri lege. Vulgo βλεφάρων θ' ὕπνον.

994. στέξαιμι. Sic lego cum Valckenario ad Hippolyt. 874. Male in libris στέρξαιμι.

997. θυσιῶν. Perperam in libris θυμάτων, reclamante metro; et seq. versu contra linguæ indolem ἠνύσω pro ἤνυσας.

1007. Pro uno hoc versu Aldus et veteres codices tres exhibent sic distinctos: Ἒ. ἔ. ἐᾶτέ μ' ἐᾶτέ με Δύσμορον εὐνάσαι. Ἐᾶτέ με δύστανον εὐνάσαι. Tertium T. non agnoscit, merito omissum, quum sit manifesto spurius, et e superioris glossemate ortus. Noster autem versus dimeter est anapæsticus. In ἐᾶτε quod priore loco positum est, fit synizesis vocalium εα.

1011. τοῦτό τοι. Sic etiam membran. pro varia lectione: at in textu τοτοτοί.

1012. πόθεν ἔσ'—ubinam estis? Adverbia in θεν apud poëtas sæpe habitum in loco significant. Apollonius

πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, οὓς δὴ
πολλὰ μὲν ἐν πόντῳ, κατά τε δρία πάντα καθαίρων,
ὠλεκόμαν ὁ τάλας; καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι
οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἐπιτρέψει;
ἒ ἔ, οὐδ' ἀπαράξαι κρᾶτα βίου
θέλει μολὼν
τοῦ στυγεροῦ; φεῦ, φεῦ.

ΠΡ. ὦ παῖ τοῦδ' ἀνδρὸς, τοὔργον τόδε μεῖζον ἀνήκει,
ἢ καθ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε. σοί τε γὰρ ὄμμα
ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν.

ΥΛ. ψαύω μὲν ἔγωγε·
λαθίπονον δ' ὀδύναν οὔτ' ἔνδοθεν, οὔτε θύραθεν,
ἔστι μοι ἐξανύσαι βιότου. τοιαῦτα νέμει Ζεύς.

ΗΡ. ὦ παῖ, παῖ, ποῦ ποτ' εἶ;
τᾷδ' ἐμὲ, τᾷδ' ἐμὲ
πρόσλαβε κουφίσας.
ἒ ἔ. ἰὼ ἰὼ δαῖμον.
θρώσκει δ' αὖ, θρώσκει
δειλαία διολοῦσ' ἡμᾶς
ἀποτίβατος ἀγρία
νόσος. ἰὼ Παλλὰς,
τόδε μ' αὖ λωβᾶται. ἰὼ παῖ,
τὸν φύσαντ' οἰκτείρας,
ἀνεπίφθονον εἴρυσον ἔγχος,
παῖσον ἐμᾶς ὑπὸ
κλῇδος· ἀκοῦ δ' ἄχος, ᾧ μ' ἐχόλωσεν
σὰ μάτηρ ἄθεος,

Argon. ii. 914. κεῖθιν ἐπ' ἀγχιάλου θάνεν ἀκτῆς. pro κεῖθι. Sic Œd. T. 1259. ἐγγύθεν pro ἐγγύθι. El. 1058. ἄνωθεν pro ἄνω. Vide Schol. ad Antig. 521.

1016. οὐκ ἐπιτρέψει. Sic legendum. Perperam Aldus et membr. ἀποτρέψει. B. ἀναστρέψει. T. ἀντρέψει.

1022. ἔμπλεον. Sic Aldus et membr. gl. ὀξύτερον, ὡς νέου ὄντος. In B. T. ἔμπλεων, et in hoc Triclinii observatio, συνίζησις.

1023. οὔτε θύραθεν ἔστι μοι. Sic optime scriptum in B. In membr. ut apud Aldum, οὔτε θύραζ' ἔνεστί μοι. In T. οὔτε θύραζε ἔστι μοι.

ἂν ὧδ' ἐπίδοιμι πεσοῦσαν
αὔτως, ὧδ' αὔτως, ὥς μ' ὤλεσεν.
ὦ Διὸς αὐθαίμων,
ὦ γλυκὺς Ἀΐδας,
εὔνασόν μ', εὔνασον,
ὠκυπέτᾳ μόρῳ
τὸν μέλεον φθίσας.

ΧΟ. κλύουσ' ἔφριξα τάσδε συμφοράς, φίλαι,
ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.

ΗΡ. ὦ πολλὰ δὴ καὶ θερμὰ καὶ λόγῳ κακὰ
καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ·
κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
προὔθηκεν, οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοί,
οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐρινύων
ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.
πλευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν ἐσχάτας
βέβρωκε σάρκας, πλεύμονός τ' ἀρτηρίας
ῥοφεῖ ξυνοικοῦν· ἐκ δὲ χλωρὸν αἷμά μου
πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
κοὐ ταῦτα λόγχη πεδιάς, οὔθ' ὁ γηγενὴς
στρατὸς Γιγάντων, οὔτε θήρειος βία,
οὔθ' Ἑλλάς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω·
γυνὴ δέ, θῆλυς οὖσα, κοὐκ ἀνδρὸς φύσιν,
μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγώς,
καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.

1056. πλεύμονος. Male Aldus et membr. πλεύμονας. In aliis πνεύμονος.

1057. ξυνοικοῦν. Sic præter Aldum codd. omnes. Nescio unde Turnebus ξυνοικῶν hauserit, quod solœcum est.

1058. πέπωκεν. Mendose Aldus et membr. πέπτωκεν.

1067. πρεσβεύειν pro τιμᾶν usurpat Euripides Hippolyti initio: [illegible]

δός μοι, χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν,
ἐς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα,
εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ 'κείνης, ὁρῶν
λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
ἴθ', ὦ τέκνον, τόλμησον, οἴκτειρόν τ' ἐμὲ
πολλοῖσιν οἰκτρὸν, ὅστις, ὥστε παρθένος,
βέβρυχα κλαίων. καὶ τόδ' οὐδ' ἂν εἷς ποτε
τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα·
ἀλλ' ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς.
νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρὸς,
σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
πέπονθα. δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
ἰδοὺ θεᾶσθε πάντες ἄθλιον δέμας,
ὁρᾶτε τὸν δύστηνον, ὡς οἰκτρῶς ἔχω.
αἶ αἶ, ὦ τάλας, ἒ ἔ.
ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως· ὁ δ' αὖ
διῆξε πλευρῶν· οὐδ' ἀγύμναστόν μ' ἐᾶν
ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
ὦ 'ναξ 'Αΐδη, δέξαι μ'·
ὦ Διὸς ἀκτὶς, παῖσον.
ἔνσεισον, ὦ 'ναξ, ἐγκατάσκηψον βέλος,
πάτερ, κεραυνοῦ. δαίνυται γὰρ αὖ πάλιν,
ἤνθηκεν, ἐξώρμηκεν. ὦ χέρες, χέρες,

*σίβοντας τἀμὰ πρεσβειῶν κράτη*. Alcest. 289. Rheso, 944.

1073. *ὅστις, ὥστε παρθένος, βέβρυχα κλαίων*. Johnsonus ridicule vertit: *qui, ut virgo, rugii plorans*. Nescio ubinam locorum rugientes virgines reperiantur. Differunt *βρύχειν* et *βρυχᾶσθαι*. Vertendum: ut singulorum verborum vis exprimatur; *qui præ dolore frendeo dentibus, plorans ut puella*. Vel, *qui dolore frendens ploro ut puella*.

1076. *ἑσπόμην*. Schol. ad Aj. 318. *εἱπόμην*.

1087. Senariis interjiciuntur duo versiculi metri dactylici, ut qui paulo ante præcessit. Turnebus post Triclinium eos in unum hexametrum contulit, quod perinde est: hunc Valckenarius et conjectura minus probabili ad senarii formam revocat: *Ὦ ναξ, ἄϊδη δέξαι με, Διὸς ἀκτὶς παῖσον*. Vide desideratissimum virum ad Hippol. 1378.

ὦ νῶτα καὶ στέρν᾽, ὦ φίλοι βραχίονες,
ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ᾽, οἵ ποτε
Νεμέας ἔνοικον, βουκόλων ἀλάστορα,
λέοντ᾽, ἄπλατον θρέμμα κἀπροσήγορον,
βίᾳ κατειργάσασθε, Λερναίαν θ᾽ ὕδραν,
διφυῆ τ᾽ ἄμικτον ἱπποβάμονα στρατὸν
θηρῶν, ὑβριστὴν, ἄνομον, ὑπέροχον βίαν,
Ἐρυμάνθιόν τε θῆρα, τόν θ᾽ ὑπὸ χθονὸς
Ἅιδου τρίκρανον σκύλακ᾽, ἀπρόσμαχον τέρας,
δεινῆς Ἐχίδνης θρέμμα, τόν τε χρυσέων
δράκοντα μήλων φύλακ᾽ ἐπ᾽ ἐσχάτοις τόποις;
ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
κοὐδεὶς τρόπαι᾽ ἔστησε τῶν ἐμῶν χερῶν.
νῦν δ᾽ ὧδ᾽ ἄναρθρος, καὶ κατεῤῥακωμένος,
τυφλῆς ὑπ᾽ ἄτης ἐκπεπόρθημαι τάλας,
ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
ὁ τοῦ κατ᾽ ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
ἀλλ᾽ εὖ γέ τοι τόδ᾽ ἴστε, κἂν τὸ μηδὲν ὦ,
κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
χειρώσομαι κἀκ τῶνδε. προσμόλοι μόνον,

1098. ὑπέροχον. Perperam libri omnes ὑπείροχον. In B. T. βία.

1101. δεινῆς Ἐχίδνης θρέμμα. Hesiodum hîc sequitur, qui Cerberum ex Echidna et Typhone natum perhibet. At in Œd. Col. 1574. alios ei parentes tribuit.

1103. ἐγευσάμην. Vide ad Antig. 1005. Sic Hercules apud Euripidem in cognomine Dramate, 1356. Ἀτὰρ πόνων δὴ μυρίων ἐγευσάμην.

1111. χειρώσομαι κἀκ τῶνδε. προσμόλοι—Sic bene distinctum in T. Maximam partem hujus ῥήσεως Cicero convertit in Tusculana ii. Romanorum disertissimi versus neminem pigebit hîc legere: O multa dictu gravia, perpessu aspera, Quæ corpore exanclata atque animo pertuli! Nec mihi Junonis terror inplacabilis, Nec tantum invexit tristis Eurystheus mali, Quantum una vecors Œnei partu edita. Hæc me inretivit veste furiali inscium, Quæ latere inhærens morsu lacerat viscera, Urgensque graviter pulmonum haurit spiritus: Jam decolorem sanguinem omnem exsorbuit. Sic corpus clade horribili absumptum extabuit; Ipse inligatus peste interimor textili. Hos non hostilis dextra, non terra edita Moles gigantum, non biformato impetu Centaurus, ictus corpori infixit meo: Non Graia vis, non barbara ulla inmanitas, Non sæva terris gens relegata ultimis, Quas peragrans, undique omnem hic ferita-

ἵν' ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν, ὅτι
καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.
ΧΟ. ὦ τλῆμον Ἑλλὰς, πένθος οἷον εἰσορῶ
ἕξουσαν, ἀνδρὸς τοῦδέ γ' εἰ σφαλήσεται.
ΥΛ. ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ,
σιγὴν παρασχὼν κλῦθί μου, νοσῶν ὅμως.
αἰτήσομαι γάρ σ', ὧν δίκαια τυγχάνειν.
δός μοι σεαυτὸν, μὴ τοιοῦτον ὡς δάκνῃ
θυμῷ δύσοργος. οὐ γὰρ ἂν γνοίης ἐν οἷς
χαίρειν προθυμῇ, κἀν ὅτοις ἀλγεῖς μάτην.
ΗΡ. εἰπὼν ὃ χρῄζεις, λῆξον· ὡς ἐγὼ νοσῶν,
οὐδὲν ξυνίημ', ὧν σὺ ποικίλλεις πάλαι.
ΥΛ. τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων, ἐν οἷς
νῦν ἐστιν, οἷς θ' ἥμαρτεν οὐχ ἑκουσία.
ΗΡ. ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
τῆς πατροφόντου μητρὸς, ὡς κλύειν ἐμέ;
ΥΛ. ἔχει γὰρ οὕτως, ὥστε μὴ σιγᾷν πρέπειν.
ΗΡ. οὐ δῆτα, τοῖς γε πρόσθεν ἡμαρτημένοις.
ΥΛ. ἀλλ' οὐδὲ μὲν δὴ τοῖς γ' ἐφ' ἡμέραν ἐρεῖς.

tem expuli: Sed feminea vir, feminea interimor manu. O nate, vere hoc nomen usurpa patri, Ne me occidentem matris superet caritas. Huc adripe ad me manibus abstractam piis. Jam cernam, mene an illam potiorem putes. Perge, aude, nate; inlacrima patris pestibus: Miserere. gentes nostras flebunt miserias. Heu virginalem me ore ploratum edere, Quem vidit nemo ulli ingemiscentem malo! Sed feminata virtus adflicta occidit. Accede nate, adsiste, miserandum adspice Evisceratum corpus laceratum patris. Videte cuncti: tuque cœlestum sator Jace, obsecro, in me vim coruscam fulminis. Nunc, nunc dolorum anxiferi torquent vertices: Nunc serpit ardor. ô ante victrices manus, O pectora, ô terga, ô lacertorum tori! Vestrone pressu quondam Nemeæus leo Frendens efflavit graviter extremum halitum? Hæc dextra Lernam, tetra mactata excetra, Placavit: hæc bicorporem adflixit manum: Erymanthiam hæc vastificam abjecit belluam: Hæc e Tartarea tenebrica abstractum plaga Tricipitem eduxit Hydra generatum canem: Hæc interemit tortu multiplicabili Draconem, auriferam obtutu observantem arborem. Multa alia victrix nostra lustravit manus, Nec quisquam e nostris spolia cepit laudibus.

1119. μὴ τοιοῦτον. Perperam vulgo τοσοῦτον. Hic versus in membr. librarii incuria omissus est.

ΗΡ. λέγ'· εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.
ΥΛ. λέγω. τέθνηκεν ἀρτίως νεοσφαγής.
ΗΡ. πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.
ΥΛ. αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου.
ΗΡ. οἴ μοι· πρὶν, ὡς χρῆν, σφ' ἐξ ἐμῆς θανεῖν χερός;
ΥΛ. κἂν σου στραφείη θυμὸς, εἰ τὸ πᾶν μάθοις.
ΗΡ. δεινοῦ λόγου κατῆρξας· εἰπὲ δ' ᾗ νοεῖς.
ΥΛ. ἅπαν τὸ χρῆμ' ἥμαρτε, χρηστὰ μνωμένη.
ΗΡ. χρήστ', ὦ κάκιστε, πατέρα σὸν κτείνασα, δρᾷ;
ΥΛ. στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν,
ἀπήμπλαχ', ὡς προσεῖδε τοὺς ἔνδον γάμους.
ΗΡ. καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;
ΥΛ. Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν
τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον.
ΗΡ. ἰοὺ ἰοὺ δύστηνος, οἴχομαι τάλας.
ὄλωλ', ὄλωλα, φέγγος οὐκ ἔτ' ἐστί μοι.
οἴ μοι, φρονῶ δὴ ξυμφορᾶς ἵν' ἕσταμεν.
ἴθ', ὦ τέκνον· πατὴρ γὰρ οὐκ ἔτ' ἐστί σοι·
κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων,
κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
φήμην πύθησθε θεσφάτων, ὅσ' οἶδ' ἐγώ.
ΥΛ. ἀλλ' οὔτε μήτηρ ἐνθάδ'· ἀλλ' ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν, ὥστ' ἔχειν ἕδραν.
παίδων δὲ, τοὺς μὲν ξυλλαβοῦσ' αὐτὴ τρέφει,
τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις·
ἡμεῖς δ', ὅσοι πάρεσμεν, εἴ τι χρὴ, πάτερ,
πράσσειν, κλύοντες ἐξυπηρετήσομεν.

1136. στραφείη. Mendose Aldus et membr. στραφοίη.

1138. μνωμένη. Sic libri omnes. gl. ζητοῦσα. unde orta suspicio scripsisse poëtam μωμένη. Hesych. μώμεθα, ζητοῦμεν. Æschyli schol. ad Choëph. 43. μωμένα exponit ζητοῦσα. Vide Œd. Col. 836. At non minus bona est vulgata lectio.

1158. πράσσειν. Perperam in omnibus libris πράττειν.

ΗΡ. σὺ γοῦν ἄκουε τοὔργον· ἐξήκεις δ' ἵνα
φανεῖς ὁποῖος ὢν ἀνὴρ, ἐμὸς καλῇ.
ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν ἄπο,
ἀλλ' ὅστις Ἅιδου φθίμενος οἰκήτωρ πέλοι.
ὅδ' οὖν ὁ θὴρ Κένταυρος, ὡς τὸ θεῖον ἦν
πρόφαντον, οὕτω ζῶντά μ' ἔκτεινεν θανών.
φανῶ δ' ἐγὼ τούτοισι συμβαίνοντ' ἴσα
μαντεῖα καινὰ, τοῖς πάλαι ξυνήγορα,
ἃ, τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
Σελλῶν ἐσελθὼν ἄλσος, εἰσεγραψάμην
πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυός·
ἥ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν
ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ
λύσιν τελεῖσθαι· κἀδόκουν πράξειν καλῶς.
τόδ' ἦν ἄρ' οὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίγνεται.
ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ σύμμαχον,
καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα,
ἀλλ' αὐτὸν εἰκάθοντα συμπράσσειν, νόμον
κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.
ΥΛ. ἀλλ', ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγου στάσιν
τοιάνδ' ἐπελθών· πείσομαι δ' ἅ σοι δοκεῖ.
ΗΡ. ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι.
ΥΛ. ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν ἐπιστρέφεις;
ΗΡ. οὐ θᾶσσον οἴσεις, μηδ' ἀπιστήσεις ἐμοί;
ΥΛ. ἰδοὺ προτείνω, κοὐδὲν ἀντειρήσεται.

1159. σὺ γοῦν. Sic scriptum oportuit. Male in libris σὺ δ' οὖν.—ἵνα φανεῖς, *ubi ostendes*. Perperam in libris φανῇς, unde interpres ἵνα pro *ut* finali accepit.

1162. θανεῖν ἄπο pro ἀποθανεῖν. Male in libris θανεῖν ὕπο.

1163. πέλοι. Sic in B. Solœce in aliis πέλει.

1177. τῷδε τἀνδρὶ σύμμαχον. Sic B. T. Vulgo ξύμμαχον minus bene, præcedente vocali brevi.

ΗΡ. ὄμνυ Διὸς νῦν τοῦ με φύσαντος κάρα.
ΥΛ. ἦ μὴν τί δράσειν; καὶ τόδ' ἐξειρήσεται.
ΗΡ. ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.
ΥΛ. ὄμνυμ' ἔγωγε, Ζῆν' ἔχων ἐπώμοτον.
ΗΡ. εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.
ΥΛ. οὐ μὴ λάβω· δράσω γάρ. εὔχομαι δ' ὅμως.
ΗΡ. οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;
ΥΛ. οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.
ΗΡ. ἐνταῦθά νυν χρὴ τοὐμὸν ἐξάραντά σε
σῶμ' αὐτόχειρα, καὶ ξὺν οἷς χρῄζεις φίλων,
πολλὴν μὲν ὕλην τῆς βαθυῤῥίζου δρυὸς
κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν·
καὶ, πευκίνης λαβόντα λαμπάδος σέλας,
πρῆσαι. γόου δὲ μηδὲν εἰσίτω δάκρυ,
ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ
τοῦδ' ἀνδρὸς, ἔρξον· εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ,
καὶ νέρθεν ὢν, ἀραῖος εἰσαεὶ βαρύς.
ΥΛ. οἴ μοι πάτερ, τίν' εἶπας; οἷά μ' εἴργασαι;
ΗΡ. ὁποῖα δραστέ' ἐστίν. εἰ δὲ μὴ, πατρὸς
ἄλλου γενοῦ του, μηδ' ἐμὸς κληθῇς ἔτι.
ΥΛ. οἴ μοι μάλ' αὖθις. οἷά μ' ἐκκαλῇ, πάτερ,
φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν;
ΗΡ. οὐ δῆτ' ἔγωγ'· ἀλλ' ὧν ἔχω παιώνιον,
καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.
ΥΛ. καὶ πῶς ὑπαίθων, σῶμ' ἂν ἰῴμην τὸ σόν;
ΗΡ. ἀλλ' εἰ φοβῇ πρὸς τοῦτο, τἄλλα γ' ἔργασαι.
ΥΛ. φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.
ΗΡ. ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;
ΥΛ. ὅσον γ' ἂν αὐτὸς μὴ ποτιψαύων χεροῖν·

1203. μενῶ σ' ἐγώ. Id est, μενῶ σε, non σοί. Sic infra, 1241. θεῶν ἀρὰ μενεῖ σ' ἀπιστήσαντα.

1205. τίν' εἶπας. Sic Aldus et membr. In aliis τί μ' εἶπας. Æquo bonum esset τί εἶπας, ut Philoctet. 917. οἴ μοι, τί εἶπας;

1216. μὴ ποτιψαύων χεροῖν. Sic

τὰ δ' ἄλλα πράξω, κοὐ καμεῖ τοὐμὸν μέρος.
ΗΡ. ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δ' ἐμοὶ
χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.
ΥΛ. εἰ καὶ μακρὰ κάρτ' ἐστὶν, ἐργασθήσεται.
ΗΡ. τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;
ΥΛ. Ἰόλην ἔλεξας, ὥστ' ἐπεικάζειν ἐμέ.
ΗΡ. ἔγνως. τοσοῦτον δή σ' ἐπισκήπτω, τέκνον.
ταύτην, ἐμοῦ θανόντος, εἴπερ εὐσεβεῖν.
βούλει, πατρῴων ὁρκίων μεμνημένος,
πρόσθου δάμαρτα, μηδ' ἀπιστήσῃς πατρί·
μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
κλιθεῖσαν αὐτὴν ἀντὶ σοῦ λάβοι ποτέ·
ἀλλ' αὐτὸς, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
πιθοῦ. τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ
σμικροῖς ἀπιστεῖν, τὴν πάρος ξυγχεῖ χάριν.
ΥΛ. οἴ μοι. τὸ μὲν νοσοῦντι θυμοῦσθαι, κακόν·
τὸ δ' ὧδ' ὁρᾷν φρονοῦντα, τίς ποτ' ἂν φέροι;
ΗΡ. ὡς ἐργασείων οὐδὲν ὧν λέγω, θροεῖς.
ΥΛ. τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
μεταίτιος, σοί τ' αὖθις, ὡς ἔχεις, ἔχειν,
τίς ταῦτ' ἂν, ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
ἕλοιτο; κρεῖσσον κἀμέ γ', ὦ πάτερ, θανεῖν,
ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.
ΗΡ. ἀνὴρ ὅδ' ὡς ἔοικεν οὐ νεμεῖν ἐμοὶ
φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ

Aldus et veteres codd. Bonam lectionem Triclinii imperita audacia corrupit, μή ποτι ψαύω.

1223. σ' ἐπισκήπτω. Id est, ἐπισκήπτω σι. Non desunt exempla hujus constructionis. Eurip. Iph. T. 701. Πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε. Alcest. 372. ἐπισκήψω τούσδε, *hisce mandabo*. σοὶ ante vocalem brevem non eliditur. Vide Bentleium in Menandreis, p. 81. (*o*)

1237. ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ, *nisi qui scelerum pœnis agitatur, nisi quem scelera suscitant*. ἀλάστορες sunt Erinnyes, sive qui alii dæmones scelerum vindices. Euripidis schol. ad Phœn. 1597. Ἀλάστωρ. ἔφορος δαίμων τῶν τὰ ἄλαστα πεποιηκότων, καὶ τιμωρός.

1240. ὡς ἔοικεν οὐ νεμεῖν. Sic Aldus et tres codd. Turnebus edidit οὐ νεμεῖ γ' ἐμοί.

μενεῖ σ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.
ΥΛ. οἴ μοι. τάχ', ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.
ΗΡ. σὺ γάρ μ' ἀπευνασθέντος ἐκκινεῖς κακοῦ.
ΥΛ. δείλαιος, ὡς ἐς πολλὰ τἀπορεῖν ἔχω.
ΗΡ. οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν.
ΥΛ. ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ;
ΗΡ. οὐ δυσσέβεια, τοὐμὸν εἰ τέρψεις κέαρ.
ΥΛ. πράσσειν ἄνωγας οὖν με πανδίκως τάδε;
ΗΡ. ἔγωγε. τούτων μάρτυρας καλῶ θεούς.
ΥΛ. τοιγὰρ ποιήσω, κοὐκ ἀπώσομαι, τὸ σὸν
θεοῖσι δεικνὺς ἔργον. οὐ γὰρ ἄν ποτε
κακὸς φανείην, σοί γε πιστεύσας, πάτερ.
ΗΡ. καλῶς τελευτᾷς, κἀπὶ τοῖσδε τὴν χάριν
ταχεῖαν, ὦ παῖ, πρόσθες, ὡς, πρὶν ἐμπεσεῖν
σπαραγμὸν ἤ τιν' οἶστρον, ἐς πυράν με θῇς.
ἄγ' ἐγκονεῖτ', αἴρεσθε. παῦλά τοι κακῶν
αὕτη, τελευτὴ τοῦδε τἀνδρὸς ὑστάτη.
ΥΛ. ἀλλ' οὐδὲν εἴργει σοὶ τελειοῦσθαι τάδε,
ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.
ΗΡ. ἄγε νυν, πρὶν τήνδ' ἀνακινῆσαι
νόσον, ὦ ψυχὴ σκληρὰ, χάλυβος
λιθοκόλλητον στόμιον παρέχουσ',
ἀνάπαυε βοὴν, ὡς ἐπίχαρτον

1245. ἐς πολλὰ τἀπορεῖν ἔχω. Sic Aldus et veteres codd. recte. Triclinius stolide interpolavit ἐς πολλά γ' ἐπαπορεῖν ἔχω. Ineptum est Heathii commentum reponentis τὠπορεῖν, tanquam si articulus τὸ cum α sequentis vocis millies non coalesceret, ut Œd. T. 111. τἀμελούμενον. 356. τἀληθές. Ant. 275. τἀγαθόν. 1059. τἀδικεῖν, pro τὸ ἀδικεῖν, ut hîc τἀπορεῖν pro τὸ ἀπορεῖν. Exempla passim obvia. Vide quæ notavimus ad Comici Nubes 995. et ad Vespas 841. Sæpissime οα in α coalescunt; nunquam vero in ου. Corrigenda Hesychii glossa ad quam silent interpretes, τοὔρθρον, τὸ ἄρθρον. Scribendum τοὐρθὸν, τὸ ἄρθρον, id est τὸ αἰδοῖον. Respexit ad Euripidis Silenum temulentiam facete laudantem in Cyclope, v. 168. Ὡς ὅς γε πίνων μὴ γέγηθε, μαίνεται. Ἵν' ἔστι τουτὶ τοὐρθὸν ἐξανιστάναι, Μαστοῦ τε δραγμὸς, καὶ παρεσκευασμένου Ψαῦσαι χεροῖν λειμῶνος, ὀρχηστύς θ' ἅμα, Κακῶν τε λῆσις.

τελέως ἀεκούσιον ἔργον.
ΥΛ. αἴρετ', ὀπαδοὶ, μεγάλην μὲν ἐμοὶ
τούτων θέμενοι ξυγγνωμοσύνην,
μεγάλην δὲ θεοῖς ἀγνωμοσύνην
εἰδότες ἔργων τῶν πρασσομένων·
οἳ φύσαντες, καὶ κλῃζόμενοι
πατέρες, τοιαῦτ' ἐφορῶσι πάθη.
τὰ μὲν οὖν μέλλοντ' οὐδεὶς ἐφορᾷ·
τὰ δὲ νῦν ἑστῶτ', οἰκτρὰ μὲν ἡμῖν,
αἰσχρὰ δ' ἐκείνοις,
χαλεπώτατα δ' οὖν ἀνδρῶν πάντων,
τῷ τήνδ' ἄτην ὑπέχοντι.
ΧΟ. λείπου μηδὲ σὺ, παρθέν', ἐπ' οἴκων,
μεγάλους μὲν ἰδοῦσα νέους θανάτους,
πολλὰ δὲ πήματα καινοπαθῆ· καὶ
οὐδὲν τούτων, ὅ τι μὴ Ζεύς.

1277. His verbis Chori ductor virgines, quibus constat Chorus, alloquitur. Persona in membr. præfixa Χορὸς ἢ Ὕλλος, ut in Aldina editione: in aliis solummodo Χορός. Legendum autem cum scholiaste ἐπ' οἴκων. Perperam in nostris exemplaribus ἀπ' οἴκων.

1279. καινοπαθῆ. Varia lectio in codd. apposita καινοπαγῆ, cum glossa νεοκατασκεύαστα. Ut hunc versum exhibui, sic scriptus est in T. In aliis libris syllaba defectus est. Heathius τάδε inserit: Πολλὰ δὲ πήματα τάδε καινοπαθῆ· Κοὐδὲν τούτων, ὅ τι μὴ Ζεύς. In hac emendatione minus probo otiosum τάδε. Si qui putet necessario καὶ elidi, videat Antig. 383. Nescio ubi in hoc dramate Eustathius nomen ἀρχίλεως repererit, quod e Trachiniis ab eo excitatum p. 264. frustra in illis quæras. Doctum Archiepiscopum fefellit procul dubio memoria. Obversabatur ei forte Comici versus in Equitibus, 164. ubi ἀρχίλας e codicibus nostris legimus, ille vero legisse videtur: Τούτων ἁπάντων αὐτὸς ἀρχίλεως ἔσει.

ἂν ὧδ' ἐπίδοιμι πεσοῦσαν
αὔτως, ὧδ' αὔτως, ὥς μ' ὤλεσεν.
ὦ Διὸς αὐθαίμων,
ὦ γλυκὺς Ἀΐδας,
εὔνασόν μ', εὔνασον,
ὠκυπέτᾳ μόρῳ
τὸν μέλεον φθίσας.

ΧΟ. κλύουσ' ἔφριξα τάσδε συμφορὰς, φίλαι,
ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.

ΗΡ. ὦ πολλὰ δὴ καὶ θερμὰ καὶ λόγῳ κακὰ
καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ·
κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
προὔθηκεν, οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοὶ,
οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐρινύων
ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.
πλευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν ἐσχάτας
βέβρωκε σάρκας, πλεύμονάς τ' ἀρτηρίας
ῥοφεῖ ξυνοικοῦν· ἐκ δὲ χλωρὸν αἷμά μου
πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
κοὐ ταῦτα λόγχη πεδιὰς, οὔθ' ὁ γηγενὴς
στρατὸς Γιγάντων, οὔτε θήρειος βία,
οὔθ' Ἑλλὰς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω·
γυνὴ δὲ, θῆλυς οὖσα, κοὐκ ἀνδρὸς φύσιν,
μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγὼς,
καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.

1056. πλεύμονες. Male Aldus et membr. πλεύμονας. In aliis πνεύμονες.

1057. ξυνοικοῦν. Sic praeter Aldum codd. omnes. Nescio unde Turnebus ξυνοικῶν hauserit, quod soloecum est.

1058. πέπωκεν. Mendose Aldus et membr. πέπτωκεν.

1067. πρεσβεύειν pro τιμᾶν usurpat Euripides Hippolyti initio: πρεσβεύω

δός μοι, χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν,
ἐς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα,
εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ 'κείνης, ὁρῶν
λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
Ἴθ', ὦ τέκνον, τόλμησον, οἴκτειρόν τ' ἐμὲ
πολλοῖσιν οἰκτρὸν, ὅστις, ὥστε παρθένος,
βέβρυχα κλαίων. καὶ τόδ' οὐδ' ἂν εἷς ποτε
τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα·
ἀλλ' ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς.
νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρὸς,
σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
πέπονθα. δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
ἰδοὺ, θεᾶσθε πάντες ἄθλιον δέμας,
ὁρᾶτε τὸν δύστηνον, ὡς οἰκτρῶς ἔχω.
αἶ αἶ, ὦ τάλας, ἒ ἔ.
ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως· ὁ δ' αὖ
διῆξε πλευρῶν· οὐδ' ἀγύμναστόν μ' ἐᾶν
ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
ὦ 'ναξ 'Αΐδη, δέξαι μ'·
ὦ Διὸς ἀκτὶς, παῖσον.
ἔνσεισον, ὦ 'ναξ, ἐγκατάσκηψον βέλος,
πάτερ, κεραυνοῦ. δαίνυται γὰρ αὖ πάλιν,
ἤνθηκεν, ἐξώρμηκεν. ὦ χέρες, χέρες,

σίζοντας τἀμὰ πρεσβεύω κρέα. Alcest. 289. Rheso, 944.

1073. ὅστις, ὥστε παρθένος, βέβρυχα κλαίων. Johnsonus ridicule vertit: *qui, ut virgo, rugii plorans.* Nescio ubinam locorum rugientes virgines reperiantur. Differunt βρύχειν et βρυχᾶσθαι. Vertendum: ut singulorum verborum vis exprimatur; *qui præ dolore frendeo dentibus, plorans ut puella.* Vel, *qui dolore frendens ploro ut puella.*

1076. ἑσπόμην. Schol. ad Aj. 318. εἰπόμην.

1087. Senariis interjiciuntur duo versiculi metri dactylici, ut qui paulo ante præcessit. Turnebus post Triclinium eos in unum hexametrum contulit, quod perinde est: hunc Valckenarius et conjectura minus probabili ad senarii formam revocat: Ὦ ναξ, ἄϊδι δέξαι με, Διὸς ἀκτὶς παῖσον. Vide desideratissimum virum ad Hippol. 1378.

ὦ νῶτα καὶ στέρν', ὦ φίλοι βραχίονες,
ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ', οἵ ποτε
Νεμέας ἔνοικον, βουκόλων ἀλάστορα,
λέοντ', ἄπλατον θρέμμα κἀπροσήγορον,
βίᾳ κατειργάσασθε, Λερναίαν θ' ὕδραν,
διφυῆ τ' ἄμικτον ἱπποβάμονα στρατὸν
θηρῶν, ὑβριστὴν, ἄνομον, ὑπέροχον βίαν,
Ἐρυμάνθιόν τε θῆρα, τόν θ' ὑπὸ χθονὸς
Ἅιδου τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας,
δεινῆς Ἐχίδνης θρέμμα, τόν τε χρυσέων
δράκοντα μήλων φύλακ' ἐπ' ἐσχάτοις τόποις;
ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
κοὐδεὶς τρόπαι' ἔστησε τῶν ἐμῶν χερῶν.
νῦν δ' ὧδ' ἄναρθρος, καὶ κατερρακωμένος,
τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας,
ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
ὁ τοῦ κατ' ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
ἀλλ' εὖ γέ τοι τόδ' ἴστε, κἂν τὸ μηδὲν ὦ,
κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
χειρώσομαι κἀκ τῶνδε. προσμόλοι μόνον,

1098. ὑπέροχον. Perperam libri omnes ὑπείροχον. In B. T. βία.

1101. δεινῆς Ἐχίδνης θρέμμα. Hesiodum hîc sequitur, qui Cerberum ex Echidna et Typhone natum perhibet. At in Œd. Col. 1574. alios ei parentes tribuit.

1103. ἐγευσάμην. Vide ad Antig. 1005. Sic Hercules apud Euripidem in cognomine Dramate, 1356. Ἀτὰρ πόνων δὴ μυρίων ἐγευσάμην.

1111. χειρώσομαι κἀκ τῶνδε. προσμόλοι—Sic bene distinctum in T. Maximam partem hujus ῥήσεως Cicero convertit in Tusculana ii. Romanorum disertissimi versus neminem pigebit hîc legere: O multa dictu gravia, perpessu aspera, Quæ corpore exanclata atque animo pertuli! Nec mihi Junonis terror inplacabilis, Nec tantum invexit tristis Eurystheus mali, Quantum una vecors Œnei partu edita. Hæc me inretivit veste furiali inscium, Quæ latere inhærens morsu lacerat viscera, Urgensque graviter pulmonum haurit spiritus: Jam decolorem sanguinem omnem exsorbuit. Sic corpus clade horribili absumptum extabuit; Ipse inligatus peste interimor textili. Hos non hostilis dextra, non terra edita Moles gigantum, non biformato impetu Centaurus, ictus corpori infixit meo: Non Graia vis, non barbara ulla inmanitas, Non sæva terris gens relegata ultimis, Quas peragrans, undique omnem hic ferita-

ἵν᾽ ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν, ὅτι
καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.
ΧΟ. ὦ τλῆμον Ἑλλάς, πένθος οἷον εἰσορῶ
ἕξουσαν, ἀνδρὸς τοῦδέ γ᾽ εἰ σφαλήσεται.
ΥΛ. ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ,
σιγὴν παρασχὼν κλῦθί μου, νοσῶν ὅμως.
αἰτήσομαι γάρ σ᾽, ὧν δίκαια τυγχάνειν.
δός μοι σεαυτόν, μὴ τοιοῦτον ὡς δάκνῃ
θυμῷ δύσοργος. οὐ γὰρ ἂν γνοίης ἐν οἷς
χαίρειν προθυμῇ, κἀν ὅτοις ἀλγεῖς μάτην.
ΗΡ. εἰπὼν ὃ χρῄζεις, λῆξον· ὡς ἐγὼ νοσῶν,
οὐδὲν ξυνίημ᾽, ὧν σὺ ποικίλλεις πάλαι.
ΥΛ. τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων, ἐν οἷς
νῦν ἐστιν, οἷς θ᾽ ἥμαρτεν οὐχ ἑκουσία.
ΗΡ. ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
τῆς πατροφόντου μητρός, ὡς κλύειν ἐμέ;
ΥΛ. ἔχει γὰρ οὕτως, ὥστε μὴ σιγᾶν πρέπειν.
ΗΡ. οὐ δῆτα, τοῖς γε πρόσθεν ἡμαρτημένοις.
ΥΛ. ἀλλ᾽ οὐδὲ μὲν δὴ τοῖς γ᾽ ἐφ᾽ ἡμέραν ἐρεῖς.

tem expuli: Sed feminea vir, feminea interimor manu. O nate, vere hoc nomen usurpa patri, Ne me occidentem matris superet caritas. Huc adripe ad me manibus abstractam piis. Jam cernam, mene an illam potiorem putes. Perge, aude, nate; inlacrima patris pestibus: Miserere. gentes nostras flebunt miserias. Heu virginalem me ore ploratum edere, Quem vidit nemo ulli ingemiscentem malo! Sed feminata virtus adflicta occidit. Accede nate, adsiste, miserandum adspice Evisceratum corpus laceratum patris. Videte cuncti: tuque cœlestum sator Jace, obsecro, in me vim coruscam fulminis. Nunc, nunc dolorum anxiferi torquent vertices: Nunc serpit ardor. ô ante victrices manus, O pectora, ô terga, ô lacertorum tori! Vestrone pressu quondam Nemeæus leo Frendens efflavit graviter extremum halitum? Hæc dextra Lernam, tetra mactata excetra, Placavit: hæc bicorporém adflixit manum: Erymanthiam hæc vastificam abjecit belluam: Hæc e Tartarea tenebrica abstractum plaga Tricipitem eduxit Hydra generatum canem: Hæc interemit tortu multiplicabili Draconem, auriferam obtutu observantem arborem. Multa alia victrix nostra lustravit manus, Nec quisquam e nostris spolia cepit laudibus.

1119. μὴ τοιοῦτον. Perperam vulgo τοσοῦτον. Hic versus in membr. librarii incuria omissus est.

ΗΡ. ὄμνυ Διὸς νῦν τοῦ με φύσαντος κάρα.
ΥΛ. ἦ μὴν τί δράσειν; καὶ τόδ' ἐξειρήσεται.
ΗΡ. ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.
ΥΛ. ὄμνυμ' ἔγωγε, Ζῆν' ἔχων ἐπώμοτον.
ΗΡ. εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.
ΥΛ. οὐ μὴ λάβω· δράσω γάρ. εὔχομαι δ' ὅμως.
ΗΡ. οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;
ΥΛ. οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.
ΗΡ. ἐνταῦθά νυν χρὴ τοὐμὸν ἐξάραντά σε
σῶμ' αὐτόχειρα, καὶ ξὺν οἷς χρῄζεις φίλων,
πολλὴν μὲν ὕλην τῆς βαθυῤῥίζου δρυὸς
κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν·
καὶ, πευκίνης λαβόντα λαμπάδος σέλας,
πρῆσαι. γόου δὲ μηδὲν εἰσίτω δάκρυ,
ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ
τοῦδ' ἀνδρὸς, ἔρξον· εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ,
καὶ νέρθεν ὢν, ἀραῖος εἰσαεὶ βαρύς.
ΥΛ. οἴ μοι πάτερ, τίν' εἶπας; οἷά μ' εἴργασαι;
ΗΡ. ὁποῖα δραστέ' ἐστίν. εἰ δὲ μὴ, πατρὸς
ἄλλου γενοῦ του, μηδ' ἐμὸς κληθῇς ἔτι.
ΥΛ. οἴ μοι μάλ' αὖθις. οἷά μ' ἐκκαλῇ, πάτερ,
φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν;
ΗΡ. οὐ δῆτ' ἔγωγ'· ἀλλ' ὧν ἔχω παιώνιον,
καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.
ΥΛ. καὶ πῶς ὑπαίθων, σῶμ' ἂν ἰῴμην τὸ σόν;
ΗΡ. ἀλλ' εἰ φοβῇ πρὸς τοῦτο, τἄλλα γ' ἔργασαι.
ΥΛ. φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.
ΗΡ. ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;
ΥΛ. ὅσον γ' ἂν αὐτὸς μὴ ποτιψαύων χεροῖν·

1203. μενῶ σ' ἐγώ. Id est, μενῶ σε, non σοί. Sic infra, 1241. θεῶν ἀρὰ μενεῖ σ' ἀπιστήσαντα.

1205. τίν' εἶπας. Sic Aldus et membr. In aliis τί μ' εἶπας. Æquo bonum esset τί εἶπας, ut Philoctet. 917. οἴ μοι, τί εἶπας;

1216. μὴ ποτιψαύων χεροῖν. Sic

τὰ δ' ἄλλα πράξω, κοὐ καμεῖ τοὐμὸν μέρος.
ΗΡ. ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δ' ἐμοὶ
χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.
ΥΛ. εἰ καὶ μακρὰ κάρτ' ἐστὶν, ἐργασθήσεται.
ΗΡ. τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;
ΥΛ. Ἰόλην ἔλεξας, ὥστ' ἐπεικάζειν ἐμέ.
ΗΡ. ἔγνως. τοσοῦτον δή σ' ἐπισκήπτω, τέκνον.
ταύτην, ἐμοῦ θανόντος, εἴπερ εὐσεβεῖν
βούλει, πατρῴων ὁρκίων μεμνημένος,
πρόσθου δάμαρτα, μηδ' ἀπιστήσῃς πατρί·
μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
κλιθεῖσαν αὐτὴν ἀντὶ σοῦ λάβοι ποτέ·
ἀλλ' αὐτὸς, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
πιθοῦ. τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ
σμικροῖς ἀπιστεῖν, τὴν πάρος ξυγχεῖ χάριν.
ΥΛ. οἴ μοι. τὸ μὲν νοσοῦντι θυμοῦσθαι, κακόν·
τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα, τίς ποτ' ἂν φέροι;
ΗΡ. ὡς ἐργασείων οὐδὲν ὧν λέγω, θροεῖς.
ΥΛ. τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
μεταίτιος, σοί τ' αὖθις, ὡς ἔχεις, ἔχειν,
τίς ταῦτ' ἂν, ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
ἕλοιτο; κρεῖσσον κἀμέ γ', ὦ πάτερ, θανεῖν,
ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.
ΗΡ. ἀνὴρ ὅδ' ὡς ἔοικεν οὐ νεμεῖν ἐμοὶ
φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ

Aldus et veteres codd. Bonam lectionem Triclinii imperita audacia corrupit, *μή ποτι ψαύω*.

1223. *σ' ἐπισκήπτω.* Id est, *ἐπισκήπτω σοι.* Non desunt exempla hujus constructionis. Eurip. Iph. T. 701. *Πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε.* Alcest. 372. *ἐπισκήψω τούσδε*, *hisce mandabo.* *σοὶ* ante vocalem brevem non eliditur. Vide Bentleium in Menandreis, p. 81. (*o*)

1237. *ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ*, *nisi qui scelerum pœnis agitatur, nisi quem scelera suscitant.* *ἀλάστορες* sunt Erinnyes, sive qui alii dæmones scelerum vindices. Euripidis schol. ad Phœn. 1597. *Ἀλάστωρ. ἔφορος δαίμων τῶν τὰ ἄλαστα πεποιηκότων, καὶ τιμωρός.*

1240. *ὡς ἔοικεν οὐ νεμεῖν.* Sic Aldus et tres codd. Turnebus edidit *οὐ νεμεῖ γ' ἐμοί.*

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ.

ΤΑ ΤΟΥ

# ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΘΗΝΑ.

ΟΔΥΣΣΕΥΣ.

ΑΙΑΣ.

ΧΟΡΟΣ ΣΑΛΑΜΙΝΙΩΝ ΝΑΥΤΩΝ.

ΤΕΚΜΗΣΣΑ.

ΑΓΓΕΛΟΣ.

ΤΕΥΚΡΟΣ.

ΜΕΝΕΛΑΟΣ.

ΑΓΑΜΕΜΝΩΝ.

# ΥΠΟΘΕΣΙΣ

## ΑΙΑΝΤΟΣ ΜΑΣΤΙΓΟΦΟΡΟΥ.

---

ΤΟ δρᾶμα τῆς Τρωϊκῆς ἐστὶ πραγματείας, ὥσπερ οἱ ΑΝΤΗΝΟΡΙΔΑΙ, καὶ ΑΙΧΜΑΛΩΤΙΔΕΣ, καὶ ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ, καὶ ΜΕΜΝΩΝ. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως, ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλων, κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας τῆς κρίσεως μὴ τυχὼν, παρακεκίνηται, καὶ διέφθαρται τὴν γνώμην· ὥστε ἐφαπτόμενος τῶν ποιμνίων, δοκεῖν τοὺς Ἕλληνας διαχρήσασθαι. καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας, ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστὶ καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν, ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ὁ ΜΑΣΤΙΓΟΦΟΡΟΣ, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ ΛΟΚΡΟΥ. Δικαίαρχος δὲ ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ ἐπιγράφει· ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς ΑΙΑΣ ἀναγέγραπται.

Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα, τί ποτε ἄρα πράττει ὁ Αἴας· καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τὸ ἐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα, ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν εἰσέρχεται ἐπὶ τῷ μαστιγοῦν

3. ΜΕΜΝΩΝ. Hujus tragœdiæ Sophoclis nuspiam alibi, quod equidem sciam, occurrit meutio. In codice Regio E. non ΜΕΜΝΩΝ scriptum, sed ΑΓΑΜΕΜΝΩΝ, librarii prolubio ant errore.

9. διαχρήσασθαι. Codd. quidam διαχειρίζεσθαι.

22. ἐπὶ τῷ μαστιγοῦν. Sic codd. plerique et melioris notæ. Aldus ἐπὶ τὸ—

τὸν Ὀδυσσέα. παραγίνεται δὲ Χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν  γεγονὸς, ὅτι ποίμνια ἐσφάγησαν Ἑλληνικὰ, ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ καὶ Τέκμησσα, τοῦ Αἴαντος αἰχμάλωτος παλλακὶς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων, ὅτι Αἴας ἐστὶν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. ἑκάτερος οὖν παρ' ἑκατέρου μαθόντες τὸ ἀγνοούμενον, Χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι Αἴας ταῦτα ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ Χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται· καὶ μάλιστα ὁ Χορός. ὅθεν δὴ ὁ Αἴας προελθὼν, ἔμφρων γενόμενος, ἑαυτὸν ἀπολοφύρεται. καὶ τούτου ἡ Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς· ὁ δὲ ὑποκρινόμενος πεπαῦσθαι, ἔξεισι καθαρσίων ἕνεκεν, καὶ ἑαυτὸν διαχρῆται. εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, οὐκ ἐῶντα θάπτειν τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν Τεῦκρος, ἀπολοφύρεται. παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας, ὅτι ἐξ ὀργῆς καὶ φιλονεικίας οἱ ἄνθρωποι ἥκοιεν ἐπὶ τὰ τοιαῦτα νοσήματα, ὥσπερ ὁ Αἴας προσδοκήσας ἐγκρατὴς εἶναι τῶν ὅπλων καὶ ἀποτυχὼν, ἔγνω ἑαυτὸν ἀνελεῖν. αἱ δὲ τοιαῦται νῖκαι οὐκ εἰσὶν ἐπωφελεῖς, οὐδὲ τοῖς δοκοῦσι νενικηκέναι. ὅρα γὰρ καὶ παρ' Ὁμήρῳ τὰ περὶ τῆς ἥττης τοῦ Αἴαντος πάνυ διὰ βραχέων καὶ περιπαθῶς· (Ὀδυσσ. λ'. 542.)

οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα τευχέων.

εἶτα αὐτοῦ ἄκουε τοῦ κεκρατηκότος· (547.)

ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.

οὐκ ἐλυσιτέλησεν ἄρα αὐτῷ ἡ νίκη, τοιούτου ἀνδρὸς διὰ τὴν ἧτταν ἀποθανόντος.

Ἡ σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰσφέρει προλογίζου-

σαν τὴν Ἀθηνᾶ. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀποῤῥήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος. Θεοῦ οὖν ἦν τὸ ταῦτα διασαφῆσαι, καὶ Ἀθηνᾶς προσκηδομένης τοῦ Ὀδυσσέως, ἐφεξῆς·

καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.

Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν. οἱ μὲν γάρ φασιν ὅτι ὑπὸ Πάριδος τρωθεὶς, ἦλθεν εἰς τὰς ναῦς αἱμοῤῥοῶν· οἱ δὲ, ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν· σιδήρῳ γὰρ οὐκ ἦν τρωτός· καὶ οὕτω τελευτᾷ. οἱ δὲ, ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστὶ καὶ Σοφοκλῆς. περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ λεοντῆ, ἄτρωτον ἦν· τὸ δὲ μὴ καλυφθὲν, τρωτὸν ἔμεινε.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ.

---

### ΑΘΗΝΑ.

ΑΕΙ μὲν, ὦ παῖ Λαρτίου, δέδορκά σε
πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον·
καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
πάλαι κυνηγετοῦντα, καὶ μετρούμενον
ἴχνη τὰ κείνου νεοχάραχθ', ὅπως ἴδῃς
εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον. εὖ δέ σ' ἐκφέρει
κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.
ἔνδον γὰρ ὡνὴρ ἄρτι τυγχάνει, κάρα
στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους.
καί σ' οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
ἔτ' ἔργον ἐστὶν, ἐννέπειν δ' ὅτου χάριν
σπουδὴν ἔθου τήνδ', ὡς παρ' εἰδυίας μάθῃς.

### ΟΔΥΣΣΕΥΣ.

ὦ φθέγμ' Ἀθάνας, φιλτάτης ἐμοὶ θεῶν,
ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς, ὅμως

9. ἔνδον γὰρ ὡνήρ. Perperam vulgo ἀνήρ, quod absque articulo indefinitum est, et hominem quemvis significat. At ὁ ἀνὴρ est vir ille de quo sermo est, definite. Hujus nominis Homerus aliique poëtæ primam producunt pro metri necessitate, quod Atticis poëtis præterquam in melicis non licuit. Vide ad Œd. Col. 1486.

15. κἂν ἄποπτος ᾖς. Minervæ e machina loquentis, et spectatoribus conspicuæ, vocem audiebat Ulysses,

φώνημ' ἀκούω, καὶ ξυναρπάζω φρενὶ,
χαλκοστόμου κώδωνος ὥς Τυρσηνικῆς.
καὶ νῦν ἐπέγνως εὖ μ' ἐπ' ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ', Αἴαντι τῷ σακεσφόρῳ.
κεῖνον γὰρ, οὐδέν' ἄλλον, ἰχνεύω πάλαι.
νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
ἔχει περάνας, εἴπερ εἴργασται τάδε.
ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ' ἀλώμεθα·
κἀγὼ 'θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ.
ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
λείας ἁπάσας, καὶ κατηναρισμένας
ἐκ χειρὸς, αὐτοῖς ποιμνίων ἐπιστάταις.
τὴν δ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει.
κἀμοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
πηδῶντα πεδία σὺν νεοῤῥάντῳ ξίφει,
φράζει τε κἀδήλωσεν· εὐθέως δ' ἐγὼ
κατ' ἴχνος ᾄσσω, καὶ τὰ μὲν σημαίνομαι,
τὰ δ' ἐκπέπληγμαι, κοὐκ ἔχω μαθεῖν ὅτου.
καιρὸν δ' ἐφήκεις· πάντα γὰρ τά τ' οὖν πάρος,
τά τ' εἰσέπειτα, σῇ κυβερνῶμαι χερί.
ΑΘ. ἔγνων, 'Οδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην

at ipse eam censebatur non videre, juxta veterum opinionem, Deos quidem sæpe cum hominibus colloqui, sed perquam raro se iis in conspectum dare; juxta illud Homericum: *Οὐ γάρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς.* Inde est quod apud Euripidem Hippolytus Dianæ ait: *Σοὶ καὶ ξύνειμι, καὶ λόγοις σ' ἀμείβομαι, Κλύων μὲν αὐδὴν, ὄμμα δ' οὐχ ὁρῶν τὸ σόν.*

16. *ξυναρπάζω φρενί.* Schol. *ὀξέως ξυνίημι καὶ ἀντιλαμβάνομαι.* Posterioris verbi adhibiti pro *sensu percipere* exempla contulit Græsvius ad Luciani Solœcistam N. 43.

17. *κώδωνος Τυρσηνικῆς.* Eurip. Heracl. 833. *'Επεὶ δ' ἐσήμην' ὄρθιον Τυρσηνικῇ σάλπιγγι.*

27. *αὐτοῖς.* gl. *σύν.* Solemnis hujus præpositionis ellipsis. Vide Indicem nostrum in Aristophanem.

28. *αἰτίαν νέμει.* Sic Aldus et veteres codd. Glossa *εἰς αὐτὸν τρέπει,* quod verbum in quibusdam codd. textum invasit. Vide Valckenarium ad Hippol. 1321.

29. *κἀμοί.* Minus bene vulgo *καί μοι.*

30. *πεδία.* gl. *κατά.* Codd. quidam recentiores habent *πεδίῳ,* quod rursus e glossemate ortum *ἐν πεδίῳ.* Vide quæ notavimus ad Eurip. Bacchas 303. *Πηδῶντα σὺν πεύκαισι δικόρυφον πλάκα.*

τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.
ΟΔ. ἦ καὶ, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;
ΑΘ. ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
ΟΔ. καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα;
ΑΘ. χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
ΟΔ. τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;
ΑΘ. δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.
ΟΔ. ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;
ΑΘ. κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.
ΟΔ. ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;
ΑΘ. νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
ΟΔ. ἦ καὶ παρέστη, κἀπὶ τέρμ' ἀφίκετο;
ΑΘ. καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
ΟΔ. καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
ΑΘ. ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς,
καὶ πρός τε ποίμνας ἐκτρέπω, ξύμμικτά τε
λείας, ἄδαστα βουκόλων φρουρήματα·
ἔνθ' εἰσπεσὼν ἔκειρε πολύκερων φόνον,
κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ' ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ' ἄλλοτ' ἄλλον, ἐμπιτνῶν, στρατηλατῶν.
ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις
ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.

40. ὧδ' ᾖξεν χέρα. Sic libri omnes, ut equidem opinor, recte. Primario harum literarum viro legendum videtur χερὶ, quod per se quidem bonum esset, nec tamen vitii suspectum esse debet χέρα. Verba sunt plurima, quibus pedestris sermo non aliam quam neutralem significandi potestatem tribuit, poëticus vero tanquam transitivis utitur. Exempla aliquot excitavi ad Apollonii Argon. iii. 225. quibus adde εὑδάνει i. 478. ἐξαναζέσει in Æschyli Prom. 370. ἐπιζέσειν in Eurip. Cyclope, 391. Sic in Epigrammate: Ὢ, καλὸν ἁβροκόμης ἄνθος ἔλαμψεν Ἔρως. et in alio: Ἕλκει τῇδ' ὁ βίαιος Ἔρως. φλόγα δ' οἷα προφαίνων, Παιδὸς ἀπαστράπτει κάλλος ἐραστὸν ἰδεῖν. Verba sunt neutra λάμπειν et ἀπαστράπτειν, quæ tamen in his exemplis transitive usurpantur. Neutrum βλαστάνω prosæ etiam scriptores activa significatione adhibent.

60. ἕρκη, retia. Vide Musgravium ad Eurip. Medeam 991.

κἄπειτ᾽, ἐπειδὴ τοῦδ᾽ ἐλώφησεν φόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν,
ποίμνας τε πάσας, ἐς δόμους κομίζεται,
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων.
καὶ νῦν κατ᾽ οἴκους ξυνδέτους αἰκίζεται.
δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς.
θαρσῶν δὲ μίμνε, μηδὲ συμφορὰν δέχου
τὸν ἄνδρ᾽. ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω, σὴν πρόσοψιν εἰσιδεῖν.
οὗτος, σὲ, τὸν τὰς αἰχμαλωτίδας χέρας
δεσμοῖς ἀπευθύνοντα προσμολεῖν καλῶ.
Αἴαντα φωνῶ. στεῖχε δωμάτων πάρος.
ΟΔ. τί δρᾷς, Ἀθάνα; μηδαμῶς σφ᾽ ἔξω κάλει.
ΑΘ. οὐ σῖγ᾽ ἀνέξει, μηδὲ δειλίαν ἀρεῖς;
ΟΔ. μὴ, πρὸς θεῶν· ἀλλ᾽ ἔνδον ἀρκείτω μένων.
ΑΘ. τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ᾽ ἦν....
ΟΔ. ἐχθρός γε τῷδε τἀνδρὶ, καὶ τανῦν ἔτι.
ΑΘ. οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾷν;
ΟΔ. ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.
ΑΘ. μεμηνότ᾽ ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;
ΟΔ. φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.

75. *μηδὲ δειλίαν ἀρεῖς*. gl. *ἀφανίσεις ἀπὸ σαυτοῦ δηλονότι*. Perperam. *δειλίαν αἴρειν* significat *sumere, concipere timiditatem*, ut infra, 129. *ὄγκον αἴρειν*, *fastum concipere*. Male autem in hoc versu libri quidam scripti et Aldus præferunt *ἄρῃς*, quod et solœcum est, et in metri legem incurrit. *οὐ μὴ* cum aor. 1. subjunctivo construi non patitur linguæ indoles, et in aoristis verbi *αἴρω* longum est *α*, quod in futuro corripitur.

77. *πρόσθεν οὐκ ἀνὴρ ὅδ᾽ ἦν* . . . Minervæ sermonem abrumpit Ulysses metu concitus; dictura illa erat: *Nonne et antea hic vir erat tam pollens animo et viribus, quam nunc, quem non formidabas tamen?* Personarum distinctionem temere mutat Heathius, ista Ulyssi tribuens, et iis sequentem versum continuans perquam inficete.

80. *ἐν δόμοις*. Sic Aldus et potiores codd. *εἰς δόμους* a Triclinio invectum, tuetur Scholiastes, nec inelegans est. Verum præstat *ἐν δόμοις*.

82. *οὐκ ἂν ἐξέστην ὄκνῳ*. gl. *οὐκ ἂν ἀπέφυγον φόβῳ ἰδεῖν*. Hinc orta prava lectio, quæ libros quosdam recentiores insedit, *ἐξέστην ἰδεῖν*, Triclinio recepta.

ΑΘ. ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας.
ΟΔ. πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
ΑΘ. ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
ΟΔ. γένοιτο μέν τ' ἂν πᾶν, θεοῦ τεχνωμένου.
ΑΘ. σίγα νυν ἑστὼς, καὶ μέν' ὡς κυρεῖς ἔχων.
ΟΔ. μένοιμ' ἄν· ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
ΑΘ. ὦ οὗτος, Αἴας, δεύτερόν σε προσκαλῶ.
τί βαιὸν οὕτως ἐντρέπῃ τῆς ξυμμάχου;

## ΑΙΑΣ.

ὦ χαῖρ' Ἀθάνα, χαῖρε Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
στέψω λαφύροις, τῆσδε τῆς ἄγρας χάριν.
ΑΘ. καλῶς ἔλεξας. ἀλλ' ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
ΑΙ. κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΑΘ. ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;

87. *σίγα νυν.* Ad metri rationem parum attentus fuit Johnsonus, qui postremam voculam accentu notavit, quanquam in Turnebi et Stephani editionibus, ne de antiquioribus loquar, sine accentu eam videre poterat. Eustathius p. 1312. *ἐν δὲ τῷ Δεῦρό νυν, συνέσταλται ἀσυνήθως τὸ υ. καὶ ἴσως οὐδὲ περισπᾷν χρὴ τὴν λέξιν, ἀλλ' ἀφιέναι κοινὴν κεῖσθαι τόνου. μή ποτε δὲ οὐδὲ χρονικὸν ἐπίῤῥημά ἐστιν, ἀλλὰ σύνδεσμός τις παραπληρωματικὸς, ὁποῖος ὁ νυ—τοιοῦτόν τι καὶ παρὰ Σοφοκλεῖ ἐν ἰάμβῳ τὸ Σῖγα νυν ἑστὼς, καὶ μέν' ὡς κυρεῖς ἔχων. κἀκεῖ γὰρ τὸ νυν, ὅ τι ἂν καὶ σημαίνει, συστέλλεται, ὁμοίως καὶ παρ' Εὐριπίδῃ ἐν τῷ* (Hec. 986.) *Σῶσόν νυν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.* Thomas Mag. *χρῶνται δὲ οἱ τραγικοί τε καὶ κωμικοὶ καὶ ἑτέρῳ νυν, λαμβανομένῳ μὲν ἀντὶ τοῦ δὴ, ἔχοντι δὲ ἔμφασίν τινα χρόνου, ὡς παρὰ Σοφ. ἐν Αἴαντι Σίγα νυν*—Glossæ in codd. *νυν. δή. ἀργόν.*

88. *μένοιμ' ἄν, manebo.* Præsens optativi cum particula *ἄν*, tragicis adhibetur sæpissime vice futuri, ut Œd. T. 95. *λέγοιμ' ἂν οἷ' ἤκουσα.* Œd. Col. 507. *χωροῖμ' ἂν ἐς τόδ'.* 580. *χρόνῳ μάθοις ἄν.* Ant. 1108. *ὧδ' ὡς ἔχω στείχοιμ' ἄν.*

89. *ὦ οὗτος, Αἴας.* Sic scriptum in E. ut apud Gregorium in libello de Dialecto Attica, §. liii. Eustathius p. 1469. *εὐθείαις δὲ ἀντὶ κλητικῶν κατακέχρηνται οἱ Ἀθηναῖοι, ὦ Αἴας λέγοντες, ἀντὶ τοῦ ὦ Αἶαν, ὡς καὶ παρὰ τῷ Σοφοκλεῖ κεῖται, καὶ ὁ παῖς καὶ ὁ Ξανθίας παρὰ τῷ κωμικῷ, ἀντὶ τοῦ ὦ παῖ καὶ ὦ Ξανθία.* Vide quæ notavimus ad Comici Plutum 1099.

ΑΙ. ὥστ', οὔ ποτ' Αἴανθ' οἶδ' ἀτιμάσουσ' ἔτι.
ΑΘ. τεθνᾶσιν ᾦνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
ΑΙ. θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.
ΑΘ. εἶεν. τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου;
ποῦ σοι τύχης ἕστηκεν; * ἢ πέφευγέ σε;
ΑΙ. ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;
ΑΘ. ἔγωγ'· Ὀδυσσέα, τὸν σὸν ἐνστάτην, λέγω.
ΑΙ. ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔ τι πω θέλω.
ΑΘ. πρὶν ἂν τί δράσῃς, ἢ τί κερδάνῃς πλέον;
ΑΙ. πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκίου στέγης---
ΑΘ. τί δῆτα τὸν δύστηνον ἐργάσει κάκον;
ΑΙ. μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.
ΑΘ. μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
ΑΙ. χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι·
κεῖνος δὲ τίσει τήνδε, κοὐκ ἄλλην δίκην.
ΑΘ. σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
χρῶ χειρί· φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
ΑΙ. χωρῶ πρὸς ἔργον· τοῦτό σοι δ' ἐφίεμαι,
τοιάνδ' ἀεί μοι ξύμμαχον παρεστάναι.
ΑΘ. ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν, ὅση.
τούτου τίς ἂν σοι τἀνδρὸς ἢ προνούστερος,
ἢ δρᾷν ἀμείνων εὑρέθη τὰ καίρια;
ΟΔ. ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν,
δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ,

* ἢ edd. 1. 2.

98. Αἴανθ' οἶδ'—scribere potuit ὧδ', ut v. 449. vel Αἴαντ', οἶδ', ἀτιμάσουσ'---Mediæ sententiæ sic insertum οἶδα frequenter occurrit, ut infra, 560. 938.

99. τεθνᾶσιν ᾦνδρες. Id est οἱ ἄνδρες. Articulus, ubi de certis et definitis personis agitur, abesse non potest. Perperam in libris scriptum τεθνᾶσιν ἄνδρες.

100. ἀφαιρείσθων pro ἀφαιρείσθωσαν, Atticorum more, qui tertia duali in imperativo formæ passivæ utuntur pro tertia plurali. Vide notata ad Comici Nubes 439.

114. τέρψις ἥδε. Sic Aldus et codd. omnes præter T. in quo ὧδε.

119. ἢ προνούστερος. Sic quinque codd. inter quos T. In aliis, ut in impressis, minus bene ἂν.

122. ἔμπας e Scholiaste dedi, ut infra, 1338. Hic librariis

ὅθ' οὕνεκ' ἄτῃ ξυγκατέζευκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο, πλὴν
εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.

ΑΘ. τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάθει·
ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

## ΧΟΡΟΣ.

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,
σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω·
σὲ δ' ὅταν πληγὴ Διὸς, ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω, καὶ πεφόβημαι,
πτηνῆς ὡς ὄμμα πελείας.

placuit *ἵμπης*. Æschylus Prom. 48. *Ἅπαντ' ἐπαχθῆ πλὴν θεοῖσι κοιρανεῖν*... *Ἔμπας τις αὐτὴν ἄλλος ὤφιλεν λαχεῖν*.

127. *ὑπέρκοπον* recte monet Heathius non esse pro *ὑπέρκομπον*, sed derivari ab *ὑπερκόπτω*. Æschylus Choëph. 134.---*οἱ δ' ὑπερκόπως Ἐν τοῖσι σοῖσι πόνοισι χλίουσιν μέγα*. Scholiastes exponit *ὑπερηφάνως*.

130. *μακροῦ πλούτου βάθει*. gl. *περιουσίᾳ καὶ μεγέθει*. codd. aliquot habent *βάρει*: verum nullus est qui nostram lectionem vel in textu, vel in margine non exhibeat: eam agnoscit Stobæus in Floril. Grotii, p. 115. Magistros, qui sinceram lectionem mutarunt, fefellit opinio præcedenti verbo *βρίθεις* melius convenire *ponderis* notionem. In Euripidis Androm. 196. ubi vulgo legitur *πόλεώς τε μεγέθει*, scriptum oportuit *πλούτου τε μεγέθει*.

131. *ὡς ἡμέρα*—Sosiphanes apud Stobæum, Floril. Grotii p. 111. *Ὦ δυστυχεῖς μὲν πολλὰ, παῦρα δ' ὄλβιοι Βροτοὶ, τί σεμνύνεσθε ταῖς ἐξουσίαις, Ἃς ἓν τ' ἔδωκε φέγγος, ἓν τ' ἀφείλετο;*

136. *σὲ μὲν εὖ πράσσοντ'*---Non subauditur *εἰς*, ut Scholiastæ visum. *χαίρω* cum accusativo construitur ellipsi participii *ὁρῶν*. Eurip. Rheso, 391. *Χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον Πύργοισιν ἐχθρῶν*. Vide quæ notavimus ad Comici Equites 783. Glossatoris expositionem *χαίρω ἐπὶ σὲ εὖ πράσσοντα*, non admittit linguæ indoles.

ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ
λειμῶν' ἐπιβάντ', ὀλέσαι Δαναῶν
βοτὰ καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπή,
κτείνοντ' αἴθωνι σιδήρῳ.
τοιούσδε λόγους ψιθύρους πλάσσων
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεύς,
καὶ σφόδρα πείθει. περὶ γὰρ σοῦ νῦν
εὔπιστα λέγει· καὶ πᾶς ὁ κλύων
τοῦ λέξαντος χαίρει μᾶλλον,
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
οὐκ ἂν ἁμάρτοι· κατὰ δ' ἄν τις ἐμοῦ
τοιαῦτα λέγων, οὐκ ἂν πείθοι.
πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
καίτοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται·
μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἄν,
καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων.
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.

143. τὸν ἱππομανῆ. Qualiscunque demum huic nomini significatio tribuatur, certum est saltem illud cum λειμῶνα, non cum σὲ, jungendum. ἱππομανὴς λειμὼν est pratum *quo equi delectantur*, vel *quod equis abundat*, vel pratum *gramine luxurians*. Vide Toupii Emendationes in Suidam, tom. ii. p. 38.

151. εὔπιστα. Sic bene cod. meus et D. Gl. εὐκόλως πειθόμενα, *quæ facile persuadentur*, *creduntur*. Aldus εὔπειστα.

157. τὸν ἔχοντα. gl. εὖ. ἤγουν τὸν ὑπερέχοντα. Alias οἱ ἔχοντες appellantur *divites*. Vide Kusterum ad Comici Plutum 596. Apud Æschylum Suppl. 498. contraria sententia est, alio respectu vera etiam: Τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὔνοιας φέρει.

161. ὑπὸ μικροτέρων. Sic Aldus et D. Gl. ἤγουν μικρῶν. Inde orta prava lectio, quam Triclinius invexit. Ceteri codd. mendose ὑπὸ σμικροτέρων, in quo pes bacchius est vice anapæti.

ὑπὸ τοιούτων ἀνδρῶν θορυβῇ,
χ' ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ'
ἀπαλέξασθαι, σοῦ χωρὶς, ἄναξ.
ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
παταγοῦσιν, ἅτε πτηνῶν ἀγέλαι·
μέγαν αἰγυπιὸν δ' ὑποδείσαντες
τάχ' ἂν, ἐξαίφνης εἰ σὺ φανείης,
σιγῇ πτήξειαν ἄφωνοι.
ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις — στροφή.
(ὦ μεγάλα φάτις, ὦ
μᾶτερ αἰσχύνας ἐμᾶς.)
ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας,
ἤ που τινὸς νίκας ἀκάρπωτον χάριν,
ἤ ῥα κλυτῶν ἐνάρων
ψευσθεῖσα δώροις, εἴτ' ἐλαφηβολίαις·
ἢ χαλκοθώραξ ἦντιν' Ἐνυάλιος
μομφὰν ἔχων
ξυνοῦ δορὸς, ἐννυχίοις μαχαναῖς
ἐτίσατο λώβαν.
οὔ ποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ, — ἀντιστρ.

169. *μέγαν αἰγυπιὸν δ' ὑποδείσαντες.* Hic locus vulgo prava interpunctione laborat, turbato tam sensu quam metro ob omissionem in hoc versu adversativæ particulæ δὲ, quam Dawesius certissima emendatione restituit, Miscell. crit. p. 224. Quæ alii de hoc loco commenti sunt, futilia sunt. Nec in sententia, nec in verbis, quidquam est, quod vel tironi remoram objicere possit. In *ὑποδείσαντες* subauditur *ὡς*, cujus particulæ ellipsi nihil frequentius. Apollonius Argon. i. 1049. Οἱ δ' *ἄλλοι εἴξαντες ὑπέτρεσαν, ἠΰτε κίρκους Ὠκυπέτας ἀγεληδὸν ὑποτρέσσωσι πέλειαι.*

179. *ἢ χαλκοθώραξ ἦντιν' Ἐνυάλιος.* Sic optime Johnsonus. *χαλκοθώραξ Ἐνυάλιος* est *Mars*. Inepte Scholiasta duos diversos deos his vocibus significari putat, prava scilicet deceptus scriptura *ἤ τιν*, pro *ἦντιν'*. Enyalius quidem a Marte distingui potest, sed tum Mars proprio nomine, non epitheto communi designatur: ut apud Aristophanem in Pace, 457. Ἄρει δέ —Μὴ, μή — Μηδ' Ἐνυαλίῳ γε; — Μή. Ajacem Deorum ira ad absurdum facinus incitatum fuisse Chorus suspicatur, ut apud Euripidem in Hippolyto v. 141. Trœzeniæ mulieres Phædræ morbum a Diis immissum fuisse opinantur. Confer locum, qui hujus nostri simillimus est.

παῖ Τελαμῶνος, ἔβας,
τόσσον ἐν ποίμναις πιτνῶν·
ἦκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
εἰ δ' ὑποβαλλόμενοι
κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,
μή, μή μ', ἄναξ,
ἔθ' ὧδ' ἐφάλοις κλισίαις ὄμμ' ἔχων,
κακὰν φάτιν ἄρῃ.
ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι ἐπῳδός.
στηρίξῃ ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ,
ἄταν οὐρανίαν φλέγων.
ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα
ὁρμᾶται ἐν εὐανέμοις βάσσαις,
πάντων καγχαζόντων γλώσσαις
βαρυάλγητ'· ἐμοὶ δ' ἄχος ἕστακε.

## ΤΕΚΜΗΣΣΑ.

Ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου.

190. ἢ τᾶς ἀσώτου. Subauditur τις. Frequens ellipsis Hemsterhusio observata ad Luciani Nigrinum, p. 63. Scholiastes duo tragici nostri versus ex Achivorum convivio profert, quos emendavimus. Perperam vulgo legitur μητρὸς πατήρ. Apud Plutarchum in libro *Quomodo juveni audienda sint poëmata*, p. 15. edit. Grotii, Sisyphus appellatur ὁ φθορεύς.

193. κακὰν φάτιν ἄρῃ. Sic Aldus et præstantiores codices, ut etiam laudat Henr. Stephanus Thesauri tom. i. col. 208. D. Triclinius maluit ἄρῃς.

195. στηρίξῃ. In D. στηρίξει, Attica forma, quam in futuris tantum passivis et mediis admisimus. Vide ad priorem Œdipum 336.

197. ἀτάρβητα. Apposita in quibusdam codd. varia lectio ἀτάρβητος, quæ orta e glossa videtur, ἀτρόμως, ἀφόβως. Neutrum est plurale pro adverbio.

198. ὁρμᾶται. Aldus et plerique codd. ὁρμᾶτ' ἐν—

νῦν γὰρ ὁ δεινὸς, ὁ μέγας ὠμοκρατὴς
Αἴας θολερῷ
κεῖται χειμῶνι νοσήσας.
ΧΟ. τί δ' ἐνήλλακται τῆς ἀμερίας
νὺξ ἥδε βάρος;
παῖ τοῦ Φρυγίου Τελλεύταντος,
λέγ', ἐπεί σε λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας,
ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις.
ΤΕ. πῶς δῆτα λέγω λόγον ἄῤῥητον;
θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσει.
μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη.
τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός.
ΧΟ. οἵαν ἐδήλωσας ἀνδρὸς στροφή.
αἴθοπος ἀγγελίαν
ἄτλατον, οὐδὲ φευκτὰν,
τῶν μεγάλων Δαναῶν
ὑποκληζομέναν,

210. Τελλεύταντος. Sic recte membr. et E. Vulgo Τελεύταντος metro ruente.

211. δουριάλωτον. Sic ad metri rationem scriptum oportuit. Perperam in libris δοριάλωτον. Infra, 894. δουρίληπτος.

212. ἀνέχει. gl. τιμᾷ. Sic apud Euripidem in Hecuba, 119. Τῆς μαντιπόλου βάκχης ἀνέχων λέκτρ' Ἀγαμέμνων. et in forma media Alcest. 311. Τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων.

213. ὑπείποις. gl. εἴποις. Scilicet vacat hic præpositio, quæ vim suam exserit in Comici Pluto, 997. ὑπεπούσης θ' ὅτι εἰς ἑσπέραν ἥξοιμι.

215. πάθος. Sic Aldus et præstantiores codd. Triclinius, nescio quo prolubio, βάρος invexit.

222. αἴθοπος. Sic membr. E. T. metro adstipulante. Perperam Aldus αἴθωνος.

225. ὑποκληζομέναν. Sic conjunctim scriptum in membr. et plerisque aliis codd. In D. divisim ὕπο κλεϊζομέναν. Præstat prior ratio. Verba composita casus adsciscunt, quos regunt præpositiones, quicum composita sunt. Æschylus Prom. 66. τῶν ὑπερσέθεν πόνων. Euripid. Hippol. 261. ὡς κἀγὼ τῆσδ' ὑπεραλγῶ. Med. 105.

τὰν ὁ μέγας μῦθος ἀέξει;
οἴ μοι, φοβοῦμαι τὸ προσέρπον.
περίφαντος ἀνὴρ
θανεῖται παραπλήκτῳ
χερὶ, συγκατακτὰς
κελαινοῖς ξίφεσιν βοτὰ,
καὶ βοτῆρας ἱππονόμους.

ΤΕ. ὤ μοι· κεῖθεν, κεῖθεν ἄρ' ἡμῖν
δεσμῶτιν ἄγων ἤλυθε ποίμναν·
ὧν τὰ μὲν εἴσω σφάζ' ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν δίχ' ἀνερρήγνυ.
δύο δ' ἀργίποδας κριοὺς ἀνελὼν,
τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥιπτεῖ θερίσας· τὸν δ' ὀρθὸν ἄνω
κίονι δήσας,
μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν,
παίει λιγυρᾷ μάστιγι διπλῇ,
κακὰ δεννάζων ῥήμαθ', ἃ δαίμων,
κοὐδεὶς ἀνδρῶν, ἐδίδαξεν.

ΧΟ. ὥρα τιν' ἤδη κάρα κα- ἀντιστρ.

δῆλον δ' ἀρχῆς ἐξαιρόμενον νέφος οἰμωγῆς. Hec. 208. λαιμοτόμητόν τ' Ἀΐδα γᾶς ὑποπεμπομέναν σκότον. Comicus Thesm. 186. ἐὰν γὰρ ὑπεραποκρίνῃ μου σαφῶς, σώσεις ἐμέ.

233. ὤ μοι· κεῖθεν, κεῖθεν ἄρ' ἡμῖν. Sic optime Aldus cum præstantioribus codd. Absonum est in Triclinii recensione ἐκεῖθεν ἐκεῖθεν. Quo magis solutis pedibus incedit versus anapæsticus, eo concinnior est. Maxime vero dipodiæ per cæsuram non miscentur, nisi cum insigni venustatis detrimento.

235. ὧν τὰ μὲν εἴσω---τὰ δὲ---Aldus et veteres codd. perperam ὧν τὴν μὲν ἔσω---τὰς δὲ—

245. τινὰ indefinitum hic tantumdem valet ac με, ut quum Mnesilochus apud Comicum in Thesmoph. 603. ait: ποῖ τις τρέψεται; id est ποῖ τρέψομαι. Eodem redit Scholiastæ et Eustathii explicatio, cujus hæc verba sunt ad Il. β'. p. 237. Ὅτι δὲ τὸ τινὰ καὶ ὅλως τὸ τις ἔστιν ὅτε τῇ κατ' αὐτὸ ἀοριστίᾳ ἰσοδυναμεῖ πρὸς τὸ ἕκαστος, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ Ὥρα τιν' ἤδη ΚΡΑΤΑ καλύμμασι κρυψάμενον, καὶ ἑξῆς. δηλοῖ γὰρ ὡς καιρός ἐστιν ἕκαστον τὸν Σαλαμινίων λαθόντα φυγεῖν. Idem ad Odyss. p. 1464. Ἰστέον δὲ ὅτι τὸ τις πολλάκις οὐχ ἕνα δηλοῖ ἁπλῶς, ἀλλὰ πάντας, ληφθὲν ἀντὶ τοῦ εἷς ἕκαστος. οὕτως παρὰ Σοφοκλεῖ λέγουσιν

λύμμασι κρυψάμενον,
ποδοῖν κλοπὰν ἀρέσθαι,
ἢ θοὸν εἰρεσίας
ζυγὸν ἑζόμενον,
ποντοπόρῳ ναῒ μεθεῖναι.
τοίας ἐρέσσουσιν ἀπειλὰς
δικρατεῖς Ἀτρεῖδαι
καθ᾽ ἡμῶν· πεφόβημαι
λιθόλευστον ἄρη
ξυναλγεῖν μετὰ τοῦδε τυ-
πείς, τὸν αἶσ᾽ ἄπλατος ἔχει.

ΤΕ. οὐκ ἔτι. λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς
ἄξας ὀξὺς νότος ὣς, λήγει.
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

ΧΟ. ἀλλ᾽ εἰ πέπαυται, κάρτ᾽ ἂν εὐτυχεῖν δοκῶ·
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.

ΤΕ. πότερα δ᾽ ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,

ὁ χορὸς, οἱ Σαλαμίνιοι, ὡς νῦν καιρός τινι ποδοῖν κλοπὰν ἀρέσθαι. ἤγουν ἄρτι καιρὸς ἡμῖν φυγεῖν λάθρα. Ut apud Eustathium, sic in membr. aliisque codd. quibusdam et Aldina editione. κρᾶτα legitur, non κάρα, quod tamen, ut metro magis congruum, præferri debet.

248. θοὸν εἰρεσίας ζυγόν. Eustathius p. 828. θοὸς ζυγὸς εἰρεσίας παρὰ Σοφοκλεῖ, ὁ μὴ αὐτὸς ὢν ταχὺς, ἀλλ᾽ αἴτιος τοῦ ἐπιταχύνεσθαι νῆα κωπηλάταις. Sive hypallage est nominis adjectivi pro adverbio θοῶς, qualis observata fuit in Antig. 974.

254. ἄρη. Sic membr. cum duobus aliis. Ceteri, ut Aldus, ἄρην.

257. ἄτερ στεροπᾶς. Sententia est perspicua: λήγει τῆς μανίας, ὡς νότος ὀξὺς, id est ὀξέως λήγει, ὅστις ἦξεν ἄτερ λαμπρᾶς στεροπᾶς. Non video cur tantopere Heathius probarit popularis sui conjecturam ἄτ᾽ ἐκ στεροπᾶς, quæ sensum prorsus pessum dat.

259. φρόνιμος. Aldus et codd. nonnulli φρόνιμον. Similem sententiam ex Euripidis Antiopa servavit Stobæus Floril. Grotii, p. 417. Φρονῶ δ᾽ ἃ πάσχω, καὶ τόδ᾽ οὐ σμικρὸν κακόν. Τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ Νοσοῦντα. κέρδος δ᾽ ἐν κακοῖς ἀγνωσία. Confer eundem Bacchis 1249. et Hippol. 248.

φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;
ΧΟ. τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
ΤΕ. ἡμεῖς ἄρ' οὐ νοσοῦντες ἀτώμεσθα νῦν.
ΧΟ. πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.
ΤΕ. ἀνὴρ ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ', ὡς ἔληξε, κἀνέπνευσε τῆς νόσου,
κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ,
ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος.
ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;
ΧΟ. ξύμφημι δή σοι, καὶ δέδοικα μὴ 'κ θεοῦ
πληγή τις ἥκοι. πῶς γάρ, εἰ πεπαυμένος
μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;
ΤΕ. ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή.
ΧΟ. τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτετο;
δήλωσον ἡμῖν, τοῖς ξυναλγοῦσιν τύχας.
ΤΕ. ἅπαν μαθήσει τοὔργον, ὡς κοινωνὸς ὤν.
κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ' ἕσπεροι
λαμπτῆρες οὐκ ἔτ' ᾖθον, ἄμφηκες λαβὼν
ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κενάς.
κἀγὼ 'πιπλήσσω, καὶ λέγω· Τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ' ἄκλητος, οὔθ' ὑπ' ἀγγέλων
κληθεὶς, ἐφορμᾷς πεῖραν, οὔτε του κλύων
σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.---
ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα·

282. προσέπτετο. Aldus et codd. προσέπτατο, adstipulante etiam Eustathio, cujus locum proferam infra ad v. 693. ἐπτάμην non magis Atticis usitatum quam εὑράμην, ἠράμην.

289. Αἴας, ut supra, 89. Perperam in membr. Αἶαν.

290. ἐφορμᾷς. Id est τί ὁρμᾷς ἐπὶ τήνδε πεῖραν; Aldus et membr. ἀφορμᾷς, quod in D. etiam alteri superscriptum, apposita glossa, ἐξορμᾷς. At istam expositionem scholion in margine damnat: ἀναχωρεῖς μᾶλλον. τὸ γὰρ ἐξορμῶ ἐπὶ ἑτέρου λέγεται, οἷον ἐξορμῶ τὸν δεῖνα.

ΓΥΝΑΙ, ΓΥΝΑΙΞΙ ΚΟΣΜΟΝ Η ΣΙΓΗ ΦΕΡΕΙ.

κἀγὼ μαθοῦσ' ἔληξ'· ὁ δ' ἐσσύθη μόνος.
καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν πάθας.
ἔσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔκερών τ' ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε· τοὺς δ' ἄνω τρέπων
ἔσφαζε, κἀῤῥάχιζε· τοὺς δὲ δεσμίους
ᾐκίζεθ', ὥστε φῶτας, ἐν ποίμναις πιτνῶν.
τέλος δ' ὑπᾴξας διὰ θυρῶν, σκιᾷ τινὶ
λόγους ἀνέσπα, τοὺς μὲν Ἀτρειδῶν κάτα,
τοὺς δ' ἀμφ' Ὀδυσσεῖ, ξυντιθεὶς γέλων πολὺν,
ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσαιτ' ἰών·
κἄπειτ' ἐπᾴξας αὖθις ἐς δόμους πάλιν,
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται.
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα 'θώϋξεν· ἐν δ' ἐρειπίοις
νεκρῶν ἐρειφθεὶς ἕζετ' ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον·
ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη,
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος,
κἀνήρετ' ἐν τῷ πράγματος κυρεῖ ποτέ.

293. Plautus Rudente, iv. 4. 70. Tacita bona 'st mulier semper, quam loquens.

295. πάθας. Sic Aldus et probatissimi codd. Triclinio placuit τυχάς.

301. ὑπᾴξας. Sic optime membr. et duo alii codd. Aldus ὑπαΐξας, quod temere huc retractum e quarto subsequente versu.

313. φανοίην. Sic optime scriptum in E. quod vel absque eo quivis reponere debuit. Nam quod vulgo legitur φανείην, manifesto mendosum est. φανείην aoristus est optativi passivi: φανοίην aoristus optativi activi, pro φάνοιμι, forma Attica in inflexis solemni, in barytonis etiam non sine exemplo. Sic enim Noster in Œdipo priore, 840. ἐκπεφευγοίην adhibet pro ἐκπεφεύγοιμι. De hoc metaplasmo vide Eustathium ad Il. α'. p. 58. Contrario errore in Luciani Prometheo, p. 35. φανοίην legebatur pro φανείην, quod restituit Hemsterhusius. In D. scriptum φανείη cum duplici glossa δειχθείη, δείξαιμι. Posterior ad nostram lectionem refertur.

κἀγὼ, φίλοι, δείσασα, τοὐξειργασμένον
ἔλεξα πᾶν, ὅσονπερ ἐξηπιστάμην.
ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγρὰς,
ἃς οὔ ποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν.
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων
ὑπεστέναζε, ταῦρος ὣς, βρυχώμενος.
νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ
ἄσιτος ὡνὴρ, ἄποτος, ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν ἥσυχος θακεῖ πεσών.
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.
ἀλλ', ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐστάλην,
ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.

**ΧΟ.** Τέκμησσα, δεινὰ, παῖ Τελεύταντος, λέγεις
ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

**ΑΙ.** ἰώ μοι μοι.

**ΤΕ.** τάχ', ὡς ἔοικε, μᾶλλον. ἢ οὐκ ἠκούσατε
Αἴαντος, οἵαν τήνδε θωΰσσει βοήν;

**ΑΙ.** ἰώ μοι μοι.

**ΧΟ.** ὡνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

**ΑΙ.** ἰὼ παῖ, παῖ.

322. βρυχώμενος. Sic Aldus et codd. omnes veteres, ut laudat Eustathius ad Il. σ'. p. 1145. In solo D. huic suprascriptum μυκώμενος, quod Triclinius prætulit.

324. ἄσιτος ὡνήρ. Perperam in libris ἀνήρ.

330. νικῶνται λόγοις. Sic recte apud Stobæum legitur Floril. Grotii, p. 496. Tragici exemplarium quæ exstant inepta lectio est νικῶνται φίλοι.

332. διαπεφοιβάσθαι. E Scholiastæ expositione colligit Valckenarius lectitatum olim fuisse διαπεφοιτάσθαι. Vide Animadv. ad Ammonium, p. 149.

337. ὡνήρ. Perperam in libris ἀνὴρ, quem errorem correximus etiam septimo abhinc versu.

ΤΕ. ὤ μοι τάλαιν'. Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.
ΑΙ. Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.
ΧΟ. ὡνὴρ φρονεῖν ἔοικεν. ἀλλ' ἀνοίγετε.
τάχ' ἄν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.
ΤΕ. ἰδοὺ διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.
ΑΙ. ἰὼ φίλοι ναυβάται, στροφὴ α'.
μόνοι ἐμῶν φίλων, μόνοι τ'
ἐμμένοντες ὀρθῷ νόμῳ,
ἴδεσθέ μ' οἷον ἄρτι κῦμα
φοινίας ὑπὸ ζάλης
ἀμφίδρομον κυκλεῖται.
ΧΟ. οἴ μ', ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.
δηλοῖ δὲ τοὖργον ὡς ἀφροντίστως ἔχει.
ΑΙ. ἰὼ γένος ναΐας ἀντιστρ. α'.
ἀρωγὸν τέχνας, ἁλίαν
ὃς ἐπέβας ἑλίσσων πλάταν,
σέ τοι, σέ τοι μόνον δέδορκα
ποιμένων ἐπαρκέσοντ'·
ἀλλά με συνδάϊξον.
ΧΟ. εὔφημα φώνει. μὴ, κακὸν κακῷ διδοὺς
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.
ΑΙ. ὁρᾷς τὸν θρασὺν, τὸν εὐκάρδιον, στροφὴ β'.
τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
οἴ μοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.
ΤΕ. μὴ, δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε.
ΑΙ. οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμεῖ πόδα;
αἶ αἶ αἶ αἶ.

346. Scholion emendavimus, ubi perperam legebatur ἐνταῦθα ἐγκύκλωμά τι γίγνεται. Vide quæ notavimus ad Comici Thesmoph. 96.

ΧΟ. ὦ πρὸς θεῶν, ὕπεικε, καὶ φρόνησον εὖ.
ΑΙ. ὢ δύσμορος, ὃς χερσὶ μὲν — στροφὴ γ'.
μεθῆκα τοὺς ἀλάστορας,
ἐν δ' ἑλίκεσσι βουσὶ καὶ
κλυτοῖς πεσὼν αἰπολίοις,
ἐρεμνὸν αἷμ' ἔδευσα.
ΧΟ. τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.
ΑΙ. ἰὼ πάνθ' ὁρῶν, ἁπάντων ἀεὶ — ἀντιστρ. β'.
κακῶν ὄργανον, τέκνον Λαρτίου,
κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
ΧΟ. ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται.
ΑΙ. ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.
ἰώ μοι μοι.
ΧΟ. μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;
ΑΙ. ὦ Ζεῦ, προγόνων προπάτωρ, — ἀντιστρ. γ'.
πῶς ἂν τὸν αἱμυλώτατον,
ἐχθρὸν ἄλημα, τούς τε δισ-

372. χερσὶ μὲν— Sic Aldus et præstantissimi codd. Gl. ὄντας, id est ἐν χερσὶν ὄντας τοὺς ἀλάστορας μεθῆκα. Ex Triclinii interpolatione legitur ὃς χεροῖν μεθῆκα.

375. Scholiastam carpit Heathius κλυτὰ censentem αἰπόλια appellari διὰ τὰς ἐν αὐτοῖς ταραχὰς καὶ φωνάς. Quam explicationem quia ipse non probat, nec aliam hujus appellationis meliorem afferri posse opinatur, scribi debuisse existimat 'κλύτοις pro ἐκλύτοις. Homerum percunctetur cur Cyclopis oves κλυτὰ μῆλα appellarit, Odyss. i. 308. Καὶ τότε πῦρ ἀνέκαιε, καὶ ἤμελγε κλυτὰ μῆλα.

376. ἔδευσα. gl. ἔχεα.

379. πάνθ' ὁρῶν. Eustathius p. 415. Σημείωσαι δὲ καὶ ὅτι τὸ πάντ' ἐφορᾷν, διαφέρειν δοκεῖ ποτε τοῦ πάντα ὁρᾷν. ἥλιος μὲν γὰρ ἀψόγως πάντ' ἐφορᾷ· ὁ δὲ παρὰ Σοφοκλεῖ 'Οδυσσεὺς, ὡς πάντων ἀεὶ κακῶν ὄργανον, ἐπιψόγως πάνθ' ὁρᾷν λέγεται. καὶ εἴη ἂν οὕτως ἀλάστωρ, ἐπείπερ οὐκ ἄν τι διαλάθοι τὸν οὕτω περιέργως πάνθ' ὁρῶντα. In plerisque libris sequitur ἁπάντων τ' ἀεί. Longe melius unus e nostris copulam omittit.

381. ἄλημα hic et paulo infra positum pro ἀλήτης, res pro persona. Vide ad Antig. 756.

388. πῶς ἂν, *utinam*, qua significatione his particulis utuntur sæpissime Tragici. Vide Marklandum ad Supplices 796. Hoc nisi ignorasset Heathii popularis, in mentem ei non venisset legi debere ὡς ἄν.

σάρχας ὀλέσσας βασιλεῖς,
τέλος θάνοιμι καὐτός.

ΤΕ. ὅταν κατεύχῃ ταῦθ', ὁμοῦ κἀμοὶ θανεῖν
εὔχου. τί γὰρ δεῖ ζῆν με, σοῦ τεθνηκότος;

ΑΙ. ἰὼ σκότος, ἐμὸν φάος, στροφὴ γ΄.
ἔρεβος ὦ φαεννότατον, ὡς ἐμοί,
ἕλεσθέ μ', ἕλεσθ' οἰκήτορα,
ἕλεσθέ μ'. οὔτε γὰρ θεῶν
γένος, οὔθ' ἁμερίων
ἔτ' ἄξιος βλέπειν, τιν' εἰς
ὄνασιν ἀνθρώπων.
ἀλλά μ' ἁ Διὸς ἀλκίμα θεὸς
ὀλέθριον αἰκίζει.
ποῖ τις οὖν φύγῃ;
ποῖ μολὼν μενῶ;
εἰ τὰ μὲν φθίνει, φίλοι,
τοῖσδ' ὁμοῦ πέλας,
μωραῖς δ' ἄγραις προσκείμεθα,
πᾶς δὲ στρατὸς δίπαλτος ἄν με
χειρὶ φονεύοι.

ΤΕ. ὦ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον
φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν;

ΑΙ. ἰὼ πόροι ἁλίρροθοι, ἀντιστρ. γ΄.
πάραλά τ' ἄντρα, καὶ νέμος ἐπάκτιον,
πολύν με, πολὺν, δαρόν τε δὴ

390. βασιλεῖς. Sic bene Aldus et codd. omnes antiqui, quod Gregorii in libello de Dialectis canonem confirmat. Triclinius dedit βασιλῆς. Vide Lexicon in ΗΣ.

396. ἕλεσθέ μ', ἕλεσθ' οἰκήτορα. Sic emendate in D. Perperam Aldus et alii codd. pronomen geminant contra metricam rationem.

403. ποῖ τις οὖν φύγῃ. Sic Aldus et veteres codd. Solœce Triclinius φύγοι. Vide quæ notavimus ad Comici Plutum 438.

406. τοῖσδε. gl. τοῖς βοσκήμασι.

412. ἰώ. Omissa hæc vocula in veteribus codd. et in Aldina.

414. πολύν με, πολύν. Sic dispositis vocibus metra examussim congruunt. Perverse Aldus et veteres codices πολὺν, πολύν με - -

κατεῖχετ' ἀμφὶ Τροίαν
χρόνον· ἀλλ' οὐκ ἔτε μ', οὐκ
ἔτ' ἀμπνοὰς ἔχοντα. τοῦ-
τό τις φρονῶν ἴστω.
ὦ Σκαμάνδριοι γείτονες ῥοαὶ
εὔφρονες Ἀργείοις,
οὐκ ἔτ' ἄνδρα μὴ
τόνδ' ἴδητ', ἔπος
ἐξερέω μέγ', οἷον οὔ
τινα Τροία στρατοῦ
δέρχθη χθονὸς μολόντ' ἀπὸ
Ἑλλανίδος· τανῦν δ' ἄτιμος
ὧδε πρόκειμαι.

ΧΟ. οὔ τοι σ' ἀπείργειν, οὐθ' ὅπως ἐῶ λέγειν
ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.

ΑΙ. αἶ αἶ· τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ
καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω·
ὅτου πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς
τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ,
πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
ἐγὼ δ' ὁ κείνου παῖς, τὸν αὐτὸν ἐς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
καίτοι τοσοῦτόν γ' ἐξεπίστασθαι δοκῶ·

419. Σκαμάνδριοι. In Aldina operarum errore Σκαμάνδροιο, et altero abhinc versu ἄνδρα μι, pro μή.

430. αἶ, αἶ. Ludicrum est et tragœdiæ gravitate alienum, malis aliquem oppressum e vocum simili sono et tam frigida etymologia conquerendi argumentum sumere. Hujusmodi lusibus mire indulsit Euripides, quibus adeo Noster temperavit, ut in ejus reliquiis vix aliud præter hoc exemplum reperiatur.

435. Observa verbum ἀριστεύειν, neutrum transitive hic adhibitum.

εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι
κρίνειν ἔμελλε κράτος ἀριστείας τινὶ,
οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ.
νῦν δ' αὔτ' Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας
ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη.
κεἰ μὴ τόδ' ὄμμα καὶ φρένες διάστροφοι
γνώμης ἀπῆξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.
νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάμαστος θεὰ
ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπεντείνοντ' ἐμὴν
ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον,
ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς·
κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,
ἐμοῦ μὲν οὐχ ἑκόντος. εἰ δέ τις θεῶν
βλάπτοι, φύγοι γ' ἂν χὠ κακὸς τὸν κρείσσονα.
καὶ νῦν τί χρὴ δρᾶν; ὅστις ἐμφανῶς θεοῖς
ἐχθαίρομαι· μισεῖ δέ μ' Ἑλλήνων στρατός·
ἔχθει δὲ Τροία πᾶσα, καὶ πεδία τάδε.
πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας
μόνους τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν

448. ἀπῆξαν, ab ἀπάσσω, non ab ἀπάγω, unde si esset, verisimile est scripturum fuisse poëtam γνώμης μ' ἀπῆξαν τῆς ἐμῆς. Aldus tamen et veteres codd. habent ἀπῆξαν, quod ambiguum non est, quum librariis mos constans fuerit ἀπαΐσσω, ἀπήϊξαν scribendi. In D. alia lectio est ἀπεῖρξαν, cum glossa ἀπήγαγον, ἐκώλυσαν. Harum interpretationum prior ad ἀπῆξαν pertinet.

451. χεῖρ' ἐπεντείνοντ' ἐμήν. Sic liquido scriptum in E. cum glossa ἐπεμβαλόντα. Et hoc etiam præfert codex Triclinii recensionem exhibens, tametsi Turnebus Aldi lectionem retinuit ἐπευτύνοντ', quæ manifesto vitiosa est. Conjecerat Valckenarius ἐπευθύνοντ', quod et ipsum alienum est.

456. βλάπτοι. gl. ἐμποδίζοι. Eustath. ad Odyss. α'. p. 1410. Βλάπτειν, κυρίως τὸ ἐμποδίζειν τὸν τρέχοντα, καὶ οἱονεὶ βάλλειν, ὅ ἐστι ῥίπτειν καὶ οὕτως ἰάπτειν· ἐξ ὧν δοκεῖ τὸ βλάπτειν συγκεῖσθαι. καὶ ἔστιν ὅμοιον βλάπτειν, εἰπεῖν καὶ σφάλλειν. καὶ Ὅμηρος οὖν οὐχ ἁπλῶς εἶπε βλάπτειν, ἀλλὰ βλάπτουσι κελεύθου, ἤτοι ἐμποδὼν γίνονται εἰς ὁδόν.

γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;
οὐκ ἔστι τοὔργον τλητόν. ἀλλὰ δῆτ' ἰὼν
πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις,
καὶ δρῶν τι χρηστὸν εἶτα λοίσθιον θανῶ;
ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράναιμί που.
οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
τοιάδ', ἀφ' ἧς γέροντι δηλώσω πατρὶ,
μή τοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.
αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει
προσθεῖσα, κἀνεθεῖσα τοῦ γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται·
ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.
ΧΟ. οὐδεὶς ἐρεῖ ποθ', ὡς ὑπόβλητον λόγον,

469. εὐφράναιμι. Sic membr. codicesque alii omnes et Turnebus. In Aldina εὐφράνοιμι, quod Stephanus revocavit.

470. πεῖρα. gl. μεταχείρησις.

471. δηλώσω—μὴ γεγώς. Nihil magis obvium hoc idiotismo, quo participium ponitur pro infinitivo. δείξω πεποιηκὼς, pro δείξω πεποιηκέναι. Imitantur veteres Latini. Plautus Asinaria, iii. 3. Argenti viginti minæ me modo ad mortem appulerunt, Quas hodie adulescens Diabolus ipsi daturus dixit.

476. κἀνεθεῖσα. Sic membr. pro varia lectione. In serie versus scriptum κἀναθεῖσα, ut ceteri omnes habent libri tam scripti quam impressi. Glossæ: ΠΡΟΣΘΕΙΣΑ. ἑαυτὴν δηλαδή. παρατιθεῖσα, προσθήκην ποιήσασα. ΚΑΝΑΘΕΙΣΑ. ἀναβολὴν ποιήσασα καὶ ἀνάθεσιν, ἀνατιθεῖσα, ὑπέρθεσιν ποιοῦσα. Hoc quidem sensu probum est ἀναθεῖσα, sed quin locum tueatur obstat constructionis ratio: oporteret enim τό γε κατθανεῖν, quod metrum non admittit. Optimam interpretationem e codice protulimus: τί γὰρ ἔχει ἡμέρα τέρπειν, προσθεῖσα, ἑαυτὴν δηλονότι, ἐπὶ ἤματι, καὶ ἀνεθεῖσα τοῦ κατθανεῖν, ἤγουν ἀπολυθεῖσα καὶ ἐλευθερωθεῖσα τοῦ θανάτου;

481. ὑπόβλητον λόγον. Eustath. p. 106. ὑποβάλλειν λέγεται, τὸ νόθα ταῖς ὠδινούσαις ὑποτιθέναι βρέφη, ἃ καὶ ὑποβολιμαῖα διὰ τοῦτο λέγονται. ὅθεν καὶ Σοφοκλῆς ὑποβολιμαίους εἶπε λόγους, τοὺς μὴ γνησίους τῆς σώφρονος διανοίας, ἀλλὰ νόθους. Vide Œd. Col. 794.

Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
παῦσαί γε μέν τοι, καὶ δὸς ἀνδράσιν φίλοις
γνώμης κρατῆσαι, τάσδε φροντίδας μεθείς.
ΤΕ. ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης
οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.
* ἔγωγ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς,
εἴπερ τινὸς, σθένοντος ἐν πλούτῳ, Φρυγῶν·
νῦν δ' εἰμὶ δούλη. θεοῖς γὰρ ὧδ' ἔδοξέ που,
καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν, ἐπεὶ
τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σὰ,
καί σ' ἀντιάζω πρός τ' ἐφεστίου Διὸς,
εὐνῆς τε τῆς σῆς, ἧς ξυνηλλάχθης ἐμοὶ,
μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
τῶν σῶν ὑπ' ἐχθρῶν, χειρίαν ἀφείς τινί.
ἣν γὰρ θάνῃς σὺ, καὶ τελευτήσας μ' ἀφῇς,
ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ,
βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο,
ξὺν παιδὶ τῷ σῷ δουλίαν ἕξειν τροφήν.
καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ,
λόγοις ἰάπτων· Ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
οἵας λατρείας ἀνθ' ὅσου ζήλου τρέφει. - - -
τοιαῦτ' ἐρεῖ τις. κἀμὲ μὲν δαίμων ἐλᾷ,

* ἐγὼ δ' edd. 1. 2.

485. ἀναγκαία τύχη, captivitas. Eustathius ad Il. π'. p. 1089. ἦμαρ δὲ ἀναγκαῖον, τὸ τῆς ἁλώσεως καὶ δουλώσεως, ἐν ᾧ τις ἀνάγκην πάσχει. ὅθεν καὶ παρὰ Σοφοκλεῖ ἀναγκαία τύχη, ἡ δουλικὴ, καθ' ἣν οὐ ζῇ τις ὡς βούλεται, ἀλλὰ δουλικῶς. διὸ καὶ ἀντετέθη τὸ ἐλεύθερον ἦμαρ, καὶ τὸ ἦμαρ ἀναγκαῖον.

493. ἧς ξυνηλλάχθης. Sic membr. et duo alii codd. Aldus ᾗ. Attici relativum articulum construunt casu substantivi quo refertur, non eo quem regit adjunctum verbum. Exempla passim obvia. Isæus in oratione περὶ τοῦ Κλεωνύμου κλήρου, p. 11. edit. Reiskii : τοῖς μὲν γὰρ ἄλλοις κἀκείνων, ΩΝ ἂν ὀργισθέντες τοὺς οἰκείους ἀδικήσωσιν, ὕστερον μεταμέλει. ubi ὧν ex Atticorum usu est pro οἷς. Vide quæ notavimus ad Comici Thesmoph. 835.

496. τελευτήσας μ' ἀφῇς. Insertum pronomen in omnibus libris perperam omissum.

504. ἐλᾷ futurum est Attica forma,

σοὶ δ᾽ αἰσχρὰ τἄπη ταῦτα, καὶ τῷ σῷ γένει.
ἀλλ᾽ αἴδεσαι μὲν πατέρα τὸν σὸν ἐν λυγρῷ
γήρᾳ προλείπων· αἴδεσαι δὲ μητέρα
πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν.
οἴκτειρε δ᾽, ὦ ᾽ναξ, παῖδα τὸν σὸν, εἰ νέας
τροφῆς στερηθεὶς, σοῦ διοίσεται μόνος
ὑπ᾽ ὀρφανιστῶν μὴ φίλων. ὅσον κακὸν
κείνῳ τε κἀμοὶ τοῦθ᾽, ὅταν θάνῃς, νεμεῖς.
ἐμοὶ γὰρ οὐκ ἔτ᾽ ἐστὶν εἰς ὅ τι βλέπω,
πλὴν σοῦ. σὺ γάρ μοι πατρίδ᾽ ἤστωσας δορὶ,
καὶ μητέρ᾽· ἀλλ᾽ ἡ μοῖρα τὸν φύσαντά με
καθεῖλεν Ἅιδου θανασίμους οἰκήτορας.
τίς δῆτ᾽ ἐμοὶ γένοιτ᾽ ἂν ἀντὶ σοῦ πατρίς;
τίς πλοῦτος; ἐν σοὶ πᾶσ᾽ ἔγωγε σώζομαι.
ἀλλ᾽ ἴσχε κἀμοῦ μνῆστιν. ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τι που πάθοι.
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ᾽ ἀεί·
ὅτου δ᾽ ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτό ποθ᾽ οὗτος εὐγενὴς ἀνήρ.

ΧΟ. Αἴας, ἔχειν σ᾽ ἂν οἶκτον, ὡς κἀγὼ, φρενὶ
θέλοιμ᾽ ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ᾽ ἔπη.

ΑΙ. καὶ κάρτ᾽ ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.

ΤΕ. ἀλλ᾽, ὦ φίλ᾽ Αἴας, πάντ᾽ ἔγωγε πείσομαι.

ΑΙ. κόμιζέ νυν μοι παῖδα τὸν ἐμὸν, ὡς ἴδω.

ΤΕ. καὶ μὴν φόβοισί γ᾽ αὐτὸν ἐξελυσάμην.

ΑΙ. ἐν τοῖσδε τοῖς κακοῖσιν; ἢ τί μοι λέγεις;

ΤΕ. μή σοί γέ που δύστηνος ἀντήσας θάνοι.

ut infra, 756. Œd. T. 418. Eurip. Androm. 710.

515. *μοι πατρίδ᾽*. Sic Aldus et codd. veteres. Triclinius *μου* dedit invenuste.

517. *Ἅιδου οἰκήτορας*. Supplenda præpositio *εἰς*, quæ supprimi solet. Pronum erat scribere *καθεῖλ᾽ ἐς Ἅιδου*.

531. *φόβοισι, propter metum.* Vide ad Antig. 1219.

ΑΙ. πρέπον γέ τ' ἦν ἂν δαίμονος τοῦ 'μοῦ τόδε.
ΤΕ. ἀλλ' οὖν ἐγὼ 'φύλαξα, τοῦτό γ' ἀρκέσαι.
ΑΙ. ἐπῄνεσ' ἔργον, καὶ πρόνοιαν ἣν ἔθου.
ΤΕ. τί δῆτα δρῶσ' ἐκ τῶνδ' ἂν ὠφέλοιμί σε;
ΑΙ. δός μοι προσειπεῖν αὐτὸν, ἐμφανῆ τ' ἰδεῖν.
ΤΕ. καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.
ΑΙ. τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;
ΤΕ. ὦ παῖ, πατήρ καλεῖ σε. δεῦρο προσπόλων
ἄγ' αὐτὸν, ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
ΑΙ. ἕρποντι φωνεῖς, ἢ λελειμμένῳ λόγου;
ΤΕ. καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.
ΑΙ. αἶρ' αὐτὸν, αἶρε δεῦρο. ταρβήσει γὰρ οὒ,
νεοσφαγῆ που τόνδε προσλεύσσων φόνον,
εἴπερ δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν.
ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
δεῖ πωλοδαμνεῖν, κἀξομοιοῦσθαι φύσιν.
ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.
καί τοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
ὅθ' οὕνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν.
ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος,
ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.

537. *τί δῆτα δρῶσ' ἐκ τῶνδ' ἂν ὠφέλοιμί σε;* Aldus et codd. hunc versum sic depravatum exhibent: *Τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφέλοιμί σε;* Scabra est lectio, in qua non satis apparet quid sibi velit *ὡς*, et invenuste geminatur *ἄν*. Tragici manum certa et elegantissima conjectura restituit Ericus Hubertus van Eldik. Euripid. Iphig. A. 1463. *Ἔσθ' ὅ τι κατ' Ἄργος δρῶσά σοι χάριν φέρω.* In Heathii lectionibus *ὡς ἐκ τῶνδε* perperam exponitur, *ut res nunc se habent*. Aliquanto melius glossæ in codd. nostris, *κατὰ τὰ μετὰ ταῦτα*. Pravum *ὡς* omnes perinde frustra habuit. *ἐκ τῶνδε* pro *postea, dehinc* frequentat Sophocles, quod ad Œd. T. 235. jam fuit observatum.

546. *νεοσφαγῆ που τόνδε.* Sic Aldus et plerique codd. veteres. In quibusdam *νεοσφαγῆ τοῦτόν γε.*

554. Post hunc versum codd. et impressi istum exhibent; qui forte olim margini adscriptus, ab indocto librario in textum illatus fuit: *Τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν.* Qui hanc sententiam excerpsit Stobæus Floril. Grotii, p. 335. addititium illum versum non agnoscit. Vide Valckenarium ad Hippol. 247.

*ὅταν δ' ἵκῃ πρὸς τοῦτο, δεῖ σ' ὅπως πατρὸς*
*δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης.*
*τέως δὲ κούφοις πνεύμασιν βόσκου, νέαν*
*ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.*
*οὔ τοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσει*
*στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ' ἐμοῦ.*
*τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι*
*λείψω, τροφῆς ἄοκνον ἔμπακ', εἰ τανῦν*
*τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.*
*ἀλλ' ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,*
*ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν,*
*κείνῳ τ' ἐμὴν ἀγγείλατ' ἐντολήν, ὅπως*
*τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων*
*Τελαμῶνι δείξει, μητρί τ', Ἐριβοίᾳ λέγω,*
*ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεί,*
*μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.*
*καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς*
*θήσουσ' Ἀχαιοῖς, μήθ' ὁ λυμεὼν ἐμός.*
*ἀλλ' αὐτό μοι σὺ παῖ λαβὼν, ἐπώνυμον,*
*Εὐρύσακες, ἴσχε, διὰ πολυῤῥάφου στρέφων*
*πόρπακος, ἑπτάβοιον ἄῤῥηκτον σάκος·*

557. *ὅπως δείξεις.* Sic emendate membr. et plerique alii codd. etiam ille qui Triclinii recensionem exhibet. In membr. apposita observatio: *τὸ ὅπως ἐπὶ παραγγελίας κείμενον, οὐδέποτε κατὰ τοὺς Ἀττικοὺς ὑποτάσσει. ἀντὶ γὰρ τοῦ πῶς κεῖται.* In impressis exstat *δείξῃς*, quod plane solœcum ex mera purioris hellenismi ignorantia retinuit Turnebus. *ὅπως ut* finale significans cum subjunctivo recte construitur, at nunquam, quando, ut hîc, a suppresso verbo pendet. Vide quæ notavimus ad Comici Nubes 490. Dawesio, qui canonem hunc Græce loquendi adstruxit, stolide obloquitur Parisinus Professor, exempla excitans, quæ nihil ad rem faciunt. Quippe eorum nullum est in quo *ἵνα* vel *ὅπως* non positum sit pro *ut* finali.

560. *οὐ μή τις ὑβρίσει.* Sic E. et meus ex emendatione inter lineas: nam in contextu, ut ceteri, habent *ὑβρίσῃ*, quod plane solœcum est. Glossa *ἀτιμάσει* nostram lectionem spectat.

569. *Τελαμῶνι δείξει.* Sic membr. et E. bene. Quippe etiam quum *ut* finale significat, *ὅπως* cum futuro indicativi construere amant Attici. Vide Œd. T. 1518.

571. *μέχρις οὗ.* Sic codd. plerique et probatissimi cum Scholiasta. Alii *μέχρις ἂν*—

τὰ δ' ἄλλα τεύχη κοίν' ἐμοὶ τεθάψεται.
ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου,
καὶ δῶμα πάκτου. μηδ' ἐπισκήνους γόους
δάκρυε. κάρτα τοι φιλοίκτιστον γυνή.
πύκαζε θᾶσσον. οὐ πρὸς ἰατροῦ σοφοῦ
* θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.
**ΧΟ.** δέδοικ' ἀκούων τήνδε τὴν προθυμίαν.
οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.
**ΤΕ.** ὦ δέσποτ' Αἴας, τί ποτε δρασείεις φρενί;
**ΑΙ.** μὴ κρῖνε, μὴ 'ξέταζε. σωφρονεῖν καλόν.

* θροεῖν edd. 1. 2.

577. κοινὰ adverbialiter pro κοινῶς. gl. ὁμοῦ ἐμοὶ, ἤγουν σὺν ἐμοί.

579. καὶ δῶμα πάκτου. Haud infrequens librariorum error in distinguendis vocibus monstrum lectionis peperit, quod codices nostros omnes insidet, καὶ δῶμ' ἀπάκτου. Apposita in plerisque glossa ἄπαγε. Et hoc quidem plerique interpretes arbitrati sunt a vetere Scholiasta confirmari, quibus fraudi fuit scholiorum editio interpolata. Falsa derivatio verbi ἀπακτοῦν recentioris Græculi commentum est, scholiis antiquis insertum ab Ant. Fracino, qui Juntinam editionem curavit. Verbum istud ne Græcum quidem est. Eustathius plurimis in locis Sophocleam hanc excitat χρῆσιν, semperque laudat καὶ δῶμα πάκτου. Sic ille p. 742. Τὸ πακτοῦν, ὅ ἐστιν ἀσφαλίζεσθαι, οὗ χρῆσις παρά τε Σοφοκλεῖ ἐν τῷ Καὶ δῶμα πάκτου, ἤγουν σύγκλειε ἀσφαλῶς, καὶ παρὰ τῷ κωμικῷ ἐν τῷ (Vesp. 128.) Κἀπακτώσαμέν γε, ἤγουν καὶ ἐπακτώσαμεν. Vide eumdem p. 1532. l. 59. ubi Herodoti verba profert, quæ exstant lib. ii. p. 146. l. 7. ad quæ videndus omnino Valckenarius. Comicus in Lysistrata, 265. Μοχλοῖς δὲ καὶ κλήθροισι Τὰ προπύλαια πακτοῦν.

581. πρὸς ἰατροῦ. Non abundat πρὸς, quæ particula, quando τὸ καθῆκον, *officium* significat, cum genitivo construitur. Vide indicem nostrum in Aristophanem.—θρηνεῖν. Sic B. quod etiam membr. in contextu exhibent, superscripta varia lectione, γρ. θροεῖν. Hoc sequitur Suidas in ἐπῳδὸς, illud in θρηνεῖν. At θροεῖν ex glossemate ortum est. Quin θρηνεῖν scripserit Noster, dubitare non sinit Eustathius, qui duobus in locis lectionem hanc confirmat, quam demum restitui. Sic ille p. 648. Τὸ γοόωσα, καθὰ καὶ τὸ αὐτῆς θέμα, τὸ γοᾶσθαι ἐστι μὲν ἐξ ὀνοματοποιΐας, ἀφ' ἧς καὶ ὁ γοός· παράγει δὲ καὶ τὸν παρὰ τοῖς ὕστερον γόητα, εἰπεῖν δὲ ταυτὸν, θρηνώδη ἐπαοιδὸν, καθὰ Σοφοκλῆς ὑποδηλοῖ ἐν τῷ, Οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι. Eamdem χρῆσιν excitat rursus p. 1147. ubi subjicit: πάντως γὰρ τὸ θρηνεῖν ἐπῳδὰς, ταυτόν ἐστι τῷ γοερῶς ἐπᾴδειν, ὃ καὶ γόης ποιεῖ.

584. οὐ γάρ μ' ἀρέσκει non est pro ἀρέσκει μοι, sed ἀρέσκει με. Vide quæ notavimus ad Comici Plutum 358. et Gregorium de Dial. Attica, §. xxiii.

586. σωφρονεῖν. gl. μὴ ἀτακτεῖν μηδὲ περιεργάζεσθαι.

ΤΕ. οἴ μ', ὡς ἀθυμῶ· καί σε πρὸς τοῦ σοῦ τέκνου
καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.
ΑΙ. ἄγαν γε λυπεῖς. οὐ κάτοισθ', ἐγὼ θεοῖς
ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι;
ΤΕ. εὔφημα φώνει.
ΑΙ. τοῖς ἀκούουσιν λέγε.
ΤΕ. σὺ δ' οὐχὶ πείσει;
ΑΙ. πόλλ' ἄγαν ἤδη θροεῖς.
ΤΕ. ταρβῶ γάρ, ὦ 'ναξ.
ΑΙ. οὐ ξυνέρξεθ' ὡς τάχος;
ΤΕ. πρὸς θεῶν μαλάσσου.
ΑΙ. μῶρά μοι δοκεῖς φρονεῖν,
εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.

## ΧΟΡΟΣ.

Ὦ κλεινὰ Σαλαμὶς, σὺ μέν που — στροφὴ α'.
ναίεις ἁλίπλαγκτος, εὐδαίμων,
πᾶσιν περίφαντος αἰεί·
ἐγὼ δ' ὁ τλάμων,
παλαιὸς ἀφ' οὗ χρόνος
Ἰδαίᾳ μίμνω
λειμωνίᾳ ποίᾳ
μήλων, ἀνήριθμος,
αἰὲν εὐνόμᾳ

590. ἀρκεῖν. gl. ἀντὶ τοῦ ἐπαρκεῖν, τουτέστι βοηθεῖν, ὑπηρετεῖν. Desperata omni salute, tanquam si e vita jam excessisset, nihil se deis debere ait Ajax. Sententiam hanc expressit Virgilius, ubi Æneas mortuum Pallanta deflens, ait: Nos juvenem exanimum, et nil jam cœlestibus ullis Debentem, vano mæsti comitamur honore.

597. ναίεις. Imitatur Homerum, qui in catalogo navium sic verbum ναίειν usurpat: Οἱ δ' ἐκ Δουλιχίοιο, Ἐχινάων θ' ἱεράων Νήσων, αἳ ναίουσι πέρην ἁλὸς Ἤλιδος ἄντα. ibi ναίουσιν est pro ναίονται. Vide Eustathium p. 306.

602. ποίᾳ. Sic membr. et plerique alii codices. In Aldina πόᾳ.

604. εὐνόμᾳ. Sic Aldus et codd. omnes veteres. Triclinius, ut metra melius quadrarent, imperite supposuit εὐνώμα, quam scripturam trochaici metri ratio non flagitat. Doricum est

χρόνῳ τρυχόμενος,
κακὰν ἐλπίδ' ἔχων
ἔτι μέ ποτ' ἀνύσειν τὸν ἀπότροπον
ἀΐδηλον Ἅδαν.
καί μοι δυσθεράπευτος Αἴας ἀντιστρ. α'.
ξύνεστιν ἔφεδρος, ὤ μοι μοι,
θείᾳ μανίᾳ ξύναυλος·
ὃν, ἐξεπέμψω
πρὶν δή ποτε θουρίῳ
κρατοῦντ' ἐν Ἄρει·
νῦν δ' αὖ φρενός γ' οἰο-
βότας, φίλοις μέγα
πένθος εὕρηται.
τὰ πρὶν δ' ἔργα χεροῖν
μεγίστας ἀρετᾶς
ἄφιλα παρ' ἀφίλοις ἔπεσ', ἔπεσεν,
μελέοις Ἀτρείδαις.
ἦ που παλαιᾷ μὲν στροφὴ β'.
ἔντροφος ἁμέρᾳ
λευκῷ δὲ γήρᾳ
μάτηρ, νιν ὅταν νοσοῦντα
φρενομόρως ἀκούσῃ,

εὐνόμας pro εὔνομος, quæ forma poëtis Atticis in melicis frequentata. Sic Euripides in Phœn. τίς οὗτος ὁ λευκολόφας; ad quem locum vide Valckenarii notam, p. 42. Apud Comicum multa occurrunt hujusmodi, ut χρυσοκόμας Av. 216. εὐλύρας Thesmoph. 969. εὔνομος χρόνος recte exponitur ὁ καλῶς μεριζόμενος εἰς τέσσαρας ὥρας.

607. ἀνύσειν τὸν Ἅδαν. Vide notam ad Œd. Col. 1562.

615. φρενός γ'—Particulam ob metrum insertam non agnoscunt codd. nec Aldus.—οἰοβότας. gl. ἤγουν ἀποπλανηθεὶς τῆς φρενός. ἀπὸ μεταφορᾶς τῶν πλανηθέντων προβάτων, καὶ μόνων βοσκομένων. Turnebus Triclinii pravam scripturam secutus est οἰωβότας.

618. τὰ πρὶν δ' ἔργα χεροῖν μεγίστας ἀρετᾶς. Aldus et veteres codd. habent τὰ πρὶν δ' ἔργα χερσὶ (vel χεροῖν) μέγιστ' ἀρετᾶς. quod salvo metro neutiquam retineri potuit. Triclinio seu probata, seu excogitata lectio usquequaque præferenda est.

αἴλινον, αἴλινον,
οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς
ἥσει δύσμορος· ἀλλ' ὀ-
ξυτόνους μὲν ᾠδὰς
θρηνήσει· χερόπληκτοι δ'
ἐν στέρνοισι πεσοῦνται
δοῦποι, καὶ πολιᾶς ἀμύγματα χαίτας.
κρείσσων γὰρ Ἅδᾳ κεύ- ἀντιστρ. β'.
θων, ἢ νοσῶν μάταν,
ὃς ἐκ πατρῴας
ἥκων γενεᾶς ἄριστος
πολυπόνων Ἀχαιῶν,
οὐκ ἔτι συντρόφοις
ὀργαῖς ἔμπεδος, ἀλλ' ἐκτὸς ὁμιλεῖ.
ὦ τλᾶμον πάτερ, οἵαν
σε μένει πυθέσθαι
παιδὸς δύσφορον ἄταν,
ἂν οὔπω τις ἔθρεψεν
αἰὼν Αἰακιδᾶν, ἄτερθέ γε τοῦδε.

ΑΙ. Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται·
κοὐκ ἔστ' ἄελπτον οὐδὲν, ἀλλ' ἁλίσκεται
χᾠ δεινὸς ὅρκος, χ' αἱ περισκελεῖς φρένες.
κἀγὼ γὰρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
βαφῇ σίδηρος ὣς, ἐθηλύνθην στόμα
πρὸς τῆσδε τῆς γυναικός. οἰκτείρω δέ νιν
χήραν παρ' ἐχθροῖς, παῖδά τ' ὀρφανὸν λιπεῖν.

637. *ἄριστος*. Hæc vox nec in Aldina nec in codicum veterum ullo comparet. Eam Triclinius se reposuisse fatetur ex antiquissimo exemplari. Elegantius esset *ἄριστα*, quod e Scholiasta assumi poterat.

645. *ἄτερθέ γε τοῦδε*. Insertam ob metrum a Triclinio particulam omittunt veteres codd. et Aldus.

649. *χ' αἱ περισκελεῖς φρένες*. Sic scribi debuisse nemo non sentiat: male in libris *καὶ περισκελεῖς*—*præfracti, obstinati animi*. De varia hujus vocis significatione vide Gatakerum ad M. Antoninum, p. 116.

ἀλλ᾽ εἶμι πρός τε λουτρὰ καὶ παρακτίους
λειμῶνας, ὡς ἂν λύμαθ᾽ ἁγνίσας ἐμὰ
μῆνιν βαρεῖαν ἐξαλύξωμαι θεᾶς·
μολών τε, χῶρον ἔνθ᾽ ἂν ἀστιβῆ κίχω,
κρύψω τόδ᾽ ἔγχος τοὐμὸν, ἔχθιστον βελῶν,
γαίας ὀρύξας ἔνθα μή τις ὄψεται·
ἀλλ᾽ αὐτὸ νὺξ ᾍδης τε σωζόντων κάτω.
ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ᾽ ἐδεξάμην
παρ᾽ Ἕκτορος δώρημα δυσμενεστάτου,
οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
ἀλλ᾽ ἔστ᾽ ἀληθὴς ἡ βροτῶν παροιμία,
ΕΧΘΡΩΝ ΑΔΩΡΑ ΔΩΡΑ Κ'ΟΥΚ ΟΝΗΣΙΜΑ.
τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ᾽ Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ᾽ ὑπεικτέον. τί μή;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει. τοῦτο μὲν, νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·

656. ἐξαλύξωμαι ex Hesychio reposui. Vide Lexicon. Aldus et codd. plerique omnes ἐξαλεύσωμαι. Sinceræ lectionis vestigia in solo meo exstant, in quo scriptum ἐξαλλώξομαι. Glossa φυλάξωμαι, ἐκφύγω.

658. τόδ᾽ ἔγχος, *hunc gladium.* Vide Schol. ad Antig. 1236. Trach. 1013. et sic accipi debet hæc vox in Œdipi prioris v. 969. et 1255. Apud Euripidem in Phœn. 1423. δι᾽ ὀμφαλοῦ καθῆκεν ἔγχος, *ensem* vertas necesse est: nam de *hasta* ne cogites, obstat quod paulo ante præcessit: Ἐνθένδε κώπας ἁρπάσαντε φασγάνων Ἐς ταυτὸν ἧκον. Ejusdem Electra ubi ait in cognomine dramate v. 700. Πρόχειρον ἔγχος χειρὶ βαστάζουσ᾽ ἐμῇ. *Gladium* intelligit, quippe quæ modo dixerat: Παίσω κάρα γὰρ τοὐμὸν ἀμφήκει ξίφει. De hac significatione virum eruditum dubitare potuisse mirum est. Vide Historiam Academiæ nostræ, tom. vii. p. 193. Eustathius p. 644. Σοφοκλῆς ἔγχος περιπετὲς (907.) εἰπεῖν ἐτόλμησεν, ᾧ περιπέπτωκεν Αἴας· ξίφος ὂν ἐκεῖνο πάντως. τὸ δ᾽ αὐτὸ καὶ βέλος τολμηρῶς ἔφη ἐν τῷ Ἔγχος ἔχθιστον βελῶν, ὡς δοθὲν ὑπὸ ἐχθροῦ τοῦ Ἕκτορος. δῆλον δὲ, ὡς οὔτε Ἕκτωρ δόρυ ἔδωκεν Αἴαντι, ὃ ταυτίζεται πρὸς τὸ ἔγχος, καὶ ὅτι οὐ βάλλεται ἔγχος, τὸ κατὰ τὸ ξίφος. ἑκηβολίαν γὰρ ἡ τοῦ βέλους λέξις δηλοῖ. ἴσως οὖν καὶ ἐπ᾽ ἀμφοῖν τετόλμηκεν ὁ Σοφοκλῆς καινότερον.

665. Euripides Medea, 621. Κακοῦ γὰρ ἀνδρὸς δῶρ᾽ ὄνησιν οὐκ ἔχει.

668. ὑπεικτέον. τί μή; Male Aldus τιμῇ. Glossa: ἄξιον εἴκειν αὐτοῖς δηλονότι. διὰ τί οὐχί;

ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
ἔγωγ' ἐπίσταμαι γὰρ ἀρτίως, ὅτι
ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθραντέος,
ὡς καὶ φιλήσων αὖθις· ἔς τε τὸν φίλον
τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
ὡς αἰὲν οὐ μενοῦντα. τοῖς πολλοῖσι γὰρ
βροτῶν ἄπιστός ἐσθ' ἑταιρίας λιμήν.
ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει· σὺ δὲ
ἔσω θεοῖς ἐλθοῦσα, διὰ τέλους, γύναι,
εὔχου τελεῖσθαι, τοὐμὸν ὧν ἐρᾷ κέαρ.
ὑμεῖς θ', ἑταῖροι, ταὐτὰ τῇδ' ἐμοὶ τάδε
τιμᾶτε· Τεύκρῳ τ', ἢν μόλῃ, σημήνατε
μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἅμα.
ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον·
ὑμεῖς δ' ἃ φράζω δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως
πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.

## ΧΟΡΟΣ.

Ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτόμαν. στροφή.

673. τῇ λευκοπώλῳ ἡμέρᾳ. Ex Æschylo mutuatus est Persis, 384. Ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα Πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν.

674. δεινῶν. Apud Suidam in ἄημα legitur δεινὸν, quod, nisi cum στένοντα jungatur, sententiam corrumpit. Sed librarii, ut videtur, est error: codices omnes nostri δεινῶν præferunt. ἄημα. gl. πεπαυμένη πνοή. Tragici sententiam sic effert Eustathius p. 982. κοιμίζεται καὶ στένων πόντος, γαλήνης κατευναζούσης αὐτόν.

678. ἔγωγ'—Male in libris ἐγὼ δ' —Quod sequitur, in omnibus libris et apud Suidam, qui hos versus citat in ἄημα et in ἐχθραντέος, manifesto depravatum est. Nihil verius Kusteri emendatione, juxta quam pro ὅτ' ἐχθρὸς ἥμιν, legimus ὅ τ' ἐχθρὸς ἡμῖν. Ad posteriorem sententiæ partem, τὸν φίλον ὠφελεῖν βουλήσομαι ὡς αἰὲν οὐ μενοῦντα, vide quæ disputat Cicero in Lælio c. xvi.

693. ἀνεπτόμαν. Sic emendate scriptum in E. ut quater citat Eusta-

ἰὼ ἰὼ, Πὰν, Πὰν,
ὦ Πὰν, Πὰν ἁλίπλαγκτε, Κυλ-
λανίας χιονοκτύπου
πετραίας ἀπὸ δειράδος φάνηθ᾽, ὦ
θεῶν χοροποί᾽ ἄναξ, ὅπως μοι
Νύσια Κνώσι᾽ ὀρχήματ᾽ αὐτοδαῆ
ξυνὼν ἰάψῃς.
νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ᾽ ὑπὲρ πελαγέων
μολὼν ἄναξ Ἀπόλλων
ὁ Δάλιος, εὔγνωστος,
ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων.
ἔλυσε γὰρ αἰνὸν ἄχος ἀπ᾽ ὀμμάτων Ἄρης. ἀντιστρ.
ἰὼ, ἰώ. νῦν αὖ,
νῦν, ὦ Ζεῦ, πάρα λευκὸν εὐ-
άμερον πελάσαι φάος
θοῶν ὠκυάλων νεῶν, ὅτ᾽ Αἴας
λαθίπονος πάλιν, θεῶν δ᾽ αὖ
πάνθυτα θέσμι᾽ ἐξήνυσ᾽, εὐνομίᾳ

thius. Sic enim ad Odyss. α΄. p. 1419. τοῦ δὲ ἔπτατο, ἔστι καὶ δεύτερος μέσος ἀόριστος, οὗ χρῆσις παρὰ Σοφοκλεῖ ἐν τῷ Περιχαρὴς δ᾽ ἀνεπτόμην. ἐξ αὐτοῦ δὲ καὶ πτέσθαι ἀπαρέμφατον ἐν Οἰδίποδι τῷ τυράννῳ, καὶ παρ᾽ Ὁμήρῳ δὲ (Il. δ΄. 126.) ἐν τῷ, καθ᾽ ὅμιλον ἐπιπτέσθαι μενεαίνων. Ad Il. δ΄. p. 452. τοῦ δὲ πτέσθαι, ὅ ἐστι πετάσαι, χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι. ἔοικε δὲ τῇ κινήσει τοῦ σχέσθαι. ὡς γὰρ ἐσχόμην, σχέσθαι· οὕτω καὶ ἐπτόμην, πτέσθαι· οἷον Περιχαρὴς δ᾽ ἀνεπτόμην. δῆλον δὲ, ὡς ἔστι καὶ ἐπτάμην πρῶτος ἀόριστος, ἐξ οὗ καὶ τὸ Τίς γάρ ποτ᾽ ἀρχὴ τοῦ κακοῦ προσέπτατο, καὶ ἀπαρέμφατον παρά γε Εὐριπίδῃ τὸ διαπτάσθαι. Nos tamen in versu 282. ad similium normam reposuimus προσέπτετο. Integrum hunc qui præ manibus est versum laudat Eustathius pag. 473. καὶ χαρὰν δέ ποτε σημαίνει τὸ ΦΡΙΣΣΕΙΝ, καὶ οἱονεὶ ὄρθωσιν ἐκ λυπηρᾶς καταπτώσεως, ὡς τὸ Ἔφριξ᾽ ἔρωτι περιχαρὴς δ᾽ ἀνεπτόμην.

699. Perperam in impressis Νύσσια, Κνώσσι᾽—Unico σ scribi debet utrumque nomen, et sic in plerisque codicibus.

700. ἰάψῃς. gl. πέμψῃς, ἐμβάλῃς.

706. ἔλυσε γὰρ—Istud γὰρ ob metrum eximendum non est. Senarius est iambicus, nec cum strophico minus congruit, quia is in secunda sede iambum habet, cujus loco hic anapæstus est. Inepte Triclinius eam ob causam dederat ἔφριξ᾽ ἐν ἔρωτι.

σέβων μεγίστα.
πάνθ' ὁ μέγας χρόνος μαραίνει·
κοὐδὲν ἀναύδητον φατίξαιμ'
ἄν, εὖτέ γ' ἐξ ἀέλπτων
Αἴας μετεγνώσθη
θυμὸν Ἀτρείδαις μεγάλων τε νεικέων.

ΑΓ. Ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω.
Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ
κρημνῶν· μέσον δὲ προσμολὼν στρατήγιον,
κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.
στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
μαθόντες ἀμφέστησαν, εἶτ' ὀνείδεσιν
ἤρασσον ἔνθεν κἄνθεν, οὔ τις ἔσθ' ὃς οὔ,
τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ
ξύναιμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσει

714. *πάνθ' ὁ μέγας χρόνος μαραίνει.* Aldus et codd. addunt tres voces *τε καὶ φλέγει*, cum glossa *ἀφανίζει καὶ φανερὸν ποιεῖ*. Istas addititias esse metri ratio ostendit. Qui margini eas olim adscripserat, eamdem sententiam exprimere voluisse videtur, quam Ajaci tribuit poëta v. 647.

716. *εὖτέ γ' ἐξ ἀέλπτων Αἴας μετεγνώσθη θυμὸν Ἀτρείδαις μεγάλων τε νεικέων.* Sic optime Aldus et codices veteres. In membr. *θυμόν τ' Ἀτρ*— Insertam copulam nullus alius agnoscit codex, nec Suidas, qui partem horum profert in *Μετανεγνώσθη*, ubi legitur *εὖτ' Αἴας ἐξ ἀέλπτων μετεγνώσθη θυμὸν Ἀτρείδαις*. Triclinius imperite dedit *θυμῶν*. Porro codices quidam habent *μετανεγνώσθη*, ut legisse videri possit Hesychius: sed minus sincerum esse censeo, et a male curioso metrorum scrutatore invectum, ut syllabarum æquaretur numerus in versibus antitheticis, quod minime necessarium est. De hoc loco egit Henr. Stephanus Thesauri tom. i. col. 1856. ubi Scholiastam immerito reprehendit, qui verborum ordinem recte instituit: *εὖτ' Αἴας μετεγνώσθη θυμὸν Ἀτρείδαις ἐξ ἀέλπτων καὶ μεγάλων νεικέων.* Sunt enimvero *ἄελπτα νείκη* jurgia *σκληρὰ, δυσχερῆ*, ac proinde *ἀνέλπιστα*, *desperata, quæ componi unquam posse nemo speret.* Sic in Homerico hymno in Apollinem 91. *ἄελπτοι ὠδῖνες.* Quin ipse Stephanus male ἐξ *ἀέλπτων* adverbialiter positum esse statuit pro *ἀέλπτως*, quod si esset, postrema verba *μεγάλων τε νεικέων* cum præcedentibus connecti non possent. Triclinii interpolatio *θυμῶν* temeraria est. Sic ob metrum scripsit, cujus rationem perspectam non habuit. Antithetici versus asynarteti sunt ex duobus dochmaicis.

727. *ὡς οὐκ ἀρκέσει.* Sic Turnebus e Triclinio edidit recte. Aldus et codd. antiqui, *ἀρκέσοι*. Extrinsecus adsumendum participium *λέγοντες*.

τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν.
ὥστ' ἐς τοσοῦτον ἦλθον, ὥστε καὶ χεροῖν
κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.
λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτου,
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὡς φράσω τάδε;
τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.
**ΧΟ.** οὐκ ἔνδον. ἀλλὰ φροῦδος ἀρτίως, νέας
βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.
**ΑΓ.** ἰού, ἰού, ἰού.
βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς.
**ΧΟ.** τί δ' ἐστι χρείας τῆσδ' ὑπεσπανισμένον;
**ΑΓ.** τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
μὴ 'ξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχῃ.
**ΧΟ.** ἀλλ' οἴχεταί τοι, πρὸς τὸ κέρδιστον τραπεὶς
γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλου.
**ΑΓ.** ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.
**ΧΟ.** ποῖον; τί δ' εἰδὼς τοῦδε πράγματος πέρι;
**ΑΓ.** τοσοῦτον οἶδα, καὶ παρὼν ἐτύγχανον.
ἐκ γὰρ ξυνέδρου καὶ τυραννικοῦ κύκλου
Κάλχας μεταστὰς οἶος 'Ατρειδῶν δίχα,
ἐς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
θεὶς, εἶπε, κἀπέσκηψε, παντοίᾳ τέχνῃ
εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι, μηδ' ἀφέντ' ἐᾶν,
εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
ἐλᾷ γὰρ αὐτὸν τῇδε θἠμέρᾳ μόνῃ
δίας 'Αθάνας μῆνις, ὡς ἔφη λέγων.

730. κολεῶν. Sic membr. et plerique alii codices. Perperam Aldus κουλεῶν.

741. ἔνδοθεν στέγης. gl. ἀντὶ τοῦ ἐκ τῆς στέγης. — παρήκειν. gl. ἀντὶ τοῦ ἥκειν. ἡ παρὰ περισσή.

τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
βλαστὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.
κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος
ἄνους καλῶς λέγοντος εὑρέθη πατρός.
ὁ μὲν γὰρ αὐτὸν ἐννέπει· Τέκνον, δορὶ
βούλου κρατεῖν μὲν, ξὺν θεῷ δ' ἀεὶ κρατεῖν.—
ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο·
Πάτερ, θεοῖς μὲν, κἂν ὁ μηδὲν ὢν, ὁμοῦ
κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα
κείνων, πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.—
τοσόνδ' ἐκόμπει μῦθον. εἶτα δεύτερον
δίας Ἀθάνας, ἡνίκ' ὀτρύνουσά νιν
ηὐδᾶτ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
τότ' ἀντιφωνεῖ δεινὸν ἄῤῥητόν τ' ἔπος·
Ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
ἵστω, καθ' ἡμᾶς δ' οὔποτ' ἐκρήξει μάχη.—
τοιοῖσδε τοῖς λόγοισιν ἀστεργῆ θεᾶς
ἐκτήσατ' ὀργὴν, οὐ κατ' ἄνθρωπον φρονῶν.
ἀλλ' εἴπερ ἐστὶ τῇδε θἠμέρᾳ, τάχ' ἂν
γενοίμεθ' αὐτοῦ ξὺν θεῷ σωτήριοι.
τοσαῦθ' ὁ μάντις εἶφ'· ὁ δ' εὐθὺς ἐξ ἕδρας

760. ὅστις ad plurale nomen refertur σώματα. Nihil hoc schemate magis obvium. Eustathius p. 415. Σύνηθες Ὁμήρῳ σχῆμα, τὸ ἐκ πληθυντικῆς καταβαίνειν εἰς ἑνικόν· οἷον καὶ τὸ (Il. γ'. 279.) Ἀνθρώπους τίνυσθον, ὅ τις κ' ἐπίορκον ὀμόσσῃ. ἐκ γὰρ τοῦ ἀνθρώπους εἰς τὸ ὅ τις μετέβη, διότι οὐ πάντες οἱ θανόντες κολάζονται, ἀλλ' ὁ κακός. τοιοῦτο σὺν ἄλλοις μυρίοις καὶ παρ' Εὐριπίδῃ τὸ (Hec. 359.) Δεσποτῶν ὠμῶν τύχοιμι, ὅς τις μ' ὠνήσεται. καὶ τὸ (Med. 222.) Δίκη γὰρ οὐκ ἔστιν ἐν ὀφθαλμοῖς βροτῶν, ὅς τις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμάθῃ σαφῶς, στυγεῖ. καὶ παρὰ Σοφοκλεῖ τὸ Τὰ περισσὰ κἀνόνητα σώματα, πάσχει τόδε τι, ὅς τις ἀνθρώπου φύσιν γεγὼς, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ. Alia exempla sunt apud Euripidem, ut Androm. 179. El. 939. Inversa enallages ratione in Antig. 707. ὅστις in priore membro ponitur, eique subjiciuntur pronomen et verbum plurale. Ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ, Ἢ γλῶσσαν, ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν, Οὗτοι διαπτυχθέντες, ὤφθησαν κενοί.

πέμψον τιν' ἡμῖν ἄγγελον κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος * ὅς με βαστάσῃ
πεπτῶτα τῷδε περὶ νεοῤῥάντῳ ξίφει,
καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος
ῥιφθῶ κυσὶ πρόβλητος, οἰωνοῖς θ' ἕλωρ.
τοσαῦτά σ', ὦ Ζεῦ, προστρέπω· καλῶ θ' ἅμα
πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,
πλευρὰν διαῤῥήξαντα τῷδε φασγάνῳ.
καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους,
ἀεί θ' ὁρώσας πάντα τἀν βροτοῖς πάθη,
σεμνὰς Ἐριννῦς τανύποδας, μαθεῖν ἐμὲ,
πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας,
καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
ξυναρπάσειαν· ὥσπερ εἰσορῶσ' ἐμὲ,
αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.
ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐριννύες,
γεύεσθε, μὴ φείδεσθε, πανδήμου στρατοῦ.
σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν,

* ὡς edd. 1. 2.

831. προστρέπω. Sic scribi debuisse fidem facit vetus scholiastes. Male in libris nostris προτρέπω. In tribus codd. scriptum καλῶ θ' ἅμα. Vulgo καλῶ δ' ἅμα.

833. ξὺν ἀσφαδάστῳ πηδήματι. Simile votum Cassandræ apud Æschylum in Agamemnone, 1301. Ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν, Ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων Ἀποῤῥυέντων, ὄμμα συμβάλω τόδε.

836. ἀεί θ' ὁρώσας. Sic bene Turnebus. In codd. eodem errore quem paulo ante correximus, ἀεὶ δ' ὁρώσας. In membr. hic versus omissus est.

842. πρὸς τῶν φιλίστων. Codd. aliquot πρὸ, cum glossa ἔμπροσθεν, ex librarii interpolatione sane quam inepta. Sensum ille verborum non assecutus fuerat, quem disertim in versione expressimus. Nec credendum est ad mortem Agamemnonis poëtam respexisse, nec Ajacem hic tanquam futura vaticinantem inducere voluisse. Nam Agamemnon a liberis suis occisus non fuit: sed Atridis mortis genus imprecatur Ajax, quod atrocissimum excogitare possit.

844. γεύεσθε. Insignis quidem, sed maxime contemnenda varietas est in citatione quam fecit hujus versus Thomas Mag. κεντεῖτε, μὴ φείδεσθε—

845. αἰπὺν οὐρανόν. Ex Homerico αἰπὺν Ὄλυμπον.

καὶ σπεύσαθ', οἱ μὲν Τεῦκρον ἐν τάχει μολεῖν·
οἱ δ' ἑσπέρους ἀγκῶνας, οἱ δ' ἀντηλίους
ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη,
καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
οἴ μοι, τί δράσω, τέκνον; οὐχ ἱδρυτέον.
ἀλλ' εἶμι κἀγὼ κεῖσ', ὅποι περ ἂν σθένω.
χωρῶμεν, ἐγκονῶμεν, οὐχ ἕδρας ἀκμή,
σώζειν θέλοντες ἄνδρα γ', ὃς σπεύδει θανεῖν.
ΧΟ. χωρεῖν ἕτοιμος, κοὐ λόγῳ δείξω μόνον.
τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.
ΑΙ. Ὁ μὲν σφαγεὺς ἕστηκεν, ᾗ τομώτατος
γένοιτ' ἄν, εἴ τῳ καὶ λογίζεσθαι σχολή,
δῶρον μὲν ἀνδρὸς Ἕκτορος, ξένων ἐμοὶ
μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾷν.
πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
σιδηροβρῶτι θηγάνῃ νεηκονής.
ἔπηξα δ' αὐτὸν, εὖ περιστείλας, ἐγὼ
εὐνούστατον τῷδ' ἀνδρὶ διὰ τάχους θανεῖν.
οὕτω μὲν εὐσκευοῦμεν. ἐκ δὲ τῶνδ' ἐμοὶ
σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκὸς, ἄρκεσον.
αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαχεῖν.

805. ἀντηλίους. Hanc scripturam probant Grammatici, quam exhibent codices aliquot. Plures cum Aldo ἀνθηλίους.

811. οὐχ ἕδρας ἀκμή. Euripides Or. 1292.—οὐχ ἕδρας ἀγών· Ἀλλ' αἱ μὲν ἐνθάδ', αἱ δ' ἐκεῖσ' ἑλίσσετε. Formulam illustrat P. Victorius V. L. xvi. 20. ex Homerico οὐχ ἕδος derivatam. Vide Eustath. p. 1295. Idem exprimit Comicus in Pluto his verbis: —ὁ καιρὸς οὐχὶ μέλλειν, Ἀλλ' ἔσθ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντ' ἀμύνειν.

814. Postquam Chorus abiit, scena mutatur, et Ajax solus in loco deserto conspicitur. Vitium hoc est œconomiæ, quod vitari nulla ratione poterat, siquidem Ajax coram spectatoribus mortem sibi consciscere debebat. In ceteris omnibus Tragici nostri fabulis Chorus nunquam e scena abscedit, nisi absoluta actione.

815. ὁ μὲν σφαγεύς. gl. τὸ ξίφος τὸ εἰς σφαγὴν ἡτοιμασμένον ἕστηκε τῇ θέσει τῇ τμητικωτάτῃ.

825. λαχεῖν. Sic membr. et præstantiores quique codd. cum Aldo. Triclinius λαβεῖν. Hæc verba sæpissime permutantur.

πέμψον τιν' ἡμῖν ἄγγελον κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος * ὅς με βαστάσῃ
πεπτῶτα τῷδε περὶ νεοῤῥάντῳ ξίφει,
καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος
ῥιφθῶ κυσὶ πρόβλητος, οἰωνοῖς θ' ἕλωρ.
τοσαῦτά σ', ὦ Ζεῦ, προστρέπω· καλῶ θ' ἅμα
πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,
πλευρὰν διαῤῥήξαντα τῷδε φασγάνῳ.
καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους,
ἀεί θ' ὁρώσας πάντα τὰν βροτοῖς πάθη,
σεμνὰς Ἐρινῦς τανύποδας, μαθεῖν ἐμὲ,
πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας,
καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
ξυναρπάσειαν· ὥσπερ εἰσορῶσ' ἐμὲ,
αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.
ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐριννύες,
γεύεσθε, μὴ φείδεσθε, πανδήμου στρατοῦ.
σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν,

* ὡς edd. 1. 2.

831. προστρέπω. Sic scribi debuisse fidem facit vetus scholiastes. Male in libris nostris προτρέπω. In tribus codd. scriptum καλῶ θ' ἅμα. Vulgo καλῶ δ' ἅμα.

833. ξὺν ἀσφαδάστῳ πηδήματι. Simile votum Cassandræ apud Æschylum in Agamemnone, 1301. Ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν, Ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων Ἀποῤῥυέντων, ὄμμα συμβάλω τόδε.

836. ἀεί θ' ὁρώσας. Sic bene Turnebus. In codd. eodem errore quem paulo ante correximus, ἀεὶ δ' ὁρώσας. In membr. hic versus omissus est.

842. πρὸς τῶν φιλίστων. Codd. aliquot πρὸ, cum glossa ἔμπροσθεν, ex librarii interpolatione sane quam inepta. Sensum ille verborum non assecutus fuerat, quem disertim in versione expressimus. Nec credendum est ad mortem Agamemnonis poëtam respexisse, nec Ajacem hic tanquam futura vaticinantem inducere voluisse. Nam Agamemnon a liberis suis occisus non fuit: sed Atridis mortis genus imprecatur Ajax, quod atrocissimum excogitare possit.

844. γεύεσθε. Insignis quidem, sed maxime contemnenda varietas est in citatione quam fecit hujus versus Thomas Mag. κεντεῖτε, μὴ φείδεσθε—

845. αἰπὺν οὐρανόν. Ex Homerico αἰπὺν Ὄλυμπον.

Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
γέροντι πατρὶ, τῇ τε δυστήνῳ τροφῷ.
ἦ που τάλαινα, τήνδ' ὅταν κλύῃ φάτιν,
ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην·
ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
ὦ Θάνατε, Θάνατε, νῦν μ' ἐπίσκεψαι μολών·
καί τοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών.
σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν Ἥλιον προσεννέπω,
πανύστατον δὴ, κοὔποτ' αὖθις ὕστερον.
ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
κρῆναί τε, ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
πεδία προσαυδῶ, χαίρετ', ὦ τροφῆς ἐμοί·
τοῦθ' ὑμὶν Αἴας τοὔπος ὕστατον θροεῖ·
τὰ δ' ἄλλ' ἐν Ἅδου τοῖς κάτω μυθήσομαι.

## ΗΜΙΧΟΡΟΣ.

πόνος πόνῳ πόνον φέρει.
πᾶ, πᾶ,
πᾶ γὰρ οὐκ ἔβαν ἐγώ ;
κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.

852. *οὐδὲν ἔργον*, *nihil prodest*, *nihil opus est*. Comicus in Lysistr. 424. *ἀλλ' οὐδὲν ἔργον ἑστάναι.*

863. *τροφῆς*. Vulgo *τροφεῦς*. Vide ad priorem Œdipum 18.

869. *συμμαθεῖν* hic transitivum est, et valet *διδάξαι*, qua potestate verbum hoc omnino carere affirmat Parisinus editor, quippe qui sui juris esse putat fines ponere, quos intra Sophocles novandi licentiam coërcere debuit. Nec tamen est hoc ita novum, ut analogia aliorum exemplorum confirmari non possit. Nam ut *δίδαεν* *didicit* usurpat Homerus pro *docuit*, ita *μανθάνειν* observat Eustathius ab

ἰδοὺ, ἰδού·
δοῦπον αὖ κλύω τινά.
ΗΜ. ἡμῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.
ΗΜ. τί οὖν δή;
ΗΜ. πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.
ΗΜ. ἔχεις οὖν;
ΗΜ. πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
ΗΜ. ἀλλ' οὐδ' ἐμοὶ δὴ, τὴν ἀφ' ἡλίου βολῶν
κέλευθον, ὡνὴρ οὐδαμοῦ δηλοῖ φανείς.
ΧΟ. τίς ἄν μοι, τίς ἂν στροφὴ α'.
φιλοπόνων ἁλιαδᾶν
ἔχων ἀΰπνους ἄγρας,
ἢ τίς Ὀλυμπιάδων
θεῶν, ἢ ῥυτῶν
Βοσπορίων ποταμῶν
ἴδρις, τὸν ὠμόθυμον εἴ
που ποτὲ πλαζόμενον

Homeri posteris utroque sensu adhibitum fuisse, et pro *discere* et pro *docere*. Popularis sui conjecturam *συμπαθεῖν* Heathius ne proferre quidem debebat. Quis eo illum deduxerit, nescio: haud sane Lucianus est qui in Ocypode *συμπάσχειν* transitive usurpat, ut hic Sophocles *συμμανθάνειν*. *Οἴμοι· πόθεν μοι καινὸς εἰσῆλθεν πόνος Ποδὸς δι' ἄλλου, καί με συμπάσχει κακῶς*; utrumque verbum prægnanti notione adhibitum: hoc, *καί με ποιεῖ πάσχειν κακῶς*. illud, *οὐδεὶς μαθὼν ποιεῖ με σὺν αὐτῷ μαθεῖν*. Luciani senarium ineptus emendator crurifragio mulcat legendo, *καί μοι συμπάσχει*.

876. *πόνου γε πλῆθος*. Sic in Euripidis Satyrico roganti Choro *ἔχεις*; respondet Cyclops vers. 683. *κακόν γε πρὸς κακῷ*.

877. *τὴν ἀφ' ἡλίου βολῶν κέλευθον*. In Aldina excusum *μολῶν* typothetæ errore: in Juntina recte *βολῶν*, ut liquido sine ulla ambiguitate scriptum in C. D. E. et meo. De hoc loco jam egi ad Euripidis Or. 1263. *μολὼν* Triclinio debetur, ac proinde recentissimi Græculi est scholion quod hanc lectionem spectat.

878. *ὡνήρ*. Perperam vulgo *ἀνήρ*.

879. *τίς ἄν μοι, τίς ἄν*. Versus est dochmaicus, ut antistrophicus 925. *ἔμελλες τάλας*. cujus in scriptura nullam varietatem exhibent libri. Proinde hic ita scribi debuit, expuncta particula *δὴ*, quæ metro reclamante inserta fuerat.

881. *ἔχων ἀΰπνους ἄγρας*. Sic codd. plerique et præstantiores. In aliis *ἴδρας*, quod Aldus prætulit.

885. *εἴ που ποτὲ πλαζόμενον προσβλέψειε, ἀπύει*. Nihil planius horum verborum structura, quæ præter faci-

προσβλέπει, ἀπύοι;
σχέτλια γὰρ μακρῶν ἀλάταν πόνων
οὐρίῳ μὴ πελάσαι δρόμῳ,
ἐμὲ δ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.

ΤΕ. ἰὼ, ἰώ μοι μοι.
ΧΟ. τίνος βοὴ πάραυλος ἐξέβη νάπους;
ΤΕ. ἰὼ τλήμων.
ΧΟ. τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν, οἴκτῳ τῷδε συγκεκραμένην.
ΤΕ. οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.
ΧΟ. τί δ' ἐστίν;
ΤΕ. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.
ΧΟ. ἰώ μοι μοι, ἐμῶν νόστων· στροφὴ β'.
ὤ μοι, κατέπεφνες, ἄναξ,
τόνδε συνναύταν. ἰὼ τάλας·
ὦ ταλαίφρων γύναι.
ΤΕ. ὡς ὧδε τοῦδ' ἔχοντος, αἰάζειν πάρα.
ΧΟ. τίνος ποτ' ἄρ' ἔπραξε χειρὶ δύσμορος;
ΤΕ. αὐτὸς πρὸς αὑτοῦ· δῆλον. ἐν γάρ οἱ χθονὶ
πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.
ΧΟ. ὤ μοι ἐμᾶς ἔτας· στροφὴ γ'.

lem sensum, metra etiam accurata præstat. In Aldina et veteribus codd. scabra lectio sine metri forma, εἴ ποθι πλαζόμενον λεύσσων, ἀπύοι. Triclinii inepta interpolatio auctore suo digna est.

888. σχέτλια γὰρ μακρῶν ἀλάταν πόνων. Librarii voculas partim inferserunt, partim transposuerunt, quod ipsa metri ratio ostendit: σχέτλια γὰρ ἐμέγε τὸν μακρῶν ἀλάταν πόνων. Sic veteres codd. et Aldus. Ista ἐμέγε τὸν invenusta sunt et sensui inutilia: ἐμὲ loco non suo posuerunt, quod esse debuit initio ultimi versus hujus strophæ, ubi dederunt ἀλλ' ἀμενηνὸν, iambicum senarium a trochæo incipientes.

892. πάραυλος. πλησία. Eodem sensu vox est in Œd. Col. 786. ἀλλ' ὡς πάραυλον οἰκίσῃς. Perperam Eustathius hanc vocem ab αὐλὸς deducit, p. 1157. βοὴ πάραυλος, ἡ ἐξισουμένη αὐλῷ ἢ κατὰ θρηνῳδίαν, ἢ διὰ τὸ τρανές. Est enim ab αὐλὴ, ut supra 796. ὕπαυλος, et 611. ξύναυλος, quod glossa recte exponit σύνοικος.

900. ἰώ μοι μοι. Semel tantum Aldina μοι habet, et in antistrophico versu ὤ μοι ἀναλγήτων. Mox v. 908. ἰώ μοι ἐμᾶς ἄτας. Ista ad metri normam exigi debuerunt.

οἷος ἄρ' αἰμάχθης
ἄφρακτος φίλων·
ἐγὼ δ', ὁ πάντα κωφὸς, ὁ πάντ' ἄϊδρις,
κατημέλησα. πᾶ, πᾶ
κεῖται ὁ δυστράπελος,
ὁ δυσώνυμος Αἴας;

ΤΕ. οὔ τοι θεατός· ἀλλά νιν περιπτυχεῖ
φάρει καλύψω τῷδε παμπήδην, ἐπεὶ
οὐδεὶς ἂν ὅστις καὶ φίλος τλαίη βλέπειν
φυσῶντ' ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
πληγῆς μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
οἴ μοι, τί δράσω; τίς σε βαστάσει φίλων;
ποῦ Τεῦκρος; ὡς ἂν ἀκμαῖος, εἰ βαίη, μόλοι,
πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.

909. *αἰμάχθης* sine augmento, quod in melicis negligitur. In E. *ἡμάχθης*.

917. *ὅστις καὶ φίλος*. Major forte videretur esse vis sententiæ, si legeretur *ὅστις κ' οὐ φίλος*, siquidem infra dicitur Ajax *καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν*.

918. *φυσῶντ' ἄνω*. Id est *ἀναφυσῶντα, ἀναπέμποντα πρὸς ῥῖνας, ἔκ τε φοινίας πληγῆς τὸ μέλαν αἷμα ἀπὸ τῆς οἰκείας σφαγῆς*. Corrupta hæc esse decernit Parisinus editor, faceto hoc argumento usus, quia *procumbente Ajace in gladium non exiluit sursum sanguis per plagam, sed per os et nares debuit erumpere*. Proinde conjicit legendum esse *πρὸς ῥινὸς ἔκ τε φωνίας πηγῆς*, *ex naribus et fonte vocali*, id est, si Diis placet, *ex ore*. Eugepæ! Galenum teruncio non emam: Nam ad sapientiam hujus nimius nugator fuit. Lepidum conjectorem Tragicus ipse redarguit Teucri verbis in fine dramatis, *θερμαὶ σύριγγες ἄνω φυσῶσι μέλαν μένος*.

920. *τίς σε βαστάσει*. Membr. et quidam alii codd. *βάστασῃ*, apposita observatione quam inter minora scholia retulimus. Melior est Aldi lectio *βαστάσει*.

921. *ὡς ἂν ἀκμαῖος, εἰ βαίη, μόλοι*. Sic omnino legendum. Ejecerat librariorum imperitia particulam *ἂν*, quæ salva structuræ lege abesse non potest. *ὡς ἂν ἀκμαῖος μόλοι*, *quam tempestivus veniret!* Vide quæ notavimus ad Comici Plutum 1037. ubi exempla ostendunt verbum optativi modi non adhiberi sine *ἂν*, quando in altero membro est conditionalis particula *εἰ*, quæ et ipsa optativum adsciscit. Prima in *ἀκμαῖος* corripitur, ut quævis vocalis natura brevis ante tenuem et liquidam. Supra, v. 811. *ἀκμὴ* priorem corripit, ut et Œd. T. 1492. *Ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἥκητ' ἀκμάς*. Euripides Phœn. 1265. *Μάντεις δὲ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμάς*. Eadem prosodia vox hæc passim occurrit.

ὦ δύσμορ' Αἴας, οἷος ὢν οἵως ἔχεις,
ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

ΧΟ. ἔμελλες τάλας — ἀντιστρ. α'.
ποτὲ χρόνῳ στερεόφρων
ἄρ' ἐξανύσειν κακὰν
μοῖραν ἀπειρεσίων
πόνων. τοῖά μοι
πάννυχα καὶ φαέθοντ'
ἀνεστέναζες, ὠμόφρων,
ἐχθοδόπ' Ἀτρείδαις,
οὐλίῳ σὺν πάθει.
μέγας ἄρ' ἦν ἐκεῖνος αρχων χρόνος
πημάτων, ἦμος ἀριστόχειρ
Ἀχιλλέως ὅπλων ἔκειτ' ἀγὼν πέρι.

ΤΕ. ἰώ μοι μοι.

ΧΟ. χωρεῖ πρὸς ἧπαρ, οἶδα, γενναία δύη.

ΤΕ. ἰώ μοι μοι.

ΧΟ. οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι, γύναι,
τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου.

ΤΕ. σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν.

ΧΟ. ξυναυδῶ.

ΤΕ. οἴ μοι, τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
χωροῦμεν· οἷοι νῷν ἐφεστᾶσι σκοποί.

ΧΟ. ἰώ μοι μοι· ἀναλγήτων — ἀντιστρ. β'.
δισσῶν ἐθρόησας ἄναυ-
δον ἔργον Ἀτρειδᾶν τῷδ' ἄχει.
ἀλλ' ἀπείργοι θεός.

ΤΕ. οὐκ ἂν τάδ' ἔστη τῇδε, μὴ θεῶν μέτα.

926. ποτὲ χρόνῳ στερεόφρων. Sic bene Triclinius. In veteribus codd. ut in Aldina, ἔμελλες τάλας, ἔμελλες χρόνῳ στερεόφρων, structura haud invenusta, sed quam metri ratio non admittit.

936. Vocem Ἀχιλλέως in omnibus veteribus libris omissam Triclinius e conjectura satis probabili reposuit.

ΧΟ. ἄγαν δ᾽ ὑπερβριθὲς τόδ᾽ ἄχθος ἤνυσαν.
ΤΕ. τοιόνδε μέν τοι Ζηνὸς ἡ δεινὴ θεὸς
    Παλλὰς φυτεύει πῆμ᾽, Ὀδυσσέως χάριν.
ΧΟ. ἦ ῥα κελαινώπαν    ἀντιστρ. γ΄.
    θυμὸν ἐφυβρίζει
    ὁ πολύτλας ἀνὴρ,
    γελᾷ δὲ τοῖσι μαινομένοις ἄχεσι
    πολὺν γέλωτα, φεῦ, φεῦ,
    ξύν τε διπλοῖ βασιλῆς
    κλύοντες Ἀτρεΐδαι.
ΤΕ. οἱ δ᾽ οὖν γελώντων, κἀπιχαιρόντων κακοῖς
    τοῖς τοῦδ᾽. ἴσως τοι, κεἰ βλέποντα μὴ ᾿πόθουν,
    θανόντ᾽ ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
    οἱ γὰρ κακοὶ γνώμαισι, τἀγαθὸν χεροῖν
    ἔχοντες, οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
    ἐμοὶ πικρὸς τέθνηκεν, ἢ κείνοις γλυκὺς,

951. ἄγαν δ᾽ ὑπερβριθὲς τόδ᾽ ἄχθος ἤνυσαν. Sic omnino legendum, nec aliter a poëtæ manu esse potuit. In membr. ἄγαν δ᾽ ὑπερβριθὲς ἄχθος ἤνυσαν. Alii e veteribus habent, ut Aldus, ἄγαν γ᾽ ὑπερβριθὲς ἄχθος ἤνυσαν: reliqui post ἄγαν neutram particulam agnoscunt. In omnibus mancus est versus omissione pronominis demonstrativi τόδ᾽. Qui legitur in Turnebi editione et ejus traducibus versus Turnebum auctorem non habet, cui eum adscribit Parisinus Professor; sed ab ipso Triclinio cusus fuit, et est longe pessimus, quippe qui fractis incedat pedibus. Ultima in ἄγαν semper longa est: vide quæ notavimus ad Comici Nubes 199. et 1120. Proinde imperitiæ arguuntur quicunque senarium istum Sophocleum esse propugnant: Καὶ μὴν ἄγαν ὑπερβριθὲς ἄχθος ἤνυσαν.

959. ξύν τε διπλοῖ βασιλῆς. Sic emendate scriptum in D. Perperam in ceteris veteribus, ut in Aldina, βασιλῆες.

961. Hic versus et qui sequuntur xii. sunt omnes Tecmessæ, cui, nulla interposita alia persona, continuantur in membr. et in D. In aliis veteribus codd. ut in Aldina, versui 969. præfixa est Chori persona quem Triclinius sermonem ordiri facit a versu 971.

964. Plautus Capteiveis. i. 2. Tum denique homines nostra intelligimus bona, Quum quæ in potestate habuimus, ea amisimus. Ego, postquam gnatus tuus potitu 'st hostium, Expertus quanti fuerit, nunc desidero. Horatius Carm. iii. 24. 31. Virtutem incolumem odimus, Sublatam ex oculis quærimus invidi. τἀγαθὸν χεροῖν. In meo emendatum a secunda manu τἄγαθ᾽ ἐν χεροῖν, quod vulgatæ lectioni præferendum non est.

αὐτῷ δὲ τερπνός. ὧν γὰρ ἠράσθη τυχεῖν,
ἐκτήσαθ' αὑτῷ, θάνατον, ὅνπερ ἤθελε.
πῶς δῆτα τοῦδ' ἐπεγγελῷεν ἂν κάτα;
θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.
πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Αἴας γὰρ αὐτοῖς οὐκ ἔτ' ἐστίν· ἀλλ' ἐμοὶ
λιπὼν ἀνίας καὶ γόους διοίχεται.

## ΤΕΥΚΡΟΣ.

ἰώ μοι μοι.
ΧΟ. σίγησον. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν,
βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.
ΤΕΥ. ὦ φίλτατ' Αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοί,
ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;
ΧΟ. ὄλωλεν ὡνὴρ, Τεῦκρε, τοῦτ' ἐπίστασο.
ΤΕΥ. ὤ μοι, βαρείας ἆρα τῆς ἐμῆς τύχης.
ΧΟ. ὡς ὧδ' ἐχόντων---
ΤΕΥ. ὦ τάλας ἐγὼ, τάλας.
ΧΟ. πάρα στενάζειν.
ΤΕΥ. ὦ περισπερχὲς πάθος.
ΧΟ. ἄγαν γε, Τεῦκρε.

969. πῶς δῆτα. Sic membr. D. E. In aliis, ut in Aldina, τί δῆτα.

973. λιπὼν ἀνίας καὶ γόους. Quam prosodiæ peritus fuerit Triclinius, cum ex superiore nota ad v. 951. tum ex hoc versu existimare licet. Fulcro versum indigere ratus scripsit ἀνίας τε καὶ γόους. Atqui nomen ἀνία apud Tragicos mediam semper, ni fallor, producit. Sic supra, 266. verbum ἀνιῷν, et mox v. 994. Vide infra, 1005. 1138.

978. ἠμπόληκας. Scholion ineditum: ἐμπολῶ, τὸ ἀπὸ πραγματείας κερδαίνω. ἐμπολὴ, ἡ λεγομένη πρᾶσις. ἀπὸ ταύτης τῆς ἐμπολῆς καὶ τὸ ἠμπόληκας νῦν, ἀντὶ τοῦ ἐκέρδανας. δοκεῖ γὰρ ὁ Αἴας κερδάναι, τὸ οἰκεῖον θέλημα πληρώσας.

979. ὄλωλεν ὡνήρ. Perperam vulgo ἀνήρ. Sic etiam correctum v. 991.

982. Hesych. περισπερχής. περιώδυνος. Eustathius ad Il. δ'. p. 442. Ἔστι δὲ ἀσπερχὲς, τὸ πολυσπούδαστον, ὃ περισπερχὲς λέγει ὁ Σοφοκλῆς, κατ' ἐπίτασιν καὶ αὐτός. ἁπλοῦν δὲ αὐτοῦ ῥητὸν, οὐ τὸ σπερχὲς, ἀλλὰ τὸ σπερχνὸν, ὅμοιον ὂν τῷ τερπνὸν καὶ στυγνόν. Inde nomen substantivum ἡ πολυσπέρχεια, et nomen proprium Πολυσπέρχων.

ΤΕΥ. φεῦ τάλας. τί γὰρ τέκνον
τὸ τοῦδε; ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;
ΧΟ. μόνος παρὰ σκηναῖσιν.
ΤΕΥ. οὐχ ὅσον τάχος
δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις, ὡς κενῆς
σκύμνον λεαίνης, δυσμενῶν ἀναρπάσῃ;
ἴθ', ἐγκόνει, ξύγκαμνε. τοῖς θανοῦσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.
ΧΟ. καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τοῦδέ σοι μέλειν
ἐφίεθ' ὡνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.
ΤΕΥ. ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
ἄλγιστον, ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ·
ὁδός θ' ὁδῶν πασῶν ἀνιάσασα δὴ
μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην,
ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην
μόρον, διώκων, κἀξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου βάξις, ὡς θεοῦ τινός,
διῆλθ' Ἀχαιοὺς πάντας, ὡς οἴχῃ θανών.
ἃ 'γὼ κλύων δείλαιος, ἐκποδὼν μὲν ὤν,
ὑπεστέναζον· νῦν δ' ὁρῶν, ἀπόλλυμαι.
οἴ μοι.
ἴθ', ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
ὦ δυσθέατον ὄμμα, καὶ τόλμης πικρᾶς,
ὅσας ἀνίας μοι κατασπείρας φθίνεις.

994. ὁδός θ' ὁδῶν πασῶν. Sic membr. D. E. T. In C. meo, et in Aldina ἁπασῶν, reclamante metro. Invenusti sunt hujus versus numeri, in quo nulla cæsura est. Emendationis, quam olim feceram, haud me pœnitet: Ὁδῶν θ' ἁπασῶν ὁδὸς ἀνιάσασα δή. Turnebus nescio unde edidit: Ὁδός τ' ἀνιάσασα δὴ πασῶν ὁδῶν.

1000. ἃ 'γὼ κλύων δείλαιος. Sic membr. D. E. In aliis, ut in Aldina, δύστηνος. gl. ἄθλιος.

1004. Scribere poterat ὦ δυσθέατον ὄμμα καὶ τόλμη πικρά. Quia vero admirandi particula ὦ cum genitivo etiam construitur, utramque syntaxin adhibuit. Vide Eustathium p. 409. l. ultima. Sed genitivi τόλμης πικρᾶς etiam ab ὄμμα pendere possunt, quod mihi verius videtur.

1005. Ut in v. 1073. imperita Triclinii audacia τε inferserat, ita in

ποῖ γὰρ μολεῖν μοι δυνατὸν, ἐς ποίους βροτοὺς,
τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
ἦ που Τελαμὼν, ὁ σὸς πατὴρ, ἐμός θ' ἅμα,
δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἴσως,
χωροῦντ' ἄνευ σοῦ; πῶς γὰρ οὔχ; ὅτῳ πάρα
μηδ' εὐτυχοῦντι μηδὲν ἥδιον γελᾷν.
οὗτος τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν;
τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σὲ, φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
κράτη θανόντος, καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρὺς,
ἐρεῖ, πρὸς οὐδὲν εἰς ἔριν θυμούμενος.
τέλος δ', ἀπωστὸς γῆς ἀποῤῥιφθήσομαι,
δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δ' ἐμοὶ
πολλοὶ μὲν ἐχθροὶ, παῦρα δ' ὠφελήσιμα.

hoc ex ejusdem recensione legitur *ὅσας ἀνίας γέ μοι*. Sic in codice scriptum est. At hîc Turnebus parum sibi constans particulam omisit.

1006. *ποῖ γὰρ μολεῖν μοι δυνατόν*. Suidas in *ποῖ* legit *μολεῖν με*.

1008. *ὁ σὸς πατήρ*. Sic est apud Suidam loco modo laudato. At in *εὐπρόσωπος*, ubi hic versus etiam profertur, omissus est, ut in Tragici exemplaribus, articulus *ὁ*, qui salvo metro abesse non potest. Utroque in loco Suidas legit *ἐμός τ' ἴσως*, quod præferunt codices aliquot, qui in fine sequentis versus pro varia lectione habent *ἅμα*. Vide Toupium ad Suidam i. 160. et iii. 94. Viro doctissimo fraudi fuit Kusteri editio. Mediolanensem inspexissit, alteram suam conjecturam, quam prætulimus, confirmatam auctoritate Suidæ vidisset. Ceterum quod illi magis arridebat, *ἦ που με Τελαμὼν, σὸς πατὴρ*, haud deterius est, immo numerosiorem concinnat versum.

1022. *πολλοὶ μὲν ἐχθροὶ, παῦρα δ' ὠφελήσιμα*. Sic omnino legendum. Scripti libri habent *παῦρα δ' ὠφελήσιμοι*: Aldus vero *παῦροι δ' ὠφελήσιμοι*. Hoc metri lex plane respuit: illud pæne absurdum sensum efficit: *πολλοὶ μὲν ἐχθροὶ, κατὰ δὲ τὰ ὀλίγα ὠφελήσιμοι*. Sic qui hostes essent, iidem, licet parum, juvarent tamen; quod a sententia alienum est. Quam hîc nemo non intelligit esse debere oppositionem, nulla erit, si *παῦρα* adverbialiter vel elliptice accipiatur, ut in Sosiphanis versu quem citavi supra: *Ὦ δυστυχεῖς μὲν πολλὰ, παῦρα δ' ὄλβιοι Βροτοί*. Cui simile est istud in Euripidis Medea, *Ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες*. In istis oppositio est, non inter personas, sed inter personarum

καὶ ταῦθ' ἅπαντα σοῦ θανόντος εὑρόμην.
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ
φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
ἔμελλέ σ' Ἕκτωρ, καὶ θανὼν, ἀποφθίσειν;
σκέψασθε, πρὸς θεῶν, τὴν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μὲν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
ζωστῆρι πρισθεὶς, ἱππικῶν ἐξ ἀντύγων
ἐγνάπτετ' αἰὲν, ἕς τ' ἀπέψυξεν βίον·
οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων,
πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι.
ἆρ' οὐκ Ἐριννὺς τοῦτ' ἐχάλκευσε ξίφος,
κἀκεῖνον Ἅιδης, δημιουργὸς ἄγριος;
ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς·
ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
κεῖνός τ' ἐκεῖνα στεργέτω, κἀγὼ τάδε.

ΧΟ. μὴ τεῖνε μακρὰν, ἀλλ' ὅπως κρύψεις τάφῳ
φράζου τὸν ἄνδρα, χᾦ τι μυθήσει τάχα.
βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
γελῶν, ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.

ΤΕΥ. τίς δ' ἐστὶν, ὅντιν' ἄνδρα προσλεύσσεις στρατοῦ;

earumdem status diversos. Hic vero oppositio esse debet non inter ejusdem rei diversos modos, sed inter res ipsas: *multi mihi sunt inimici: pauca autem adjumenta, quibus confisus, audeam resistere.*

1028. τὴν τύχην. Articulum hic abesse non patitur linguæ indoles: in impressis male omissus est: at eum exhibent codices omnes, etiam is, qui Triclinii recensionem habet, unde eum Turnebus revocare poterat. θεῶν, ut millies, monosyllabon est.

1031. ἐγνάπτετ'. Sic Aldus et præstantiores codd. etiam Triclinianus. In E. ἐγνάμπτετ'. In Augustano ἐκνάπτετ', ut legitur apud Suidam in ἄντυγες. Postrema hæc forma præferenda videri possit, si vera est Grammaticorum observatio, quam protuli ad Comici Plutum 166. ἐκνάπτετ' etiam hic legisse videtur Eustathius, qui verbum κνάπτω e Sophocle citat p. 150.

1035. κἀκεῖνον Ἅιδης. Recte glossa verbum extrinsecus assumendum supplet, ἔπλεξε, κατεσκεύασε. Nam ἐχάλκευσε quod *gladio* aptum, *balteo* seorsum applicari non potest.

ΧΟ. Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.
ΤΕΥ. ὁρῶ. μαθεῖν γὰρ, ἐγγὺς ὢν, οὐ δυσπετής.

## ΜΕΝΕΛΑΟΣ.

οὗτος, σὲ φωνῶ. τόνδε τὸν νεκρὸν χεροῖν
μὴ ξυγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.
ΤΕΥ. τίνος χάριν τοσόνδ' ἀνάλωσας λόγον;
ΜΕ. δοκοῦντ' ἐμοὶ, δοκοῦντά θ', ὃς κραίνει στρατοῦ.
ΤΕΥ. οὔκουν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;
ΜΕ. ὁθ' οὕνεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν
ἄξειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξεύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν.
ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον,
νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δορί·
κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἴληχεν, τύχην,
θανόντες ἂν προὐκείμεθ' αἰσχίστῳ μόρῳ·
οὗτος δ' ἂν ἔζη. νῦν δ' ἐνήλλαξεν θεὸς,
τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν.
ὧν οὕνεκ' αὐτὸν οὔ τις ἔστ' ἀνὴρ σθένων
τοσοῦτον, ὥστε σῶμα τυμβεῦσαι τάφῳ·
ἀλλ' ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος,
ὄρνισι φορβὴ παραλίοις γενήσεται.
πρὸς ταῦτα μηδὲν δεινὸν ἐξάρῃς μένος.
εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν,
πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς,

1049. ἀνάλωσας. Sic Augustanus et meus recte. In reliquis, ut in impressis, ἀνήλωσας. Thomas Mag. ἀνάλωσα καὶ ἀνάλωκα, Ἀττικοί· τὸ δὲ μετὰ αὐξήσεως ταῦτα λέγειν, οἷον ἀνήλωσα καὶ ἀνήλωκα, κοινόν. Vide Valckenarium ad Phœnissas, p. 222. et quæ notavimus ad Comici Plutum 380.

1050. δοκοῦντά θ'. Sic scriptum in C. T. quod aliorum librorum lectioni præstat δοκοῦντα δ'—

1059. αἰσχίστῳ. Sic membr. et tres alii codd. e probatioribus cum Aldo. Triclinius prætulit ἐχθίστῳ.

1068. πάντως θανόντος γ' ἄρξομεν. Particulam γε, quam libri omnes veteres agnoscunt, expunxit Triclinius.

χερσὶν παρευθύνοντες. οὐ γάρ ἐσθ᾽ ὅπου
λόγων ἀκοῦσαι ζῶν ποτ᾽ ἠθέλησ᾽ ἐμῶν.
καί τοι κακοῦ πρὸς ἀνδρὸς, ἄνδρα δημότην
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ᾽ ἂν, ἔνθα μὴ καθέστηκεν δέος·
οὔτ᾽ ἂν στρατός γε σωφρόνως ἄρχοιτ᾽ ἔτι,
μηδὲν φόβου πρόβλημα μηδ᾽ αἰδοῦς ἔχων.
ἀλλ᾽ ἄνδρα χρὴ, κᾂν σῶμα γεννήσῃ μέγα,
δοκεῖν πεσεῖν ἂν, κᾂν ἀπὸ σμικροῦ κακοῦ.

1071. κακοῦ πρὸς ἀνδρός. gl. ἴδιόν ἐστιν ἀνδρὸς κακοτρόπου. Neminem offendit repetitio ejusdem vocis in ἀνδρὸς ἄνδρα. Nihil enim variant codd. Scribere potuit Tragicus ὄντα δημότην.

1074. καθέστηκεν. Sic ex indole linguæ legendum. Aldus καθεστήκει dedit, Turnebus καθεστήκοι, ut scriptum est in membr. pro varia lectione, seu emendatione; nam a prima manu est καθεστήκῃ. In D. καθεστήκει cum glossa ὑπάρχῃ. In Stobæi codice est καθεστήκει, cujus vice Grotius in Floril. p. 165. dedit, nescio qua gratia, παρεστήκει. In E. scriptum fuerat a prima manu καθέστηκε, quod ad tempus vere, sed titubante metro, cui melius consuluimus, quam emendator, qui in fine vocis ι addidit.

1077. κᾂν σῶμα γεννήσῃ μέγα. Glossa in tribus codd. φύσῃ. Temere olim hanc lectionem, quam tuetur librorum omnium consensio, damnavi in nota ad Euripidis Or. 1208. γεννᾷν σῶμα tam bene dicitur, quam φύειν φρένας, quæ locutio occurrit apud nostrum Œd. Col. 804. El. 1463. et ut φύειν φρένας valet φρονεῖν, φρόνιμον γίγνεσθαι, sic σῶμα γεννᾷν μέγα tantumdem est ac μέγαν ἢ ἰσχυρὸν εἶναι τῷ σώματι. Præterquam vero minime emendatione eget hic versus, ne salvo quidem metro admitti posset quod conjeceram, κᾂν σῶμα κτήσηται μέγα. Nuspiam enim apud Atticos scenæ poëtas vocalis ante literas κτ. πτ. σκ. σμ. corripitur, ne quidem in diversis vocibus: sed vocalis brevis ante illas literas semper producitur, ut in hoc Euripidis senario Med. 1046. Λυποῦσαν, αὐτὴν δὶς τόσα κτᾶσθαι κακά. et hoc ipso dramate v. 1360. Τοιούσδ᾽ ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους. et Antig. 204. Μήτε κτερίζειν, μήτε κωκῦσαι τινά. Rata est hæc prosodiæ lex, a qua discessionem nunquam fieri licuisse ostendunt cum alii, tum Marklandus ad Eurip. Suppl. 646. 984. Succurrit tamen Euripidis senarius, qui virum doctissimum fugit, in quo si nihil a librariis peccatum, culpam ipse poëta commeruit. Sed exemplum unicum est, quo lex non labefactatur. Versus est in Ione 1198. Οἰνηρὰ σκεύη μικρὰ, μεγάλα δ᾽ εἰσφέρειν. Verum est, quod ait Marklandus, ab Homeri versibus hexametris ad tragicorum senarios argumentum metricum non recte transferri. Nam vitium hujus senarii frustra defenderetur exemplo Hesiodi, qui hanc licentiam sumere potuit in hoc Operum versu: Εἴη πετραίη τε σκιὴ, καὶ βίβλινος οἶνος.

δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ,
σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο·
ὅπου δ' ὑβρίζειν, δρᾷν θ', ἃ βούλεται, πάρα,
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
ἐξ οὐρίων δραμοῦσαν ἐς βυθὸν πεσεῖν.
ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν, δρῶντες ἅ ̓ν ἡδώμεθα,
οὐκ ἀντιτίσειν αὖθις ἃ ̓ν λυπώμεθα.
ἕρπει παραλλὰξ ταῦτα. πρόσθεν οὗτος ἦν
αἴθων ὑβριστής· νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ,
καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
μὴ, τόνδε θάπτων, αὐτὸς ἐς ταφὰς πέσῃς.

ΧΟ. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς,
εἶτ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.

ΤΕΥ. οὐκ ἄν ποτ', ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ' ἁμαρτάνει,
ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
τοιαῦθ' ἁμαρτάνουσιν, ἐν λόγοις ἔπη.
ἄγ', εἴπ' ἀπ' ἀρχῆς αὖθις, ἦ σὺ φῂς ἄγειν
τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
οὐκ αὐτὸς ἐξέπλευσεν, ὡς αὑτοῦ κρατῶν;
ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δέ σοι λεῶν
ἔξεστ' ἀνάσσειν, ὧν ὅδ' ἡγεῖτ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν·
οὐδ' ἔσθ' ὅπου σοι τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς, ἢ καὶ τῷδέ σε.

1079. αἰσχύνη. gl. αἰδώς. Sumptum ex Homerico ἴσχε γὰρ αἰδὼς καὶ δέος, ut observat Eustathius p. 1036.

1085. ἅ ̓ν, quod divisim scribitur pro ἃ ἂν, et ob crasin producitur, in Aldina perperam excusum ἄν. Itidem peccatum fuit in Stobæo Floril. Grotii p. 167. at in Regio cod. scriptum ἅ'ν.

1093. Eadem sententia apud Euripidem Hippol. 414. Ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ, Ἦ κάρτα δόξει τοῖς κακοῖς εἶναι καλά.

1100. ποῦ σὺ στρατηγεῖς. Sic codd. omnes nostri. Gl. ἀντὶ τοῦ ἐστρατήγεις. Nihil vulgatius hac temporum variatione. Sic in seq. v. ἔξεστι pro ἐξῆν, et 1301. ἴσχει pro ἴσχε.

ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων
στρατηγὸς, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.
ἀλλ' ὧνπερ ἄρχεις ἄρχε, καὶ τὰ σέμν' ἔπη
κόλαζ' ἐκείνους· τόνδε δ', εἴτε μὴ σὺ φῇς,
εἴθ' ἅτερος στρατηγὸς, ἐς ταφὰς ἐγὼ
θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
οὐ γάρ τι τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
γυναικὸς, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ·
ἀλλ' οὕνεχ' ὅρκων, οἷσιν ἦν ἐνώμοτος,
σοῦ δ' οὐδέν. οὐ γὰρ ἠξίου τοὺς μηδένας.
πρὸς ταῦτα, πλείους δεῦρο κήρυκας λαβὼν,
καὶ τὸν στρατηγὸν, ἧκε· τοῦ δὲ σοῦ ψόφου
οὐκ ἂν στραφείην, ἕς τ' ἂν ᾖς οἷός περ εἶ.
ΧΟ. οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
τὰ σκληρὰ γάρ τοι, κᾂν ὑπέρδικ' ᾖ, δάκνει.
ΜΕ. ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.
ΤΕΥ. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.
ΜΕ. μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.
ΤΕΥ. κᾂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.

1108. κόλαζ' ἐκείνους. Sic libri omnes. Gl. κολάζων ἐκείνους λέγε τὰ σεμνὰ ἔπη. Ex alia glossa δίδασκε τοὺς ἀρχομένους ὑπὸ σοῦ. ἢ τοὺς σεμνοὺς λόγους, non sequitur a nonnullis lectitatum olim fuisse ἐκεῖνα, quod tamen vulgato non esset deterius, et Toupio reponendum omnino videtur in Epistola de Syracusiis Theocriti p. 338.

1113. ἐνώμοτος. Sic membr. D. E. sic etiam in C. ex correctione, seu pro varia lectione. In aliis, ut in impressis, ἐπώμοτος.

1117. ἕς τ' ἂν ᾖς οἷός περ εἶ. Mendose in libris omnibus ὡς ἂν ᾖς. Nunquam Græci scriptores ὡς adhibuerunt pro ἕως. Nihil aliud ὡς ἂν significare potest, quam *ut*. Hoc satis adstruxi ad Eurip. Phœn. 89. ἕς τε, ἕς τ' ἂν frequentant poëtæ pro μέχρις οὗ, ἕως ἂν, ut in hac ipsa fabula 1030. 1183. In Apollonii Rhodii Argonauticis ii. 252. ἕς τ' ἂν ὀμόσσης. et iv. 1581. ἕς τ' ἂν ἄνω τείνησι. salvo metro scribi poterat ὡς ἂν ὀμόσσης. ὡς ἂν ἄνω τείνησι. sed pessum dato sensu. Nec magis per linguæ indolem ὡς ἂν pro ἕς τ' ἂν scribere possis in hoc Euripidis loco ex Alcestide v. 343. Οἴσω δὲ πένθος οὐκ ἐτήσιον τόδε· Ἀλλ' ἕς τ' ἂν αἰὼν οὑμὸς ἀντέχῃ, γύναι. ἕς τ' ἂν frequentat etiam Attici scriptores pedestri sermone. Lucianus in Toxaride, p. 543. eadem sententia qua hic: ἕς τ' ἂν αὐτὸς ᾖ ὅσπερ ἐστίν.

1118. Ad chori partes hunc versum et sequentem pertinere manifestum est, quorum prior vulgo Menelao tribuitur, alter Teucro.

ΜΕ. ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.
ΤΕΥ. ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστι φρονεῖν.
ΜΕ. δίκαια γὰρ τόνδ' εὐτυχεῖν, κτείναντά με;
ΤΕΥ. κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.
ΜΕ. θεὸς γὰρ ἐκσώζει με, τῷδε δ' οἴχομαι.
ΤΕΥ. μὴ νῦν ἀτίμα θεοὺς, θεοῖς σεσωσμένος.
ΜΕ. ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
ΤΕΥ. εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.
ΜΕ. τούς γ' αὐτὸς αὑτοῦ πολεμίους. οὐ γὰρ καλόν.
ΤΕΥ. ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
ΜΕ. μισοῦντ' ἐμίσουν. καὶ σὺ τοῦτ' ἠπίστασο.
ΤΕΥ. κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης.
ΜΕ. ἐν τοῖς δικασταῖς, οὐκ ἐμοὶ, τόδ' ἐσφάλη.
ΤΕΥ. πόλλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακά.
ΜΕ. τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεται τινί.
ΤΕΥ. οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.
ΜΕ. ἕν σοι φράσω. τόνδ' ἐστὶν οὐχὶ θαπτέον.
ΤΕΥ. σὺ δ' ἀντακούσει τοῦτον, ὡς τεθάψεται.
ΜΕ. ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν,
ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,

1124. *ὡς δεινὸν τρέφει.* Sic libri veteres. glossa *μέγαν*, quod Triclinius in textum intulit, *ὡς μέγαν τρέφει.*

1134. *μισοῦντ' ἐμίσουν.* Sic liquido in C. absque varietate, et in D. pro varia lectione vulgatæ *ἐμίσει* superscripta.

1136. *οὐκ ἐμοί.* Sic quatuor codd. In aliis, ut in impressis, *κοὐκ ἐμοί.*

1138. *τινὶ* indefinite cum ironia. Sic apud Comicum in Ranis, 552. *κακὸν ἥκει τινί.* et paulo post *δώσει τις δίκην.* Hîc rursus Triclinius particulam *γε* infersit post *ἀνίαν*, quam vocem pro anapæsto habebat.

1141. *σὺ δ' ἀντακούσει τοῦτον, ὡς τεθάψεται.* Sic libri omnes, nisi quod obliterata Attica forma *ἀντακούσῃ* exhibent. Vereor ne nimis ingeniosus fuerit Valckenarius meus, cujus arguta quidem est conjectura prolata ad Euripidis Phœn. p. 555. *Σὺ δ' ἀντάκου' ἐν τοῦτό γ', ὡς τεθάψεται.* Equidem facile patior poëtam hîc fuisse negligentem: nec medium *ἀντακούσομαι* magis damno, quam *ὠνομάζετο* in prioris Œdipi v. 1021. Multa sunt verba quorum futurum medium Atticis præ activo placuit. Simplex *ἀκούσομαι* pro *ἀκούσω* usitatissimum est; quidni item composito *ἀντακούσομαι* usi fuissent?

1143. *ναύτας.* Sic libri omnes veteres. Triclinius inepte *ναύταις* per ellipsin præpositionis *σύν*.

ᾧ φθέγμ' ἂν οὐκ ἂν εὗρες, ἡνίκ' ἐν κακῷ
χειμῶνος εἴχετ', ἀλλ' ὑφ' εἵματος κρυβεὶς,
πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων.
οὕτω δὲ καὶ σὲ, καὶ τὸ σὸν λάβρον στόμα,
σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας
χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.
ΤΕΥ. ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων,
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
κᾆτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ,
ὀργήν θ' ὁμοῖος, εἶπε τοιοῦτον λόγον·
Ἄνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς.
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος. ---
τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
ὁρῶ δέ τοι νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ' ἄλλος ἢ σύ. μῶν ἠνιξάμην;
ΜΕ. ἄπειμι. καὶ γὰρ αἰσχρὸν, εἰ πύθοιτό τις,
λόγοις κολάζειν, ᾧ βιάζεσθαι πάρα,
ΤΕΥ. ἄφερπέ νυν. κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου, φλαῦρ' ἔπη μυθουμένου.
ΧΟ. ἔσται μεγάλης ἔριδός τις ἀγών.
ἀλλ', ὡς δύνασαι, Τεῦκρε, ταχύνας,
σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὐρώεντα καθέξει.
ΤΕΥ. καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνὴ,
τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας

1145. κρυβεὶς. Mendose in Aldina et compluribus codd. κρυφεὶς, quod e glossa κρυφθεὶς ortum. At seq. v. ναυτίλῳ in sola Aldina operarum forte peccatum est.

1154. ἄνθρωπε. Sic membr. et tres alii codd. In reliquis, ut in Aldina, ὤνθρωπε.

1156. Eustathius p. 1364. ὄλβος, ἡ εὐδαιμονία, ἢ ἡ φρόνησις.---ἄνολβος δὲ παρὰ Σοφοκλεῖ ὁ ἀπαίδευτος ἐν τῷ· ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.

ἱκέτης ἔφαψαι πατρὸς, ὅς σ᾽ ἐγείνατο.
θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων
κόμας ἐμὰς, καὶ τῆσδε, καὶ σαυτοῦ τρίτου,
ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
βίᾳ σ᾽ ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς,
γένους ἅπαντος ῥίζαν ἐξημημένος
αὔτως, ὅπωσπερ τόνδ᾽ ἐγὼ τέμνω πλόκον.
ἔχ᾽ αὐτὸν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς τε μὴ γυναῖκες ἀντ᾽ ἀνδρῶν πέλας
παρέστατ᾽, ἀλλ᾽ ἀρήγετ᾽, ἔς τ᾽ ἐγὼ μόλω
τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.

## ΧΟΡΟΣ.

Τίς ἄρα νέατος; ἐς πότε λήξει — στροφὴ α'.
πολυπλάγκτων ἐτέων ἀριθμὸς,
τὰν ἄπαυστον αἰὲν ἐμοὶ
δορυσσόντων μόχθων
ἄταν ἐπάγων
ἀνὰ τὰν εὐρώδη Τροίαν,
δύστανον ὄνειδος Ἑλλάνων;
ὄφελε πρότερον αἰθέρα δῦναι — ἀντιστρ. α'.
μέγαν, ἢ τὸν πολύκοινον Ἅδαν,
κεῖνος ἀνὴρ, ὃς στυγερῶν
ἔδειξ᾽ ὅπλων Ἕλλα-
σιν κοινὸν Ἄρη.
ἰὼ πόνοι πρόγονοι πόνων.

1188. δορυσσόντων. gl. πολεμικῶν. μετοχὴ ἀντὶ ὀνόματος. μόχθων, καμάτων. ἄταν, βλάβην. Verbum est δορύσσω, futurum δορύσω, cujus participium frustra solicitant viri docti in Eurip. Heracl. 777. Πόρευσον ἄλλᾳ τὸν οὐ δικαίως Τᾷδ᾽ ἐπάγοντα δορύσσοντα Στρατὸν Ἄργοθεν. Ad verbum δορύσοντα reddas *hasta pugnaturum*.

1190. ἀνὰ τὰν εὐρώδη. gl. κατὰ τὴν σεσηπημένην, ἔνθα ἐχρονίσαμεν. λέγεται δὲ ἀντὶ τοῦ σήπουσαν.

1197. ἰὼ πόνοι. gl. διὰ μέσου τοῦτο.

κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.
ἐκεῖνος οὔτε στεφάνων, στροφὴ β'.
οὔτε βαθειᾶν κυλίκων
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον,
δύσμορος, οὔτ' ἐννυχίαν
τέρψιν ἰαύειν
ἐρώτων·
ἐρώτων δ' ἀπέπαυσεν, ὤ μοι.
κεῖμαι δ' ἀμέριμνος οὕτως,
ἀεὶ πυκιναῖς δρόσοις
τεγγόμενος κόμας, λυγρᾶς
μνήματα Τροίας.
καὶ πρὶν μὲν οὖν ἐννυχίου ἀντιστρ. β'.
δείματος ἦν μοι προβολὰ
καὶ βελέων θούριος Αἴας·
νῦν δ' οὗτος ἀνεῖται στυγερῷ
δαίμονι. τίς μοι, τίς ἔτ' οὖν
τέρψις ἐπέσται;
γενοίμαν
ἵν' ὑλᾶεν ἔπεστι πόντου
πρόβλημ' ἁλίκλυστον, ἄκραν
ὑπὸ πλάκα Σουνίου,
τὰς ἱερὰς ὅπως προσεί-
ποιμ' ἂν Ἀθάνας.

ΤΕΥ. Καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον·

1201. *τέρψιν ὁμιλεῖν.* gl. *ὥστε διατρίβειν.* Eadem structuræ ratione, eodemque sensu ac paulo infra *ἰαύειν*, quod etiam *διατρίβειν* significat.

1209. *λυγρᾶς μνήματα Τροίας.* Vulgo *λυγρὰς* ad *κόμας* relatum: quod Triclinius tuetur advocata hypallage, cujus exemplum est in Antig. 974. Sed mendosum et plane ineptum mihi videtur. Gl. *ἀντὶ τοῦ εἰς μνημόσυνον τῆς Τροίας, ἤγουν ἵνα μνήμην ἔχω τῆς Τροίας.*

1222. *ὅπως προσείποιμ' ἄν.* Mendose vulgo *προσείποιμεν.* Scriptum primo fuerat ab incauto librario *προσείποιμι*, quod in meo remansit, absque *ἄν*: unde, ut hiatum tolleret, corrector fecit *προσείποιμεν.*

δῆλος δ' ἐμοί 'στι σκαιὸν ἐκλύσων στόμα.

## ΑΓΑΜΕΜΝΩΝ.

σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτὶ χανεῖν.
σέ τοι τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω.
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο
ὑψήλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις,
ὅτ' οὐδὲν ὢν, τοῦ μηδὲν ἀντέστης ὕπερ.
κοὔτε στρατηγοὺς, οὔτε ναυάρχους μολεῖν
ἡμᾶς 'Αχαιῶν, οὔτε σοῦ, διωμόσω,
ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῂς Αἴας ἔπλει.
ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
* ποῖ βάντος, ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;
οὐκ ἄρ' 'Αχαιοῖς ἄνδρες εἰσὶ, πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν 'Αχιλλείων ὅπλων
ἀγῶνας 'Αργείοισι κηρύξαι τότε,
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοὶ,
κοὐκ ἀρκέσει ποθ' ὑμὶν, οὐδ' ἡσσημένοις,
εἴκειν, ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς·

* ποῦ edd. 1. 2.

1227. ἀνοιμωκτί. Sic in C. in August. et meo, ut apud Eustathium etiam legitur p. 723. Sic ἀστακτὶ ultimam producit in Œd. Col. 1646. ἀσπακτὶ in Comici Concion. 464.

1230. ὑψήλ' ἐκόμπεις. Quidam codd. ἐφρόνεις, reclamante metro. Inde ortum quod in aliis et in Aldina est, ἐφώνεις. Hoc habet D. in contextu, et supra γρ. ἐκόμπεις. gl. ἐμεγαλοῤῥημόνεις. Hesychius itidem κομπεῖ, μεγαλοῤῥημονεῖ, ψοφεῖ. Nostram lectionem agnoscit Comici scholiastes ad Acharn. 638.

1237. ποῖ βάντος, ἢ ποῦ στάντος. Sic bene cod. meus. In aliis ποῦ βάντος. Cum verbis motus adhibetur ποῖ, non ποῦ. Supra, 1006. ποῖ γὰρ μολεῖν μοι δυνατόν; Ista, ut ὅποι et ὅπου, a librariis sæpissime commutata. Vide ad Œd. Col. 23. et Philoct. 833. Glossa: βάντος, πορευθέντος.

1241. εἰ πανταχοῦ φανούμεθ'. Sic bene membr. aliique codd. cum Aldo. In quibusdam φανοίμεθ'. In T. φανοίμεθ', et v. seq. ἀρκέσοι, ne modi varientur scilicet. Immo in C. βάλωσι: quæ omnia sunt librariorum ludibria.

1242. ἀρκέσει. gl. ἀρκετὸν ἔσται.

ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που,
ἢ ξὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι.
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν,
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
ἀλλ' εἰρκτέον τάδ' ἐστίν. οὐ γὰρ οἱ πλατεῖς,
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι·
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰς βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσει τινά·
ὃς ἀνδρὸς οὐκ ἔτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκ ἔτ' ἂν μάθοιμ' ἐγώ·
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.
ΧΟ. εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.
ΤΕΥ. φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαῤῥεῖ, καὶ προδοῦσ' ἁλίσκεται,
εἰ σοῦ γ' ὅδ' ὡνὴρ οὐδ' ἐπὶ σμικρῶν λόγων,

1249. *εἰς τὸ πρόσθεν ἄξομεν*. gl. *προτιμήσομεν*.

1253. *μέγας δὲ πλευρὰς βοῦς*. In T. ut apud Stobæum Floril. Grotii p. 15. *πλευρά*. In D. et in meo *πλευρὰν*, quod ob jucundiorem sonum præferri poterat.

1264. *σωφρονεῖν*. gl. *εἰρηνεύειν, καὶ μὴ κατ' ἀλλήλων μαίνεσθαι*.

1268. *οὐδ' ἐπὶ σμικρῶν λόγων*. Sic Aldus et veteres codd. recte. Triclinius inepte aliam lectionem secutus est, nisi ipse eam excogitavit, *οὐδ' ἐπὶ σμικρῶν πόνων*. Ignoravit scilicet nomina *ἔπος, λόγος* sæpe nihil aliud significare quam *rem* in genere, quod observavimus ad Œd. Col. 443. Sic Comicus in Concion. 750. *Οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν Οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ*. *pro nulla re, nulla de causa.* Supra, v. 477. ubi Ajax ait, *Οὐκ ἂν πριαίμην*

δῆλος δ' ἐμοί 'στι σκαιὸν ἐκλύσων στόμα.

## ΑΓΑΜΕΜΝΩΝ.

σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτὶ χανεῖν.
σέ τοι τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω.
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο
ὑψήλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις,
ὅτ' οὐδὲν ὢν, τοῦ μηδὲν ἀντέστης ὕπερ.
κοὔτε στρατηγοὺς, οὔτε ναυάρχους μολεῖν
ἡμᾶς 'Αχαιῶν, οὔτε σοῦ, διωμόσω,
ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῂς Αἴας ἔπλει.
ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
* ποῖ βάντος, ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;
οὐκ ἄρ' 'Αχαιοῖς ἄνδρες εἰσὶ, πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν 'Αχιλλείων ὅπλων
ἀγῶνας 'Αργείοισι κηρύξαι τότε,
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοὶ,
κοὐκ ἀρκέσει ποθ' ὑμὶν, οὐδ' ἡσσημένοις,
εἴκειν, ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς·

* ποῦ edd. 1. 2.

1227. ἀνοιμωκτί. Sic in C. in August. et meo, ut apud Eustathium etiam legitur p. 723. Sic ἀσακτὶ ultimam producit in Œd. Col. 1646. ἀντικαντὶ in Comici Concion. 464.

1230. ὑψήλ' ἐκόμπεις. Quidam codd. ἐφρόνεις, reclamante metro. Inde ortum quod in aliis et in Aldina est, ἐφώνεις. Hoc habet D. in contextu, et supra γρ. ἐκόμπεις. gl. ἐμεγαλοῤῥημόνεις. Hesychius itidem κομπεῖ, μεγαλοῤῥημονεῖ, ψοφεῖ. Nostram lectionem agnoscit Comici scholiastes ad Acharn. 638.

1237. ποῖ βάντος, ἢ ποῦ στάντος. Sic bene cod. meus. In aliis ποῦ βάντος. Cum verbis motus adhibetur ποῖ, non ποῦ. Supra, 1006. ποῖ γὰρ μολεῖν μοι δυνατόν; Ista, ut ὅποι et ὅπου, a librariis sæpissime commutata. Vide ad Œd. Col. 23. et Philoct. 833. Glossa: βάντος, πορευθέντος.

1241. εἰ πανταχοῦ φανούμεθ'. Sic bene membr. aliique codd. cum Aldo. In quibusdam φανοίμεθ'. In T. φανοίμεθ', et v. seq. ἀρκέσοι, ne modi varientur scilicet. Immo in C. βάλλοντα: quæ omnia sunt librariorum ludibria.

1242. ἀρκέσει. gl. ἀρκετὸν ἔσται.

ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που,
ἢ ξὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι.
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν,
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
ἀλλ' εἰρκτέον τάδ' ἐστίν. οὐ γὰρ οἱ πλατεῖς,
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι·
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰς βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσει τινά·
ὃς ἀνδρὸς οὐκ ἔτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκ ἔτ' ἂν μάθοιμ' ἐγώ·
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.

ΧΟ. εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.

ΤΕΥ. φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαῤῥεῖ, καὶ προδοῦσ' ἁλίσκεται,
εἰ σοῦ γ' ὅδ' ὡνὴρ οὐδ' ἐπὶ σμικρῶν λόγων,

1249. *εἰς τὸ πρόσθεν ἄξομεν*. gl. *προτιμήσομεν*.

1253. *μέγας δὲ πλευρὰς βοῦς*. In T. ut apud Stobæum Floril. Grotii p. 15. *πλευρά*. In D. et in meo *πλευρὰν*, quod ob jucundiorem sonum præferri poterat.

1264. *σωφρονεῖν*. gl. *εἰρηνεύειν, καὶ μὴ κατ' ἀλλήλων μαίνεσθαι*.

1268. *οὐδ' ἐπὶ σμικρῶν λόγων*. Sic Aldus et veteres codd. recte. Triclinius inepte aliam lectionem secutus est, nisi ipse eam excogitavit, *οὐδ' ἐπὶ σμικρῶν πόνων*. Ignoravit scilicet nomina *ἔπος, λόγος* sæpe nihil aliud significare quam *rem* in genere, quod observavimus ad Œd. Col. 443. Sic Comicus in Concion. 750. *Οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν Οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ*. *pro nulla re, nulla de causa*. Supra, v. 477. ubi Ajax ait, *Οὐκ ἂν πριαίμην*

δῆλος δ' ἐμοί 'στι σκαιὸν ἐκλύσων στόμα.

## ΑΓΑΜΕΜΝΩΝ.

σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτὶ χανεῖν.
σέ τοι τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω.
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο
ὑψήλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις,
ὅτ' οὐδὲν ὢν, τοῦ μηδὲν ἀντέστης ὕπερ.
κοὔτε στρατηγοὺς, οὔτε ναυάρχους μολεῖν
ἡμᾶς 'Αχαιῶν, οὔτε σοῦ, διωμόσω,
ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῂς Αἴας ἔπλει.
ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
* ποῖ βάντος, ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;
οὐκ ἆρ' 'Αχαιοῖς ἄνδρες εἰσὶ, πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν 'Αχιλλείων ὅπλων
ἀγῶνας 'Αργείοισι κηρῦξαι τότε,
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοὶ,
κοὐκ ἀρκέσει ποθ' ὑμὶν, οὐδ' ἡσσημένοις,
εἴκειν, ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς·

* ποῦ edd. 1. 2.

1227. ἀνοιμωκτί. Sic in C. in August. et meo, ut apud Eustathium etiam legitur p. 723. Sic ἀστακτὶ ultimam producit in Œd. Col. 1646. ἀστικακτὶ in Comici Concion. 464.

1230. ὑψήλ' ἐκόμπεις. Quidam codd. ἐφρόνεις, reclamante metro. Inde ortum quod in aliis et in Aldina est, ἐφώνεις. Hoc habet D. in contextu, et supra γρ. ἐκόμπεις. gl. ἐμεγαλοῤῥημόνεις. Hesychius itidem κομπεῖ, μεγαλοῤῥημονεῖ, ψοφεῖ. Nostram lectionem agnoscit Comici scholiastes ad Acharn. 638.

1237. ποῖ βάντος, ἢ ποῦ στάντος. Sic bene cod. meus. In aliis ποῦ βάντος. Cum verbis motus adhibetur ποῖ, non ποῦ. Supra, 1006. ποῖ γὰρ μολεῖν μοι δυνατόν; Ista, ut ὅποι et ὅπου, a librariis sæpissime commutata. Vide ad Œd. Col. 23. et Philoct. 833. Glossa: βάντος, πορευθέντος.

1241. εἰ πανταχοῦ φανούμεθ'. Sic bene membr. aliique codd. cum Aldo. In quibusdam φανοίμεθ'. In T. φανοίμεθ', et v. seq. ἀρκέσοι, ne modi varientur scilicet. Immo in C. βάλλοντος: quæ omnia sunt librariorum ludibria.

1242. ἀρκέσει. gl. ἀρκετὸν ἔσται.

ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που,
ἢ ξὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι.
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν,
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
ἀλλ' εἰρκτέον τάδ' ἐστίν. οὐ γὰρ οἱ πλατεῖς,
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι·
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰς βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσει τινά·
ὃς ἀνδρὸς οὐκ ἔτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκ ἔτ' ἂν μάθοιμ' ἐγώ·
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.
ΧΟ. εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.
ΤΕΥ. φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαρρεῖ, καὶ προδοῦσ' ἁλίσκεται,
εἰ σοῦ γ' ὅδ' ὡνὴρ οὐδ' ἐπὶ σμικρῶν λόγων,

1249. *εἰς τὸ πρόσθεν ἄξομεν*. gl. *προτιμήσομεν*.

1253. *μέγας δὲ πλευρὰς βοῦς*. In T. ut apud Stobæum Floril. Grotii p. 15. *πλευρά*. In D. et in meo *πλευρὰν*, quod ob jucundiorem sonum præferri poterat.

1264. *σωφρονεῖν*. gl. *εἰρηνεύειν, καὶ μὴ κατ' ἀλλήλων μαίνεσθαι*.

1268. *οὐδ' ἐπὶ σμικρῶν λόγων*. Sic Aldus et veteres codd. recte. Triclinius inepte aliam lectionem secutus est, nisi ipse eam excogitavit, *οὐδ' ἐπὶ σμικρῶν πόνων*. Ignoravit scilicet nomina *ἔπος, λόγος* sæpe nihil aliud significare quam *rem* in genere, quod observavimus ad Œd. Col. 443. Sic Comicus in Concion. 750. *Οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν Οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ*. *pro nulla re, nulla de causa*. Supra, v. 477. ubi Ajax ait, *Οὐκ ἂν πριαίμην*

Αἴας, ἔτ' ἴσχει μῆστιν, οὗ σὺ πολλάκις
τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορί·
ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐῤῥιμμένα.
ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη,
οὐ μνημονεύεις οὐκ ἔτ' οὐδὲν, ἡνίκα
ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλεισμένους,
ἤδη τὸ μηδὲν ὄντας ἐν τροπῇ δορὸς,
ἐῤῥύσατ' ἐλθὼν μοῦνος· ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
πυρὸς φλέγοντος, ἐς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,
ὃν οὐδαμοῦ φῂς οὐδὲ συμβῆναι ποδί;
ἆρ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἔνδικα;
χὤτ' αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου,
λαχών τε κἀκέλευστος, ἦλθ' ἐναντίος,
οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθεὶς
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου

οὐδενὸς λόγου βροτὸν, non plus hæc verba minusve valent, ac si comico sermone dixisset οὐκ ἂν ἐρεβίνθου πριαίμην, *vilissimo pretio non emerem.* Ita hìc οὐδ' ἐπὶ σμικρῶν λόγων valet *ne minimum quidem.* Legitur vulgo initio hujus versus εἰ σοῦ γ' ὅδ' ἀνὴρ, quod mendosum esse alibi declaravimus. In D. superscripta est glossa, ὅδε ὁ ἀνὴρ, quod sane mirum videri debet: nam voces ὅδ' ἀνὴρ neque illa, nec quavis alia explicatione indigebant. Verum refertur ista glossa ad veterem scripturam, quam restituimus, ὅδ' ὡνήρ.

1270. τὴν σὴν προτείνων ψυχήν. Ex Homerico Il. ί. 322. Αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.

1272. κἀνόνητ'. Membr. et E. κἀνόητ'. In D. litura deleta litera ν, et glossa superscripta μωρὰ καὶ ἀνόητα. In T. κἀνόητ' est a prima manu; postmodo ν superne additum fuit, cum glossa μωρὰ καὶ ἀνωφελῆ. Bona est utraque lectio; sed nostra, quam tuentur alii probati libri et Aldus, genuina videtur. ὦ πολλὰ λέξας καὶ ἀνόνητα ἔπη, eodem sensu dictum, ac apud Comicum ὦ πόλλ' ἀναλώσας ἔπη, quod hic alibi dicit μάτην ἀναλίσκειν. Altera lectio ex glossa orta est, quæ ἀνόνητα explicat per μωρὰ καὶ ἀνόητα.

1286. ὑγρᾶς ἀρούρας βῶλον. Alludit ad Cresphontis dolum, quo, quum ducerentur sortes de Peloponnesi divisione inter Herculis posteros, Messeniam, quam cupiebat, obtinuit. Rem narrat Apollodorus Bibliothecæ l. ii, cap. 8. Eustathius p. 361. τρόποι δὲ ἀναχρονισμοῦ εὐμέθοδοι καὶ παρὰ Σοφοκλεῖ, ἔνθα τε κλήρου μέμνηται, ὃς εὐλόφου κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν, ὡς μὴ βῶλος ὑγρᾶς ἀρούρης ὢν, κατὰ

κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;
ὅδ' ἦν ὁ πράσσων ταῦτα· σὺν δ' ἐγὼ παρὼν
ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
δύστηνε, ποῖ βλέπων ποτ' αὐτὰ καὶ θροεῖς;
οὐκ οἶσθα, σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ,
ἀρχαῖον ὄντα Πέλοπα, βάρβαρον Φρύγα;
Ἀτρέα δ', ὃς αὖ σ' ἔσπειρε, δυσσεβέστατον,
προθέντ' ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ' ᾗ
λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατὴρ,
ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.
τοιοῦτος ὢν, τοιῷδ' ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγὼς,
ὅστις στρατοῦ τὰ πρῶτ' ἀριστεύσας, ἐμὴν
ἴσχει ξύνευνον μητέρ', ἣ φύσει μὲν ἦν
βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
δώρημ' ἐκείνῳ 'δωκεν Ἀλκμήνης γόνος.
ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,
οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους

τὴν περιεργίαν τοῦ ὑστερογενοῦς Αἴαντος Κρεσφόντου. καὶ ἐν τῷ Τραχινίων δὲ προοιμίῳ, ἔνθα ἡ παλαιὰ Δηιάνειρα γνωμικῷ λόγῳ χρῆται τοῦ ὑστέρου τῷ χρόνῳ Σόλωνος. ἔτι δὲ καὶ ἐν τῷ (449.) οὐκ ἄν ποτε δίκην αδ' ἐψήφισαν. ψηφίζειν γὰρ οὔπω εἴδησαν ἥρωες. ἀλλὰ μεταχρόνιον τὸ τῶν ψήφων εὕρημα. Quod sequitur ἅλμα κουφιεῖν ex Homerico adumbratum ἐκ δ' ἔθορε κλῆρος κυνέης.

1290. ποῖ βλέπων. Sic Aldus et codd. veteres bene. Triclinius ποῦ βλέπων. Vide supra ad 1237.

1296. ὁ φιτύσας πατήρ. Sic liquido scriptum in D. T. et ex emendatione in E. Mendose in ceteris φυτεύσας. Fallitur Heathius, et qui eum sequitur, Parisinus editor ad Antig. 645. quum φιτεύσας hic, et illic φιτεύει reponendum esse statuit. Græce non φιτεύειν, sed φιτύειν dicitur. Ceterum ista scholiastes intelligit de Aëropes patre, non de Atreo, tametsi is ab aliis perhibetur uxorem suam, postquam eam a fratre Thyeste vitiatam sensit, in mare præcipitari jussisse. Vide Euripidis scholiastam ad Oresten 812.

1297. ἐλλοῖς in membr. aliisque codd. aliquot notatum spiritu tenui, ut recte excudi fecit Turnebus.

1301. ἴσχει. gl. ἴσχε, quod in contextum transtulit codicis mei librarius.

1303. Ἀλκμήνης γόνος. Triclinius τόκος.

ὤθεῖς ἀθάπτους, οὐδ' ἐπαισχύνῃ λέγων;
εὖ νῦν τόδ' ἴσθι, τοῦτον εἰ βαλεῖτέ που,
βαλεῖτε χ' ἡμᾶς τρεῖς ὁμοῦ ξυγκειμένους.
ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ
θανεῖν προδήλως μᾶλλον, ἢ τῆς σῆς ὕπερ
γυναικὸς, ἢ τοῦ σοῦ θ' ὁμαίμονος λέγω.
πρὸς ταῦθ', ὅρα μὴ τοὐμὸν, ἀλλὰ καὶ τὸ σόν·
ὡς εἴ με πημανεῖς τι, βουλήσει ποτὲ
καὶ δειλὸς εἶναι μᾶλλον, ἢ 'ν ἐμοὶ θρασύς.

**ΧΟ.** ἄναξ 'Οδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθὼς,
εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.

**ΟΔ.** τί δ' ἔστιν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
βοὴν 'Ατρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ.

**ΑΓΑ.** οὐ γὰρ κλύοντές ἐσμεν αἰσχίστους λόγους,
ἄναξ 'Οδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;

**ΟΔ.** ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
κλύοντι φλαῦρα, συμβαλεῖν ἔπη κακά.

1308. *βαλεῖτέ που.* Postremæ voculæ superscripta glossa in codd. *τοπικόν.* Mallem legi *ποι.*

1309. *ἡμᾶς τρεῖς.* Nugas agit vetus enarrator, qui tres hos esse ait Teucrum et geminos Atridas, quia comminantis, non misericordiam moventis sermo est. Sed et metu atrocioris sceleris nempe si mulieri et puero violentas inferret manus, et minis, quas postmodo diserte profert, Agememnonem a proposito deterret Teucer.

1310. *τοῦδ' ὑπερπονουμένῳ.* gl. *ὑπὲρ τοῦδε ἀγωνιζομένῳ.* Vide supra ad v. 225.

1311. *τῆς σῆς ὑπὲρ γυναικός.* Hoc minus bene in versione reddidi. Vertere debebam, *quam tua pro conjuge, aut tui etiam fratris inquam.* Sic sensum bene exposuit antiquus criticus: *ἐπεὶ καλόν μοι προδήλως ὑπὲρ τοῦδε πονουμένῳ μᾶλλον ἀποθανεῖν, ἢ ὑπὲρ τῆς σῆς γυναικὸς, ἢ καὶ ὑπὲρ τῆς γυναικὸς λέγω τοῦ σοῦ ἀδελφοῦ.* Hæsitatio autem illa, et simulata ignoratio utrius uxor causa sit belli, irati et contemnentis est. Deductum hoc observat Eustathius pag. 754. ex Achillis oratione ad Græcorum legatos, Il. ί. 327. *'Ως καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον, Ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων, 'Ανδράσι μαρνάμενος, ὀάρων ἕνεκα σφετεράων.* Eustathii observationis partem protulit Clarkius.

1314. *βουλήσει ποτέ.* Comminandi formula, qua usus etiam Comicus Nub. 1129. —*ὥστ' ἴσως βουλήσεται, Κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον, ἢ κρῖναι κακῶς.* Seq. v. pro *ἢ 'ν*, quod valet *ἢ ἐν*, perperam in Aldina excusum *ἤ γ—*

ΑΓΑ. ἤκουσεν αἰσχρά. δρῶν γὰρ ἦν τοιαῦτ' ἐμέ.
ΟΔ. τί γάρ σ' ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;
ΑΓΑ. οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
ΟΔ. ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ,
σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετμεῖν;
ΑΓΑ. εἴπ'. ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.
ΟΔ. ἄκουέ νυν. τὸν ἄνδρα τόνδε, πρὸς θεῶν,
μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν·
μηδ' ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.
κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ,
ἐξ οὗ 'κράτησα τῶν Ἀχιλλείων ὅπλων·
ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τοιόνδ' ἐμοὶ
οὔκουν ἀτιμάσαιμ' ἄν, ὥστε μὴ λέγειν
ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως,
ὥστ' οὐκ ἂν ἐνδίκως γ' ἀτιμάζοιτό σοι.
οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
φθείροις ἄν. ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλὸν, οὐδ' ἐὰν μισῶν κυρῇς.
ΑΓΑ. σὺ ταῦτ', Ὀδυσσεῦ, τοῦδ' ὑπερμαχεῖς ἐμοί;

1329. ξυνηρετμεῖν. Sic Aldus et codd. omnes veteres. Turnebus ineptissime pravam lectionem sinceræ prætulit, ξυνηρεμεῖν, quam unica Triclinii recensio exhibet, cum mentione tamen alterius; nam supra scriptum est γρ. ξυνηρετμεῖν. Illum autem vel ex oscitantia librarii est, vel ex imperiti hominis circa metrum cura. Penultima in hoc verbo corripitur ante tenuem et liquidam, ut in ὄκνος, ἀκμὴ, πότμος et similibus. Æschylus Persis, 374. Ἐτροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.

1333. μὴ τλῇς. gl. ὑπομείνῃς.

1339. οὔκουν ἀτιμάσαιμ' ἄν. Sic bene membr. et Aldus. In reliquis veteribus οὐκ ἂν ἀτιμάσαιμ' ἄν, labante metro, cui fulciendo Triclinius γε inseruit. Eamdem particulam in tertio abhinc versu omiserunt plerique librarii, quam tuentur præter Aldum membr. et D. E.

1345. βλάπτειν τὸν ἐσθλόν. Sic libri omnes. Mallem in generali sententia βλάπτειν τιν' ἐσθλόν.—οὐδ' ἐὰν μισῶν κυρῇς pro κυρῇ τις. Vide ad Trach. 2.

ΟΔ. ἔγωγ᾽. ἐμίσουν δ᾽, ἡνίκ᾽ ἦν μισεῖν καλόν.
ΑΓΑ. οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
ΟΔ. μὴ χαῖρ᾽, Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.
ΑΓΑ. τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.
ΟΔ. ἀλλ᾽ εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
ΑΓΑ. κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.
ΟΔ. παῦσαι. κρατεῖς τοι, τῶν φίλων νικώμενος.
ΑΓΑ. μέμνησ᾽ ὁποίῳ φωτὶ τὴν χάριν δίδως.
ΟΔ. ἀνὴρ ὅδ᾽ ἐχθρὸς, ἀλλὰ γενναῖός ποτ᾽ ἦν.
ΑΓΑ. τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ᾽ αἰδῇ νέκυν;
ΟΔ. νικᾷ γὰρ ἡ ᾽ρετή με τῆς ἔχθρας πολύ.
ΑΓΑ. τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτοῖς.
ΟΔ. ἦ κάρτα πολλοὶ νῦν φίλοι, καὖθις πικροί.
ΑΓΑ. τοιούσδ᾽ ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
ΟΔ. σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
ΑΓΑ. ἡμᾶς σὺ δειλοὺς τῇδε θἠμέρᾳ φανεῖς.
ΟΔ. ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
ΑΓΑ. ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
ΟΔ. ἔγωγε. καὶ γὰρ αὐτὸς ἐνθάδ᾽ ἵξομαι.
ΑΓΑ. ἦ πάνθ᾽ ὁμοῖα πᾶς ἀνὴρ αὑτῷ πονεῖ.

1350. εὐσεβεῖν. τουτέστι δικαιοπραγεῖν, ὡς πᾶσιν ἀρέσκειν. Eustath. p. 1514. Quum Atheniensibus libertatis studiosissimis odio esset regnum, quavis oblata occasione Tragici poëtæ ejusmodi inculcabant sententias, quibus regiam potestatem obtrectarent.

1355. ἀνὴρ ὅδ᾽ ἐχθρός. Perperam vulgo ὅδ᾽ ἐχθρὸς ἀνήρ.

1358. ἔμπληκτοι βροτοῖς. Sic membr. D. et meus, ut et veteres criticos legisse perspicuum est. In aliis, ut in impressis, βροτῶν. Proprie ἔμπληκτος est μαινόμενος μανιώδης, et per consequens εὐμετάβλητος. glossa: τοιοίδε φῶτες, ἤγουν οἱ νῦν μὲν φίλοι, ἔπειτα δὲ ἐχθροὶ, ὥσπερ οἱ παραπλῆγες. Hac significatione, nempe τοῦ παραπλῆγος, occurrit istud nomen apud Euripidem in loco, quem depravatum citat Heathius, quique sic ex Musgravii sententia legendus, Troadum v. 1211. Θνητῶν δὲ μωρὸς, ὅστις, εὖ πράσσειν δοκῶν, Βέβαια χαίρει· ταῖς τρόποις γὰρ αἱ τύχαι, Ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ᾽ ἄλλοσε Πηδῶσι, κοὐδεὶς αὐτὸς εὐτυχεῖ ποτέ.

1362. τῇδε θἠμέρᾳ, id est τῇδε τῇ ἡμέρᾳ. Perperam hic et aliis in locis, ut supra 756. 778. in Turnebi editione et ejus traducibus excusum τῇδέ θ᾽ ἡμέρᾳ, quasi plene esset τῇδέ τε ἡμέρᾳ.

1366. ὁμοῖα, *consimilia. Ut quisque operam dat, ut factis suis par referatur gratia!*

ΟΔ. τῷ γάρ με μᾶλλον εἰκὸς, ἢ 'μαυτῷ πονεῖν;
ΑΓΑ. σὸν ἄρα τοὔργον, οὐκ ἐμὸν κεκλήσεται.
ΟΔ. ὡς ἂν ποιήσῃς, πανταχῆ χρηστός γ' ἔσει.
ΑΓΑ. ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·
οὗτος δὲ κἀκεῖ κἀνθάδ' ὢν, ἔμοιγ' ὁμῶς
ἔχθιστος ἔσται. σοὶ δὲ δρᾷν ἔξεσθ' ἃ χρή.
ΧΟ. ὅστις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
φῦναι, τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.
ΟΔ. καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι,
ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος.
καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν, ὅσον
χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.
ΤΕΥ. ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι· καί μ' ἔψευσας ἐλπίδος πολύ.
τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ,
μόνος παρέστης χερσὶν, οὐδ' ἔτλης παρὼν
θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα,
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν,
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν, ταφῆς ἄτερ.
τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ,
μνήμων τ' Ἐριννὺς, καὶ τελεσφόρος Δίκη
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ', ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρὸς,
τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ·

1369. πανταχῆ. Sic D. Augustanus et meus. Perperam in aliis, ut in Aldina, πανταχοῦ. Vide notam ad Comici Lysistr. 1230. πανταχῆ jam lectum fuerat in utraque Juntina.

1383. ἔχθιστος. gl. ἤγουν μάλιστα μεμισημένος.

1393. σπέρμα Λαέρτου. Sic Aldus et codd. veteres. In Triclinii recensione Λαερτίου.

τὰ δ' ἄλλα καὶ ξύμπρασσε· κεἴ τινα στρατοῦ
θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.
ΟΔ. ἀλλ' ἤθελον μέν· εἰ δὲ μή 'στί σοι φίλον
πράσσειν τάδ' ἡμᾶς, εἶμ' ἐπαινέσας τὸ σόν.
ΤΕΥ. ἅλις. ἤδη γὰρ πολὺς ἐκτέταται
χρόνος. ἀλλ' οἱ μὲν κοίλην κάπετον
χερσὶ ταχύνετε, τοὶ δ' ὑψίβατον
τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
θέσθ' ἐπίκαιρον· μία δ' ἐκ κλισίας
ἀνδρῶν ἴλη τὸν ὑπασπίδιον
κόσμον φερέτω.
παῖ, σὺ δὲ πατρός γ', ὅσον ἰσχύεις,
φιλότητι θίγων, πλευρὰς ξὺν ἐμοὶ
τάσδ' ἐπικούφιζ'. ἔτι γὰρ θερμαὶ
σύριγγες ἄνω φυσῶσι μέλαν
μένος. ἀλλ' ἄγε πᾶς φίλος ὅστις ἀνὴρ
φησὶ παρεῖναι, σούσθω, βάτω,
τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ,
κοὐδενί πω λῴονι τῶν θνητῶν

1396. ξύμπρασσε. Perperam vulgo ξύμπραττε.

1403. κάπετος, ὁ ἐσκαμμένος λάκκος, παρὰ τὸ σκάπτειν ἐλλείψει τοῦ σ. Vide Eustathium p. 1019. 1376.

1412. μέλαν μένος, *atrum sanguinem.* μένος ad corpus pertinet, et notat primaria significatione, ἰσχὺν, δύναμιν, βίαν. Inde sanguinem, quo continentur vires et vita, μένος appellat Sophocles, ut prolificum humorem Sosipater in epigrammate λευκὸν μένος.

1416. Aldus et veteres codd. habent κοὐδενί πω λῴονι θνητῶν, syllaba ad integritatem versus deficiente. Prava est Triclinii lectio καὶ οὐδενί— Ante diphthongum καὶ elidi debet. Proinde retinenda antiqua lectio, vel legendum κοὐδενί πω λῴονι τῶν θνητῶν.

Versus qui ex Ajacis persona in nescio cujus poëtæ tragœdia recitabantur profert Clemens Alex. Strom. ii. p. 462. quos, etsi doctis quibusdam viris et Sophoclem auctorem habere, et ad ejus Ajacem pertinere visi fuerint, Grotius prudenter inter incertorum tragicorum fragmenta retulit, p. 461.—Πῆμα δ' οὐδὲν ἐλευθέρου Ψυχὴν ἔδακνεν ἀνδρὸς, ὡς ἀτιμία. Οὕτως πέπονθα, καί με συμφοροῦσ' ἀεὶ Βαθεῖα κηλὶς ἐκ βυθῶν ἀναστρέφει, Λύσσης πικροῖς κέντροισιν ἠρεθισμένον. Nihil in-

Αἴαντος. ὅτ' ἦν, τότε φωνῶ.
ΧΟ. ἦ πολλὰ βροτοῖς ἐστιν ἰδοῦσι
γνῶναι· πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις
τῶν μελλόντων ὅ τι πράξει.

famia Gravius perurit pectus ingenuum viri: Ea me calamitas terret, et penitus fibris Adacta miserum versat ex imo lues, Stimulisque mentem durus exagitat furor.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΦΙΛΟΚΤΗΤΗΣ.

ΤΑ ΤΟΥ

## ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΔΥΣΣΕΥΣ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ΧΟΡΟΣ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ΣΚΟΠΟΣ ὡς ΕΜΠΟΡΟΣ.

ΗΡΑΚΛΗΣ.

## ΥΠΟΘΕΣΙΣ ΦΙΛΟΚΤΗΤΟΥ.

---

ΑΠΑΓΩΓΗ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ' Ἑλένου μαντείαν, ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν τῆς Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νύκτωρ ἐνεδρευθεὶς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν. ἡ δὲ σκηνὴ ἐν Λήμνῳ. ὁ δὲ Χορὸς ἐκ γερόντων τῶν Νεοπτολέμῳ συμπλεόντων. κεῖται δὲ καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιΐα. ἐδιδάχθη ἐπὶ Γλαυκίππου. πρῶτος ἦν Σοφοκλῆς.

---

# ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

---

ΧΡΥΣΗΣ Ἀθηνᾶς βωμὸν ἐπικεχωσμένον,
ἐφ' οὗπερ Ἀχαιοῖς χρησθὲν ἦν θῦσαι, μόνος
Ποίαντος ἤδει παῖς ποθ' Ἡρακλεῖ συνών·
ζητῶν δὲ τοῦτον ναυβάτῃ δεῖξαι στόλῳ,
πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν Λήμνῳ νοσῶν.
Ἕλενος δ' Ἀχαιοῖς εἶφ', ἁλώσεσθ' Ἴλιον
τοῖς Ἡρακλέους τόξοισι, παιδί τ' Ἀχιλλέως.
τὰ τόξ' ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·
πεμφθεὶς δ' Ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.

Argumentum metricum non exstat in veteribus codd. nec in Aldina. Primus id edidit Turnebus e codice ad Triclinii recensionem scripto, in quo perperam v. 1. legitur ἐν Χρύσῃ Ἀθηνᾶς· Χρύση ipsius Minervæ cognomen erat, cujus meminit Scholiastes ad Œd. T. 188. et sic hoc ipso in dramate appellatur v. 194. et 1327. Erat etiam Χρύση insula prope Lemnum, in qua ad cognominis Minervæ aram a serpente ictus fuit Philocteta. Ista dilucidavit Alex. Politus in erudita ad Eustathium nota, p. 707. editionis Florentinæ, et post eum Vaclkenarius Diatribes Euripideæ cap. xi.

2. Mendose in codice scriptum fuit μόνοις. Immo solus Philoctetes aram noverat, quam in Chryse insula Minervæ dedicaverat olim Jason. Cod. ἤδη exhibet v. seq. cujus vice Turnebus suo more edidit ἤδει. oportuit ἤδη.

4. ναυβάτῃ, quod prorsus barbarum est, retineri non debuit: pejus in codice ναυβάτην στόλον. Vide quæ notavimus ad Æschyli Persas 373.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΦΙΛΟΚΤΗΤΗΣ.

---

### ΟΔΥΣΣΕΥΣ.

ΑΚΤΗ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος, οὐδ' οἰκουμένη,
ἔνθ', ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
ταχθεὶς τόδ' ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα·
ὅτ' οὔτε λοιβῆς ἡμὶν, οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθίγειν· ἀλλ' ἀγρίαις
κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις,
βοῶν, στενάζων. ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων·
μὴ καὶ μάθῃ μ' ἥκοντα, κἀκχέω τὸ πᾶν
σόφισμα, τῷ νιν αὐτίχ' αἱρήσειν δοκῶ.
ἀλλ' ἔργον ἤδη σὸν τὰ λοίφ' ὑπηρετεῖν,
σκοπεῖν θ', ὅπου 'στ' ἐνταῦθα δίστομος πέτρα
τοιάδ', ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνον
δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.

12. ἀκμή. gl. καιρός. Sic in Aj. 812. οὐχ ἕδρας ἀκμή.

14. τῷ. gl. ᾗ τινα τῷ σοφίσματι. Vide notam ad Œd. Col. 1259.

19. δι' ἀμφιτρῆτος. Mendose in Aldina ἀμφιτρῆρος.

βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν
ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ σῶν.
ἅ μοι προσελθὼν σῖγα, σήμαιν', εἴτ' ἔχει
χῶρον πρὸς αὐτὸν τόνδε γ', εἴτ' ἄλλῃ κυρεῖ,
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύῃς,
ἐγὼ δὲ φράζω· κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ.
NE. ἄναξ 'Οδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις·
δοκῶ γάρ, οἷον εἶπας, ἄντρον εἰσορᾷν.
ΟΔ. ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.
NE. τόδ' ἐξύπερθε, καὶ στίβου γ' οὐδεὶς τύπος.
ΟΔ. ὅρα, καθ' ὕπνον μὴ κατακλιθεὶς κυρῇ.
NE. ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
ΟΔ. οὐκ ἔνδον οἰκοποιός ἐστί τις τροφή;
NE. στειπτή γε φυλλάς, ὡς ἐναυλίζοντί τῳ.
ΟΔ. τὰ δ' ἄλλ' ἔρημα, κοὐδέν ἐσθ' ὑπόστεγον;
NE. αὐτόξυλόν γ' ἔκπωμα, φλαυρούργου τινὸς

21. σῶν. Sic editiones Aldi et Turnebi, ut et codd. omnes. gl. ἤγουν εἰ σώζεται. In Henr. Stephani editione legitur ζῶν, quod consultone an operarum errore invectum fuerit, nescio. Verum scio mendosissimum esse, siquidem sic senarius in spondeum desinit: nam vocalis ante ζ corripi non potest.

22. εἴτ' ἔχει. gl. κατοικεῖ. recte. πρὸς ἃ ἐλθὼν σῖγα, σήμαινέ μοι εἴτε κατοικεῖ—Sic Latinis *habere* valet *habitare*, qua significatione Plauto frequentatur, ut Bacchid. i. 2. *Quis istic habet?*

24. ὡς κλύῃς. Sic recte in B. Solœce alii et impressi κλύοις.

25. κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ. Sic legisse scholiastam perspicuum est, siquidem diversæ lectionis meminit εἴη, quæ manifesto vitiosa est. Nam præterquam quod diphthongus ει semper producitur, optativus modus hic contra structuræ legem adhiberetur. Requiritur verbum subjunctivi modi, qualia sunt κλύῃς et φράζω.

26. τοὔργον οὐ μακρὰν λέγεις. Sensus is est profecto, quem in versione expressi, Græco enarratori haud perspectus: οὐ μακρὰν ὄν, vel ἄπον. Hæc fide codicum nixa lectio, per se longe melior est illa quam commentus est editor nescio quis, οὐ μακρόν.

29. στίβου γ' οὐδείς. Sic T. In duobus aliis, ut in Aldina, στίβου τ'—

33. στειπτή. Scholiastes στιπτὴ habet, ut v. 2. ἄστιπτος. Eadem scriptura est in B. et apud Suidam. At Eustathius p. 778. στειπτὴ ex hoc loco citat, ut scriptum est in membr.

35. αὐτόξυλον. Vide Andromedæ fragm. vi. φλαυρούργου. Sic codd. veteres et Suidas. In Aldina mendose φλαυλούργου, ut etiam a prima manu scriptum in T. sed ex λ factum fuit ρ. Turnebus edidit φαυλούργου.

ἀνδρὸς τέχνημα, καὶ πυρεῖ ὁμοῦ τάδε.
ΟΔ. κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
ΝΕ. ἰού, ἰού· καὶ ταῦτά γ' ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.
ΟΔ. ὡνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς,
κἄστ' οὐχ ἑκάς που. πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾷ κηρὶ, προσβαίη μακράν;
ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
τὸν οὖν παρόντα πέμψον ἐς κατασκοπὴν,
μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτό μ' ἢ τοὺς πάντας Ἀργείους λαβεῖν.
ΝΕ. ἀλλ' ἔρχεταί τε, καὶ φυλάξεται στίβος.

In seq. v. scripti et impressi libri habent τεχνήματ' ἀνδρός. Pluralis numerus doctos viros merito offendit; sed locum emendare dum conarentur, malum pejori malo sanaverunt. Quippe levius istud τεχνήματα feram, quam τέχνημά τ', sive pro τι, sive pro τοι accipienda veniat particula, qua nullus hîc usus est. Nec magis admittenda Toupii conjectura, Cur. Nov. in Suidam, p. 70. τέχνημα τἀνδρός. Nam τοῦ ἀνδρὸς definite post indefinitum τινὸς plane inficetum est. Librarii malam manum quivis hîc facile poterat agnoscere. Imperitus homo metro consulere voluit, quod laborare credidit. Scripserat Tragicus φλαυρούργου τινὸς ἀνδρὸς τέχνημα. Ille, ne spondeus esset in secunda senarii sede, ordinem invertit, et vitando hiatu scripsit τεχνήματ' ἀνδρός. Prima in τέχνη corripitur, ut quævis vocalis natura brevis ante asperatam et liquidam. Vide Aj. 1121. Œd. T. 357. et sic passim.

37. θησαύρισμα. gl. ἀπόθετον κτῆμα.

38. θάλπεται. gl. ξηραίνεται.

40. ὠ'νὴρ κατοικεῖ. Perperam vulgo ἀνήρ.

43. ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν. Philoctetæ alimentum præbebant aves et feræ, quas sagittis configebat. Atqui aves et feræ statis horis ad certa loca se conferre solent. Recte scholiastes ἐπὶ φορβῆς ὁδόν. At glossator, qui id minus intelligebat, exposuit ἐπὶ ζήτησιν φορβῆς. Hoc ipsum Ulysses dicere debuisse videtur Toupio, qui Emendat. in Suidam iii. 336. reponit ἢ 'πὶ φορβῆς μαστύν. Nimis audacter. Hujus formæ verbalia frequentant Ionici poëtæ, qualia sunt ἐδητὺς, ὀρχηστὺς, θελκτὺς, πωρητὺς, et alia, sed Atticis fere inusitata sunt.

47. λαβεῖν. Perperam in membr. et in Aldina μολεῖν, unde Parisinus editor sinceram lectionem eruisse credit, Ἕλοιτό γ', ἢ τοὺς πάντας Ἀργείους, μ' ὀλεῖν. Sed istud ὀλεῖν e barbariei specu arcessitum, non e puris Græcæ linguæ fontibus. ὀλέω, ὀλεῖν sunt prorsus inusitata, nec uspiam, nisi apud grammaticos, ubi de formatione temporum agunt, reperiuntur. μᾶλλον αἱρεῖσθαι est προκρίνειν, *malle*.

σὺ δ', εἴ τι χρῄζεις φράζε δευτέρῳ λόγῳ.
ΟΔ. Ἀχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας
γενναῖον εἶναι, μὴ μόνον τῷ σώματι,
ἀλλ' ἤν τι καινὸν, ὧν πρὶν οὐκ ἀκήκοας,
κλύῃς, ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει.
ΝΕ. τί δῆτ' ἄνωγας;
ΟΔ. τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως λόγοισιν ἐκκλέψεις λέγων.
ὅταν σ' ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
λέγειν, Ἀχιλλέως παῖς· τόδ' οὐχὶ κλεπτέον·
πλεῖς δ' ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
στράτευμ' Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ' ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν,
μόνην ἔχοντες τήνδ' ἅλωσιν Ἰλίου,
οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων,
ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ·
ἀλλ' αὔτ' Ὀδυσσεῖ παρέδοσαν· λέγων ὅσ' ἂν

55. ἐκκλέψεις. Sic emendate in B. Solœce vulgo ἐκκλέψῃς. ὅπως hîc valet *quomodo*, ut infra 78. et pendet a suppresso verbo φροντίζειν, φράζεσθαι, vel simili. Immo, ni me fallit conjectura, verbum librariorum errore, potius quam poëtæ judicio, hîc desideratur. Quid enim sibi vult post ἐκκλέψεις λόγοισι, participium λέγων? —τὴν Φιλοκτήτου σε δεῖ Ψυχὴν ὅπως λόγοισιν ἐκκλέψεις σκοπεῖν. Glossa in codd. ἐκκλέψῃς, ἀπατήσῃς. Ratio autem Philoctetam fallendi hæc erat, ut simularet Neoptolemus se Atridis infensum esse. Huc pertinet scholion, quod in editione Romana alio translatum fuit : οἱ γὰρ ἐξ ἑνὸς ἠδικημένοι, φιλοῦσιν ἀλλήλους.

58. πλεῖς δ' ὡς πρὸς οἶκον. Abundat particula ὡς, quæ eleganter jungitur præpositionibus ἐπὶ et πρὸς motum significantibus. Familiare hoc Arriano in Alex. M. expeditione. Comicus in Equitum fine : Κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην.

60. οἵ σ' ἐν λιταῖς στείλαντες. Abundat præpositio ἐν, ut Œd. T. 821. Antig. 962. 1003. στείλαντες, simplex pro composito μεταστείλαντες—ἐξ οἴκων. Sic veteres codd. et Aldus, quod et Turnebus retinuit. In T. minus bene ἐξ οἴκου, quod ex Henr. Stephani editione in posteriores manavit.

61. μόνην ἔχοντες. Sic Aldus et veteres codd. Triclinius δὲ infersit.

63. ἐλθόντι δοῦναι. Id est ὥστε ἐλθόντι σοι δοῦναι.

64. λέγων. Pendet hic nominativus a λέγειν in v. 57. structura ad significatum, non ad verba accommodata. Quippe istud λέγειν imperativus est infinitivi forma, unde pendet etiam πλεῖς, suppressa particula ὅτι, nisi mavis e communi repetere λέγε

θέλης καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
τούτων γάρ οὐδέν μ' ἀλγυνεῖς· εἰ δ' ἐργάσει
μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοι τὸ Δαρδάνου πέδον.
ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχὶ, σοὶ δ', ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
σὺ μὲν πέπλευκας, οὔτ' ἔνορκος οὐδενὶ,
οὔτ' ἐξ ἀνάγκης, οὔτε τοῦ πρώτου στόλου·
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
ὥστ', εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα, καὶ σὲ προσδιαφθερῶ ξυνών.
ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσει τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα καὶ φύσει σε μὴ πεφυκότα
τοιαῦτα φωνεῖν, μηδὲ τεχνᾶσθαι κακά.
ἀλλ' ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν.
τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
δός μοι σεαυτὸν, κᾆτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.

NE. ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,

δὲ ὅτι πλεῖς πρὸς οἶκον. Proinde difficultas ad quam offendit Vir doctus, quamque tollit legendo λέγ' εὖν, nulla est. Is est Fredericus Gedike, Gymnasii Rector Berolini, qui seorsum fabulam hanc edidit luculento commentario illustratam in tironum usum. Nullum est Tragici nostri drama, quod enarratorem tam peritum nactum fuerit.

84. δός μοι σεαυτόν. Terentius Adelphis: *Da te hodie mihi.*

86. Hos versus sic convertit Florens Christianus: Ego vero, Ulysseu, dicta quæ non audiam Animo lubenti, facere semper oderim. Eadem sententia Georg. Ratallerus ad hunc modum: Quæ facta, Ulysse, audire animus horret, eadem Patrare morte acerbius duco. Haud sane exspectabam aliquem exstiturum, qui has interpretationes falsi argueret, aliumque Græcis sensum inesse contenderet. Nuperus Parisinus editor nos docet ea sic verti debere: *Ea moliri odi, quorum famam factorum ægre ferrem.* plurimisque exemplis adstruit, quod vel pueris notum, κακῶς κλύειν significare *male audire*, id est *vituperari*. Est hoc quidem certissimum:

Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ.
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ' αὐτὸς, οὔθ', ὥς φασιν, οὐκφύσας ἐμέ.
ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν,
καὶ μὴ δόλοισιν. οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης, ὀκνῶ
προδότης καλεῖσθαι· βούλομαι δ', ἄναξ, καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον, ἢ νικᾷν κακῶς.
ΟΔ. ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ', εἰς ἔλεγχον ἐξιὼν, ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.
ΝΕ. τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;
ΟΔ. λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν.
ΝΕ. τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;
ΟΔ. οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.
ΝΕ. οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;
ΟΔ. ἰοὺς ἀφύκτους, καὶ προπέμποντας φόνον.
ΝΕ. οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμίξαι θρασύ;
ΟΔ. οὔ· μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.

sed tam certum est illam significationem verbi κλύειν non magis hic locum habere, quam apud Comicum in Concion. 91. ἀκροᾶσθαι de fama accipi posse. Ibi mulier reprehensa, quod lanam in concionem ferret, ait: τί γὰρ ἂν χεῖρον ἀκροῴμην ἄρα ξαίνουσα; *Quippini? num minus audiam rhetorum conciones, si lanam carpam?* Quid hoc, quæso, ad famam?

100. τί ἄλλο πλὴν confundit imperite Parisinus editor cum interrogationis formula Platoni frequentata ἄλλο τι ἤ. Legat auctorem Doctrinæ Particularum, qui formulas istas enucleate distinxit, et simul fidejussorem quærat, quo auctore credamus Græcum esse imperativum ἄνωγες. Ab ἀνώγημι novi ἀνώγηθι, ἄνωχθι. Verum ἄνωγες nusquam vidi.

102. ἐν δόλῳ. Abundat præpositio ἐν, ut supra, 60.

103. οὐ μὴ πίθηται. *Non persuadebitur.* Aoristus 2. subjunctivi cum particulis οὐ μὴ eamdem vim habet quam futurum indicativi. Euripides Herc. Fur. 720. Ὅδ' οὐ πάρεστιν, οὐδὲ μὴ μόλῃ ποτέ. *Nec adest, nec aderit unquam.* Comicus in Lys. 363. Κοὐ μή ποτ' ἄλλη σοῦ κύων τῶν ὄρχεων λάβηται. Fallitur Berolinensis editor, qui ista a suppresso verbo φοβέομαι

ΝΕ. οὐκ αἰσχρὸν ἡγῇ δῆτα * τὸ ψευδῆ λέγειν;
ΟΔ. οὐκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
ΝΕ. πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λαλεῖν;
ΟΔ. ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
ΝΕ. κέρδος δ' ἐμοὶ τί τοῦτον ἐς Τροίαν μολεῖν;
ΟΔ. αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
ΝΕ. οὐκ ἄρ' ὁ πέρσων γ', ὡς ἐφάσκετ', εἴμ' ἐγώ;
ΟΔ. οὔτ' ἂν σὺ κείνων χωρὶς, οὔτ' ἐκεῖνα σοῦ.
ΝΕ. θηρατέ' οὖν γίγνοιτ' ἂν, εἴπερ ὧδ' ἔχει.
ΟΔ. ὡς τοῦτό γ' ἔρξας, δύο φέρῃ δωρήματα.
ΝΕ. ποίω; μαθὼν γὰρ, οὐκ ἂν ἀρνοίμην τὸ δρᾷν.
ΟΔ. σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα.
ΝΕ. ἴτω· ποιήσω, πᾶσαν αἰσχύνην ἀφείς.
ΟΔ. ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;
ΝΕ. σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ ξυνῄνεσα.
ΟΔ. σὺ μὲν μένων νυν κεῖνον ἐνθάδ' ἐκδέχου·
ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρὼν,
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.

* τὰ edd. 1. 2.

pendere ait. Diversa sunt μὴ οὐ et οὐ μή.

108. τὸ ψευδῆ λέγειν. Perperam libri omnes τὰ ψευδῆ—Sæpe in articulo, qui ex indole linguæ infinitivo adjungitur, lapsi sunt librarii, eumque mutato numero nomini tribuerunt. Sic in Creüsæ Fragmento ii. legimus etiam, invitis libris: Καλὸν μὲν οὖν οὐκ ἔστι τὸ ψευδῆ λέγειν. In Anacreontis Od. xi. ediderat Stephanus τὰ τερπνὰ παίζειν, ubi sermonis puritas flagitat τὸ τερπνὰ παίζειν, quæ est etiam tersissimi poëtæ manus.

111. ἐς κέρδος. In B. T. πρὸς κέρδος.

114. ὁ πέρσων γ'. In B. T. particula γε omissa.

116. In Aldina θηρατία γίγνοιτ' ἄν. Sic etiam in membr. scriptum, appictis prosodiæ signis, indicantibus utrumque α produci. Nempe θηρατία librarius ad Trojam referebat, glossa, quam exscripsi, satis inepta deceptus; δυνατὴ ληφθῆναι, ἤγουν ἡ Τροία. In B. θηρατία γίνοιτ' ἄν. Recte in T. θηρατέ' οὖν.

119. κεκλῇο. Optativus præteriti passivi. Formam hanc sæpe obliterarunt librarii. In Euripidis Heraclidis, ubi perperam editum κεκτώμεθα, legendum: Μάτην γὰρ ἥβην ὧδέ γ' ἂν κεκτήμεθα. Vide quæ notavimus ad Comici Lysistr. 235. 253. Mendose hic Aldus edidit κέκλησ' ἅμα, ut in membr. scriptum est: in duobus aliis κεκλῆσ'—Turnebo debetur emendata lectio.

καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόπον
μορφὴν δολώσας, ὡς ἂν ἄγνοια προσῇ·
οὗ δῆτα, τέκνον, ποικίλως αὐδωμένου,
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε·
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν,
Νίκη τ' Ἀθηνᾶ Πολιάς, ἣ σώζει μ' ἀεί.

## ΧΟΡΟΣ.

Τί χρή, τί χρή με, δέσποτ', ἐν ξένᾳ ξένον — στροφὴ α'.
στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
φράζε μοι. τέχνα γὰρ τέχνας
ἑτέρας προὔχει,
καὶ γνώμα, παρ' ὅτῳ τὸ θεῖον

126. δοκῆτέ τι. Sic bene distinctæ voces in B. In ceteris perperam δοκῆτ' ἔτι.

127. κατασχολάζειν. gl. βραδύνειν.

128. ναυκλήρου τρόπον. Aldus et veteres codd. τρόποις. Naucleri ornatum describit Plautus in Milite, iv. 4. 41. Facito ut venias ornatus huc ornatu nauclerico. Causiam habeas ferrugineam, culcitam ob oculos laneam: Palliolum habeas ferrugineum: nam is colos thalassicu'st: Id connexum in humero lævo, expapillato brachio; Præcinctus aliqui; assimulato quasi gubernator sies.

129. ἄγνοια in casu recto. Sic scriptum in duobus veteribus codd. In T. ἀγνοίᾳ, ut in impressis.

130. ποικίλως αὐδωμένου. σοφιζομένου, δολίως διαλεγομένου.

133. Ἑρμῆς δ' ὁ πέμπων. id est πομπαῖος, seu, ut semet ipse in Comici Pluto 1159. appellat ἡγεμόνιος. Quod quidem Mercurii officium vulgo haud minus notum, quam illius κλεπτοσύνη, seu fallendi peritia, unde alterum illi cognomen inditum, δόλιος.

134. Νίκη. Scholion: οὕτως ἡ πολιοῦχος Ἀθηνᾶ Νίκη καλεῖται ἐν Ἀττικῇ. Euripides Ione, 1550. Μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε Νίκην Ἀθηνᾶν Ζηνὶ γηγενεῖς ἔπι—Victoriæ nomine cultæ Minervæ templum erat in arce: idcirco mulieres, quæ arcem occupaverant, in Comici Lysistr. 317. ejus implorant opem: δέσποινα Νίκη ξυγγενοῦ. Vide Meursii Att. Lect. i. 20.

135. Aldus et veteres codd. τί χρή, τί χρή, δέσποτά, μ' ἐν ξένᾳ ξένον—contra metri rationem.

139. καὶ γνώμα. Sic bene Aldus et veteres codd. scilicet ἑτέρας γνώμας προὔχει. Sic in glossa expositum erat, unde librarius codicis B. vocem

Διὸς σκῆπτρον ἀνάσσεται.
σὲ δ', ὦ τέκνον, τόδ' ἐλήλυθε
πᾶν κράτος ὠγύγιον· τό μοι ἔννεπε
τί σοι χρεὼν ὑπουργεῖν.

NE. νῦν μὲν, ἴσως γὰρ τόπον ἐσχατιαῖς
προσιδεῖν ἐθέλεις, ὅντινα κεῖται,
δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
δεινὸς ὁδίτης, τῶνδ' ἐκ μελάθρων
πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν,
πειρῶ τὸ παρὸν θεραπεύειν.

XO. μέλον πάλαι μέλημά μοι λέγεις, ἄναξ, ἀντιστρ. α'.
φρουρεῖν ὄμμ' ἐπὶ σῷ μάλιστα καιρῷ·
νῦν δ' ἐμοὶ λέγ' αὐλὰς ποίας
ἔνεδρος ναίει,
καὶ χῶρον τίν' ἔχει. τὸ γάρ μοι
μαθεῖν οὐκ ἀποκαίριον,
μή με λάθῃ πελάσας ποθέν.
τίς τόπος, ἢ τίς ἕδρα; τίν' ἔχει στίβον;
ἔναυλον, ἢ θυραῖον;

NE. οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.

in textum intulit καὶ γνώμα γνώμας, metro reclamante. Harum quæ rejicienda erat, retinuit Triclinius, cujus lectio est καὶ γνώμας.

140. Διὸς σκῆπτρον. In Aldina σκῆπτον. Scripserat forte poëta σκᾶπτον.

141. σὲ δ', ὦ τέκνον, τόδ' ἐλήλυθε. Sic veteres codices et Aldus: id est εἰς σέ. Triclinius mutavit sine causa. Dimeter est antispasticus. Pro ditrochæo in antistrophico est choriambus; pæona habet uterque in secunda sede.

144. τόπον ἐσχατιαῖς. In T. ἐσχατιᾶς, quod ad sensum perinde est. Sed nulla erat causa, cur Triclinius veterem lectionem mutaret. Ἴσως γὰρ προσιδεῖν ἐθέλεις τὸν ἐν ταῖς ἐσχατιαῖς τόπον, καθ' ὅν τινα κεῖται.

150. In fine hujus versus Aldus et veteres codd. duas voculas addunt, e prava glossa in textum illatas, τὸ σὸν, quas tam metrum quam sententia respuit. Fefellit hæc lectio scholiastam, cujus falsa est expositio, τὰ σὰ νεύματα φυλάττειν. Immo ad ὄμμα subauditur ἐμόν.

156. μή με λάθῃ πελάσας ποθέν. Quod in omnibus libris legitur προσπεσὼν, mendosum est, ut ex comparatione strophici versus liquet, et ex

ΧΟ. ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστιν;
ΝΕ. δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τόνδε πέλας που.
ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς σμυγερὸν σμυγερῶς,
οὐδέ τιν' αὐτῷ
παιῶνα κακῶν ἐπινωμᾷν.
ΧΟ. οἰκτείρω νιν ἔγωγ', ὅπως, στροφὴ β'.
μή του κηδομένου βροτῶν,
μηδὲ ξύντροφον ὄμμ' ἔχων,
δύστανος, μόνος αἰεὶ,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ' ἐπὶ παντί τῳ
χρείας ἱσταμένῳ. πῶς πο-
τε, πῶς δύσμορος ἀντέχει;
ὦ παλάμαι θνητῶν,
ὦ δύστανα γένη βροτῶν,

confusione glossæ cum genuina lectione ortum: ad *πιλάσας* adscripta fuerat glossa *προσπιλάσας* et e v. 46. *προσπισών*. Voces postmodo permutatæ fuerunt a librariis.

161. *ἄπεστιν*. Sic emendate in B. In ceteris claudicat versus omissione *ν* paragogici.

166. *σμυγερὸν σμυγερῶς*. Mendose vulgo legitur *στυγερὸν στυγερῶς*. In scholiis malum malo cumulatum, quum adverbium per *ἐπιμόνως* exponatur. Scriptum oportuit *σμυγερῶς*, *ἐπιπόνως*. Hesych. *σμυγερὸν, ἐπίπονον, οἰκτρὸν, μοχθηρόν. σμυγερῶς, ἐπιπόνως*. Eustathius pag. 1463. *ἔστι δὲ σμυγερῶς, τὸ ἐπιπόνως, ὀδυνηρῶς, καὶ ὡς εἰπεῖν, καυστικῶς. ἀπὸ τοῦ σμύχω τὸ καίω, ὅθεν τὸ σμύξαι πυρὶ νῆας*. (Il. ί. 649.) *τοῦ δὲ σμύχω δεύτερος ἀόριστος ἔσμυγον, ὅθεν τὸ σμυγερόν*. Nihil verius hac emendatione.

168. *ἐπινωμᾷν*. Scholiastes hic exponit *ἐξευρίσκειν*. In Antigona, 139. exponitur idem verbum per *ἐπιφέρειν*. *Dividendi, distribuendi* significatione utitur eo Æschylus Eumenid. 310. *Λῆξαι τε λάχη τὰ κατ' ἀνθρώπους Ὡς ἐπινωμᾷ στάσις ἁμά*. Id scholiastes bifariam exponit: *τίνα τρόπον τὰ κατ' ἀνθρώπους λάχη ἐφοδεύομεν*. et *ἐπινωμᾷ, ἐπέρχεται*. Facile variæ interpretationes a simplicis potestate derivantur.

171. *μηδὲ ξύντροφον*. Sic ad metri rationem scribi debuit. Perperam Aldus et veteres codd. *σύντροφον*. Sinistra Triclinii emendatio est *μηδ' αὖ σύντροφον*.

174. *ἀλύει*. gl. *ἀλγεῖ, ἀπορεῖ*.

οἷς μὴ μέτριος αἰών.
οὗτος πρωτογόνων ἴσως ἀντιστρ. β'.
ἥκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐν βίῳ
κεῖται μοῦνος ἀπ' ἄλλων,
στικτῶν ἢ λασίων μετὰ
θηρῶν· ἔν τ' ὀδύναις ὁμοῦ
λιμῷ τ' οἰκτρὸς, ἀνήκεστα
μεριμνήματ' ἔχων· βαρεῖ-
α δ' ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικρᾶς
οἰμωγᾶς ὑπακούει.

ΝΕ. οὐδὲν τούτων θαυμαστὸν ἐμοί.
θεῖα γὰρ, εἴπερ κἀγώ τι φρονῶ,
καὶ τὰ παθήματα κεῖνα πρὸς αὐτὸν
τῆς ὠμόφρονος Χρύσης ἐπέβη.
καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων,

181. ἥκων. Sic bene apud Suidam legitur in λασίοις. Tragici exemplaria habent οἴκων. In B. οἷ κοὐδενὸς, librarii errore, qui compendio scriptum ἥκων dispexisse non videtur. ἥκειν pro εἶναι eleganter adhibetur. οὗτος τῶν εὐγενῶν οὐδενὸς ὕστερος ὢν ἴσως. Sic in Œd. Tyr. 1519. Œd. Col. 1177. Aj. 637. ἥκειν nihil aliud valet quam εἶναι. Pro ἔχειν usurpari solet in eleganti formula εὖ ἥκειν τινὸς, in qua tamen istud verbum non nemini suspectum fuit. Vide notas ad Luciani imagines tom. ii. p. 469.

190. Vulgo legitur πικρᾶς οἰμωγᾶς ὑπόκειται, quod quid sibi velit, nemo declaravit unquam. Quippe vetus enarrator quid sententia flagitet, exponit quidem; verum is verborum et inextricabilis structuræ nullam rationem reddit. Genitivi πικρᾶς οἰμωγᾶς a nomine τηλεφανὴς non pendent: verbum requirunt, a quo regantur: id esse non potest ὑπόκειται. Jam diu est quum emendavi ὑπακούει. Comicus in Nub. Εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς εὐχῆς ὑπακούειν. ubi simpliciter valet *audire*. *Echo sola tristes ejulatus audit*. E consequenti sæpe usurpatur pro *respondere*, qua significatione etiam cum secundo casu construitur, ut apud Plutarchum in Camillo p. 310. ὀργιζόμενοι τοῖς ἔχουσι τὸ Καπιτώλιον, ὅτι καλούντων αὐτῶν οὐχ ὑπήκουον, ἀλλὰ καὶ προσβάλλουσι πληγὰς ἔδοσαν. *quod provocantibus non responderent*. non genitivus est absolutus, sed legitimus casus καλούντων αὐτῶν, a verbo ὑπήκουον pendens.

193. καὶ τὰ παθήματα κεῖνα. Minus bene vulgo παθήματ' ἐκεῖνα. Vide notam ad Aj. 233.

οὐκ ἔστιν ὅπως οὐ θεῶν μελέτῃ,
τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίᾳ
τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ὅδ' ἐξήκοι χρόνος, ᾧ λέγεται
χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι.
ΧΟ. εὔστομ' ἔχε, παῖ. στροφὴ γʹ.
ΝΕ. τί τόδε;
ΧΟ. προὐφάνη κτύπος
φωτὸς σύντροφος, ὡς τειρομένου.
ΝΕ. ἦ που τῇδ' ἢ τῇδε τόπων;
βάλλει, βάλλει μ' ἐτύμα φθογγά
του, στίβου κατ' ἀνάγκαν
ἕρποντος· οὐδ' ἐμὲ λάθει βαρεῖα
τηλόθεν αὐδὰ τρυσάνωρ.
διάσημα * γὰρ θρηνεῖ.
ΧΟ. ἀλλ' ἔχε, τέκνον— ἀντιστρ. γʹ.
ΝΕ. λέγ' ὅ τι.
ΧΟ. φροντίδας νέας.

* θρηνεῖ γὰρ edd. 1. 2.

196. Luxatum hujus versus metrum in membr. ut in Aldina: οὐκ ἔσθ' ὅπως οὐ θεῶν τοῦ μελέτῃ.

197. ἐπὶ Τροίᾳ. Triclinius, ἐπὶ Τροίαν.

200. δαμῆναι. gl. πορθῆναι.

205. ἐτύμα. Perperam in membr. et in Aldina ἑτοίμα.

206. στίβου. Extrinsecus arcessendam præpositionem ἐπὶ monuit scholiastes. Hujus ellipsis exempla satis obvia. Sic in Electra, 900.—ἐσχάτης δ' ὁρῶ Πυρᾶς νεωρῆ βόστρυχον τετμημένον. ubi ἐσχάτης πυρᾶς pendet a suppressa ἐπί. Eodem modo explicari potest versus hujus dramatis 1181. Triclinius contra veterum librorum fidem dedit στίβον, quod quidem bonum est, et intelligendum per ellipsin præpositionis κατὰ, ut in Aj. 30. πηδῶντα πεδία.—κατ' ἀνάγκαν. gl. βιαίως, μετὰ στεναγμοῦ.

209. διάσημα γὰρ θρηνεῖ. Sic edidit Aldus veterum codicum fidem secutus. Versus asynartetus est ex anapæsto et antispasto. In antistrophico ditrochæus est pro diiambo. Temere vocum ordinem invertit Triclinius.

212. οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ. Sic omnino legendus hic versus, ex metri et sermonis lege; et sic fere citatur ab Aristophanis enarratore ad Aves 276. οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ. At Tragici exemplaria vocula longiorem versum exhibent; ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ. Ratio metrica dimetrum anapæsticum flagitat, qualis est versus 203. Unde liquet

οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ὡνήρ,
οὐ μολπὰν σύριγγος ἔχων,
ὡς ποιμὴν ἀγροβότας, ἀλλ' ἤ
που πταίων ὑπ' ἀνάγκας
βοᾷ τηλωπὸν ἰωάν, ἢ ναὸς
ἄξενον αὐγάζων ὅρμον.
προβοᾷ γάρ τι δεινόν.

## ΦΙΛΟΚΤΗΤΗΣ.

Ἰὼ ξένοι,
τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλῳ πλάτῃ
κατέσχετ', οὔτ' εὔορμον, οὔτ' οἰκουμένην;
ποίας πάτρας ὑμᾶς ἂν ἢ γένους ποτὲ
τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος
στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί.
φωνῆς δ' ἀκοῦσαι βούλομαι· καὶ μή μ' ὄκνῳ
δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον·
ἀλλ' οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον,
ἔρημον ὧδε κἄφιλον κακούμενον,

illud ὡς sententiæ prorsus inutile, a mala manu additum fuisse. Tum ἀνήρ, quæ vox apud Nostrum priorem semper corripit, nude absque articulo certam atque definitam personam, de qua hic sermo est, designare non potest. (p)

214. ποιμὴν ἀγροβότας. Minime prætulerim scripturam codicis B. ἀγροβάτας. In Euripidis Cyclope v. 54. nomen ἀγροβότας ab eruditis viris frustra solicitatur, eadem analogia formatum, qua οἰοβότας in Aj. 615. et ejusdem significationis compositum ἀγρονόμος.

216. τηλωπόν. Hesych. μακρόθεν φαινόμενον. Sensuum vocabula commutantur, et quæ visus propria sunt, aliis eleganter tribuuntur. Sic supra, 202. πρεύφάνη κτύπος. Perperam in membran. et in Aldina τηλωπάν.

222. Veterum codd. et Aldi lectionem sequimur. Triclinius hic rursum nulla de causa verborum ordinem pervertit: ποίας πάτρας ἂν ἢ γένους ὑμᾶς ποτε.

223. Ἑλλάδος. gl. Ἑλληνικῆς. Ex Ajace Locro citatur Ἑλλὰς ἀνήρ, quomodo ὕβρις ἀνὴρ dixit Hesiodus. Nomina primitiva, propria seu appellativa, adjectivorum instar cujusvis generis junguntur substantivis; cujus schematis exempla passim occurrunt. Mox 256. Ἑλλὰς γῆ.

228. κακούμενον. Libri omnes καλούμενον mendose. Has voces jam male commutatas vidimus in Œd. Col. 261.

φωνήσατ', εἴπερ ὡς φίλοι προσήκετε.
ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ', οὔθ' ὑμᾶς ἐμοῦ.
ΝΕ. ἀλλ', ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, οὕνεκα
Ἕλληνές ἐσμεν. τοῦτο γὰρ βούλει μαθεῖν.
ΦΙ. ὦ φίλτατον φώνημα. φεῦ τὸ καὶ λαβεῖν
πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
τίς σ', ὦ τέκνον, προσέσχε, τίς προσήγαγε
χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος;
γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.
ΝΕ. ἐγὼ γένος μέν εἰμι τῆς περιῤῥύτου
Σκύρου· πλέω δ' ἐς οἶκον· αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος. οἶσθα δὴ τὸ πᾶν.
ΦΙ. ὦ φιλτάτου παῖ πατρὸς, ὦ φίλης χθονὸς,
ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων;
ΝΕ. ἐξ Ἰλίου τοι δῆτα νῦν γε ναυστολῶ.
ΦΙ. πῶς εἶπας; οὐ γὰρ δὴ σύ γ' ἦσθα ναυβάτης
ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.
ΝΕ. ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;
ΦΙ. ὦ τέκνον, οὐ γὰρ οἶσθά μ', ὅντιν' εἰσορᾷς;
ΝΕ. πῶς γὰρ κάτοιδ', ὅν γ' εἶδον οὐδεπώποτε;
ΦΙ. οὐδ' οὔνομ', οὐδὲ τῶν ἐμῶν κακῶν κλέος
ᾔσθου ποτ' οὐδὲν, οἷς ἐγὼ διωλλύμην;
ΝΕ. ὡς μηδὲν εἰδότ' ἴσθι μ', ὧν ἀνιστορεῖς.
ΦΙ. ὦ πόλλ' ἐγὼ μοχθηρὸς, ὦ πικρὸς θεοῖς,
οὗ μηδὲ κληδὼν ὧδ' ἔχοντος οἴκαδε,
μηδ' Ἑλλάδος γῆς μηδαμοῦ, διῆλθέ που.

229. *προσήκετε.* Triclinius nescio quo prolubio, *προσήκατε.*

237. *τίς ἀνέμων ὁ φίλτατος.* Perperam in T. *τίς δ' ἀνέμων*— ut legit etiam Eustathius, qui hanc versus clausulam citat p. 1717. Frigeret hic connectiva particula.

241. *οἶσθα δὴ τὸ πᾶν.* Sic in membr. Vulgo *οἶσθ' ἤδη*—

251. *οὐδ' οὔνομ'*—Mendose Aldus *ὄνομ'*—

ἀλλ᾽ οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ,
γελῶσι σῖγ᾽ ἔχοντες· ἡ δ᾽ ἐμὴ νόσος
ἀεὶ τέθηλε, κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρὸς ἐξ Ἀχιλλέως,
ὅδ᾽ εἰμ᾽ ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης· ὃν οἱ
δισσοὶ στρατηγοὶ, χὠ Κεφαλλήνων ἄναξ,
ἔῤῥιψαν αἰσχρῶς ὧδ᾽ ἔρημον, ἀγρίᾳ
νόσῳ καταφθίνοντα, τῆς ἀνδροφθόρου
πληγέντ᾽ ἐχίδνης ἀγρίῳ χαράγματι·
ξὺν ᾗ μ᾽ ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε,
ᾤχοντ᾽, ἔρημον, ἡνίκ᾽ ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
τότ᾽ ἄσμενοί μ᾽ ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ᾽ ἐπ᾽ ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,
λιπόντες ᾤχονθ᾽, οἷα φωτὶ δυσμόρῳ
ῥάκη προθέντες βαιὰ, καί τι καὶ βορᾶς
ἐπωφέλημα σμικρὸν, οἷ᾽ αὐτοῖς τύχοι.
σὺ δὴ, τέκνον, ποίαν μ᾽ ἀνάστασιν δοκεῖς,
αὐτῶν βεβώτων, ἐξ ὕπνου στῆναι τότε;
ποῖ᾽ ἐκδακρῦσαι; ποῖ᾽ ἀποιμῶξαι κακά;
ὁρῶντα μὲν ναῦς, ἃς ἔχων ἐναυστόλουν,
πάσας βεβώσας, ἄνδρα δ᾽ οὐδέν᾽ ἔντοπον,
οὐχ ὅστις ἀρκέσειεν, οὐδ᾽ ὅστις νόσου
κάμνοντι συλλάβοιτο. πάντα δὲ σκοπῶν,

258. σῖγ᾽ ἔχοντες. Id est σιγῶντες. Adverbium est σῖγα, et dicitur ἔχειν σῖγα, ut ἔχειν ἄτρεμα, ἔχειν ἡσύχως.

266. τῆς ἀνδροφθόρου. Perperam libri omnes τῆσδ᾽—

268. ξὺν ᾗ. gl. τῇ νόσῳ.

281. νόσου. Sic Aldus. Perperam in veteribus codd. νόσον. Haud melius in Triclinii recensione νόσῳ. ξυλλαμβάνειν et ξυλλαμβάνεσθαι cum genitivo rei construuntur. Comicus Vespis, 733. Νῦν δ᾽ αὖ παρών τις ἐμφανής σοι τῶν θεῶν Ξυλλαμβάνει τοῦ πράγματος. Pace, 437. Χὤστις προθύμως ξυλλάβῃ τῶν σχοινίων. Lysistrata, 313. Τίς ξυλλάβοιτ᾽ ἂν τοῦ ξύλου τῶν ἐν Σάμῳ στρατηγῶν;

εὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν·
τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
κἄδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον
διακονεῖσθαι. γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ' ἐξεύρισκε, τὰς ὑποπτέρους
βάλλον πελείας· πρὸς δὲ τοῦθ', ὃ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
εἰλυόμην δύστηνος, ἐξέλκων πόδα
πρὸς τοῦτ' ἄν· εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος, οἷα χείματι,

285. διὰ χρόνου, *aliquantisper*, dum scilicet suffecerunt alimenta, quæ ei relicta fuerant.

286. βαιᾷ. Membr. et Aldus perperam βαιῇ.

290. αὐτὸς AN τάλας εἰλυόμην— ἐξέλκων πόδα πρὸς τοῦτ' AN—ταῦτ' AN ἐμηχανώμην—πῦρ AN οὐ παρῆν. Nihil utique notius usu particulæ ἂν conjecturali cum indicativo in narrationibus, qua significatur non tam res facta, quam quæ fieri potuit, aut fieri solet : ideo exprimitur per *fere*, *fortassean*, ant per verbum *soleo*. Ex unico Aristophane centena exempla excitari possint. Viros doctos quandoque fefellit hic particulæ usus, ut Reiskium, qui ad hæc Lysiæ verba p. 272. ἠγανάκτουν ἄν, *indignari solebam*, ἂν sibi delendum videri ait : *quia non dicit orator se indignaturum fuisse, sed indignari consuevisse*. Atqui hæc ipsa est ratio, cur ἂν addidit. Sic Chorus senum in Comici Vespis, 268, ἀλλὰ πρῶτος ἡμῶν ἠγεῖτ' ἂν ᾄδων Φρυνίχου. *Sed primus nostrûm præire solebat*. Magnifice hic se effert nuperus Parisinus editor, tanquam si ipse primus hunc Græcæ linguæ idiotismum observasset, incompertum vel ipsi Valckenario, virorum quotquot fuerunt Græce doctorum doctissimo. Verum exemplorum partim idoneorum, partim secus, quæ congessit plaustra, non obstabunt quin in Euripidis Phœnissis 412. longe melius dicat Polynices : Ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον αὖ. *Aliquando habebam in diem, aliquando rursus non habebam* : quam εἶτ' οὐκ εἶχον ἄν : *aliquando nihil habere solebam*. εἶτ' αὖ frequentant Attici poëtæ : et ἂν conjecturale, ea potestate quam definitivi, rarius adhibetur in negativa propositione. Quod ἂν legatur in Philemonis versu ex Milite, inde argumentum petendum non erat ; nam est ex Grotii interpolatione. Apud Athenæum legitur : 'Αλλ' οἷος ἂν ζῶν, κ' ὀπτὸς ἂν τοιοῦτος ἄν. Quod sane præstat, nisi verius sit, ut Bentleio visum, κ' ὀπτὸς αὖ τοιοῦτος ἄν.

293. καί που πάγου χυθέντος. *Et si forte superfusæ essent terris pruinæ, ut hieme fieri solet*. Pessime Brumœus vertit : *Je rampais de même pour chercher de l'eau, et quand il falloit couper le bois qui m'étoit nécessaire, surtout dans les regueurs de l'hiver, où l'isle est inondée*. Mediocriter Græce doctus erat ingeniosus ille Jesuita. Nec melior est Gallici scriptoris, qui nuper Philoctetam

ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν,
ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων, μόλις
ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζει μ' ἀεί.
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα
πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ', ὦ τέκνον, νῦν καὶ τὸ τῆς νήσου μάθῃς.
ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών.
οὐ γάρ τις ὅρμος ἐστὶν, οὐδ' ὅποι πλέων
ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται.
οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν.
τάχ' οὖν τις ἄκων ἔσχε· πολλὰ γὰρ τάδε
ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ.
οὗτοί μ', ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
ἐλεοῦσι μὲν, καί πού τι καὶ βορᾶς μέρος
προσέδοσαν, οἰκτείραντες, ἤ τινα στολήν·
ἐκεῖνο δ' οὐδεὶς, ἡνίκ' ἂν μνησθῶ, θέλει,
σῶσαί μ' ἐς οἴκους· ἀλλ' ἀπόλλυμαι τάλας
ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῷ τε καὶ
κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
τοιαῦτ' Ἀτρεῖδαί μ', ἥ τ' Ὀδυσσέως βία,
ὦ παῖ, δεδράκασ'· οἷς Ὀλύμπιοι θεοὶ

e Sophocleo expressum docuit, versio: *Des glaçons. dont l'hiver blanchissait ce rivage, J'exprimais avec peine un douloureux breuvage.* Sicque sententiam suam de hujus loci interpretatione exponit : *J'ai rapporté ces mots καί που πάγου χυθέντος, au vers précédent : εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν, et s'il fallait chercher quelque boisson*, et quidem glacie fusa, *que je ne trouvais que dans la glace fondue, et de même dans l'hiver ramasser du bois*, etc. *J'ai traduit αὖ par* de même, pariter, *comme fait le Scholiaste Latin qui a suivi le même sens.* Quis ille sit Latinus Scholiasta ignoro. Video Camerarium ista bene accepisse, nimirum Philoctetam dicere, *lignum sibi parandum fuisse adversus gelu, ut maxime hieme esse soleat* : meritoque illi damnatam fuisse nescio cujus alîus interpretationem, qui πάγον pro *rupe* accepisse videtur. Ex Gallici illius scriptoris verbis liquet, aliud esse Græcas contaminare fabulas, aliud eas interpretari.

316. αὐτοῖς, quia præcessit οἷς, Cantero suspectum fuit, qui illius vice αὖτις legendum esse credidit. Sed falsus est. Callimachus in Epigram. Ἄκρητος καὶ ἔρως μ' ἠνάγκασεν,

δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.
ΧΟ. ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
ξένοις ἐποικτείρειν σε, Ποίαντος τέκνον.
ΝΕ. ἐγω δὲ καὐτὸς τοῖσδε μάρτυς ἐν λόγοις,
ὡς εἴσ' ἀληθεῖς οἶδα, συντυχὼν κακῶν
ἀνδρῶν 'Ατρειδῶν, τῆς τ' 'Οδυσσέως βίας.
ΦΙ. ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
ἔγκλημ' 'Ατρείδαις, ὥστε θυμοῦσθαι παθών;
ΝΕ. θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε,
ἵν' αἱ Μυκῆναι γνοῖεν, ἡ Σπάρτη θ', ὅτι
χ' ἡ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
ΦΙ. εὖ γ', ὦ τέκνον. τίνος γὰρ ὧδε τὸν μέγαν

ὧν ὁ μὲν αὐτῶν Εἷλκεν, ὁ δ' οὐκ εἶα σώφρονα θυμὸν ἔχειν. Itidem Menander in Epigr. in Themistoclem et Epicurum: Χαῖρε Νεοκλείδα δίδυμον γένος· ὧς ὁ μὲν ὑμῶν Πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

320. *συντυχὼν κακῶν ἀνδρῶν.* Constructionis ratio optime declaratur in nota, quam e membr. protuli: ΣΥΝΤΥΧΩΝ, οὐχ ἁπλῶς τυχών. ἐκεῖνο γὰρ δοτικῇ συντάσσεται. ἀλλὰ σὺν σοὶ τυχὼν τῶν κακῶν 'Ατρειδῶν. Conferri possunt minora scholia ad El. 283. et Triclinii nota ad Aj. 491. Frustra Toupius ad Suidam tom. i. p. 134. lectionem librorum vitiosam esse pronuntiat, et sic refingendam, συντυχὼν κακοῖν ἀνδροῖν 'Ατρειδαῖν, τῇ τ' 'Οδυσσέως βίᾳ. Nihil mutandum esse ostendi ad Euripidis Orestem 1291. Verbum compositum cum casu construitur, quem simplex regit, vel vacante, vel aliorsum pertinente præpositione.

324. Libri omnes nostri hunc versum sic scriptum exhibent; Θυμῷ γένοιτο χεῖρα πληρῶσαι ποτέ. Ex hac verborum structura qui bonum sensum elicere conabitur, meras nugas aget. Inepta est Heathii versio: *Iræ utinam contingat, ut manum aliquando tandem satiem.* Expressum vellem id quo manum suam non *satiare*, sed *implere* cupiat Neoptolemus. Nam *manum implere* absolute, nihil est. Idcirco Valckenarii conjecturam in Commentario ad Euripidis Phœn. p. 284. minus probo: Εἴ μοι γένοιτο χεῖρα πληρῶσαί ποτε. Pejor est adhuc Toupii interpretatio: *Utinam satis irasci liceat!* Quid quæso obstabat quin ad satietatem irasceretur? Haud sane video quid huic versui sit cum exemplis ab erudito Britanno excitatis ad Suidam iii. 130. Nulla alia est ratio eum interpretandi quam per hypallagen, quam viam inierunt interpretes præstantissimi. Florens Christianus: *Utinam hanc manu olim tester iracundiam!* Georgius Ratallerus: *O mihi utinam, quæ mente verso, manu exsequi Liceat!* Camerarius: *Utinam concedatur mihi re ipsa et manibus explere iram meam!* Est hic profecto verus sensus: nec aliter ex vi sententiæ et affectu personæ verti poterat. Verum aliud Græca verba sonant, et hypallage quam commenti sunt, nimis esset absona.

χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;
ΝΕ. ὦ παῖ Ποίαντος, ἐξερῶ, μόλις δ' ἐρῶ,
ἅγωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών.
ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν —
ΦΙ. οἴ μοι· φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω
πρῶτον τόδ', εἰ τέθνηχ' ὁ Πηλέως γόνος.
ΝΕ. τέθνηκεν, ἀνδρὸς οὐδενὸς, θεοῦ δ' ὕπο
τοξευτὸς, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.
ΦΙ. ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε χὠ θανών.
ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν
πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
ΝΕ. οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ', ὦ τάλας,

Permutationem hanc nemo sanus poëtæ tribuat, verum librarii seu Grammatici errori aut libidini. Scripserat Sophocles: Θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε. χειρὶ dativus est instrumenti. πληρῶσαι θυμὸν, *animi cupiditatem*, sive ultionis, sive cujusvis alius rei, *explere*, elegans locutio est, quam exemplis erudite illustrat Valckenarius ad Eurip. Hippol. 1327. Κύπρις γὰρ ἤθελ' ὥστε γίγνεσθαι τάδε, Πληροῦσα θυμόν. Noster in Œd. Col. 778. Πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις. Sic de videndi cupiditate Euripides in Androm. 1084. ὄμματ' ἐξεπίμπλαμεν. Nihil verius hac emendatione, quam proposueramus olim ad Æschyli Persas 94. quamque lubenter vidimus viri eruditissimi Frid. Gedike calculo comprobari.

328. τίνος χόλον κατ' αὐτῶν ΕΓΚΑΛΩΝ ἐλήλυθας; Prægnans est phrasis pro ἕνεκα τίνος τὸν χόλον ὧδε μέγαν κατ' αὐτῶν ἔχων, αὐτοῖς ἐγκαλῶν ἐλήλυθας; Vel per metonymiam satis usitatam explicanda est, qua effectus pro causa ponitur, *ira* pro *injuria*, quæ iram commovit. Haud absimile est illud in Œd. T. 702. Λέγ', εἰ σαφῶς, τὸ νεῖκος ἐγκαλῶν, ἐρεῖς. Virum longe omnium qui nunc sunt doctissimum offendit hæc locutio, cui vitium librarii errore subesse ratus, reponendum censet ΕΓΧΑΛΩΝ. *Quamnam ob causam iræ in eos tam vehementi frena laxans venisti?* Sic Virgilius Æn. xii. *irarumque omnes effundit habenas.* Tametsi nemo est cujus auctoritas plus apud me valeat, quam præstantissimi illius viri, haud facile animum inducere queo ἐγχαλῶν a poëtæ manu esse. Parum me movet, quod compositi ἐγχαλᾷν haud innotuerit exemplum: satis id tuetur analogiæ ratio. Verum ubi χαλᾷν τὴν ὀργὴν, vel χαλᾶν τῆς ὀργῆς occurrunt, ut apud Comicum Vesp. 727. Av. 383. sensu plane contrario locutiones illæ adhibentur, pro *mollire, remittère irám:* proinde non video qui ἐγχαλᾷν χόλον significare possit *iram* intendere, seu *iræ habenas immittere.* Pro γὰρ Heathius scribendum censet γ' ἄρ', frustra. In interrogationibus γὰρ connectivum est et valet *igitur*. Exempla vide in Indice in Aristophanem.

338. ἐλέγχω. gl. ἐξακριβώσομαι.

ἀλγήμαθ', ὥστε μὴ τὰ τῶν πέλας στένειν.
ΦΙ. ὀρθῶς ἔλεξας. τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ', ὅτῳ σ' ἐνύβρισαν.
ΝΕ. ἦλθόν με νηῒ ποικιλοστόλῳ μέτα
δῖός τ' Ὀδυσσεὺς χὠ τροφεὺς τοῦ 'μοῦ πατρὸς,
λέγοντες, εἴτ' ἀληθὲς, εἴτ' ἄρ' οὖν μάτην,
ὡς οὐ θέμις γίγνοιτ', ἐπεὶ κατέφθιτο
πατὴρ ἐμὸς, τὰ Πέργαμ' ἄλλον ἢ μ' ἑλεῖν.
ταῦτ', ὦ ξέν', οὕτως ἐννέποντες, οὐ πολὺν
χρόνον μ' ἐπέσχον, μή με ναυστολεῖν ταχὺ,
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην.
ἔπειτα μέν τοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίᾳ πέργαμ' αἱρήσοιμ' ἰών.
ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην· κἄμ' εὐθὺς ἐν κύκλῳ στρατὸς
ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
τὸν οὐκ ἔτ' ὄντα ζῶντ' Ἀχιλλέα πάλιν.
κεῖνος μὲν οὖν ἔκειτ'. ἐγὼ δ' ὁ δύσμορος,
ἐπεὶ 'δάκρυσα κεῖνον οὐ μακρῷ χρόνῳ,
ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς, τά τ' ἄλλ' ὅσ' ἦν.
οἱ δ' εἶπον, οἴ μοι, τλημονέστατον λόγον·
Ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷ' ἑλέσθαι· τῶν δ' ὅπλων κείνων ἀνὴρ
ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος. —

349. μ' ἐπέσχον. Mendose in membr. et in Aldina μ' ἔπασχον.

351. ἄθαπτον, *ante quam imponeretur rogo.* Vox illa in scholiorum editione Romana inepte exponitur per ζῶντα. Glossa, cujus voculam tantum exscripserat Janus Lascaris, ad sequentia verba pertinet, οὐ γὰρ εἰδόμην.

363. τλημονέστατον λόγον. Recte in El. 439. τλημονεστάτη γυνὴ exponitur τολμηροτάτη, ἀναιδεστάτη. Eadem hic obtinet significatio. In scholio pro ἀποδυρόμενος, scriptus liber habet ἀπολοφυρόμενος.

κἀγὼ δακρύσας, εὐθὺς ἐξανίσταμαι
ὀργῇ βαρείᾳ, καὶ καταλγήσας λέγω·
Ὦ σχέτλι', ἦ τολμήσατ' ἀντ' ἐμοῦ τινι
δοῦναι τὰ τεύχη τἀμὰ, πρὶν μαθεῖν ἐμοῦ;—
ὁ δ' εἶπ' Ὀδυσσεὺς, πλησίον γὰρ ἦν κυρῶν·
Ναὶ, παῖ, δεδώκασ' ἐνδίκως οὗτοι τάδε.
ἐγὼ γὰρ αὔτ' ἔσωσα κἀκεῖνον παρών.—
κἀγὼ χολωθεὶς εὐθὺς ἤρασσον κακοῖς
τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὢν,
δηχθεὶς πρὸς ἃ 'ξήκουσεν, ὧδ' ἠμείψατο·
Οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει.
καὶ ταῦτ', ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσεις ἔχων.—
τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακὰ,

369. ὦ σχέτλι', ἦ τολμήσατε. Ineptissima est Heathii conjectura, ὦ σχέτλιοι, ἦ—Scilicet quia diphthongus οι elidi non potest. At vero non eliditur, quippe qui hîc nulla est. σχέτλι' plene est σχέτλιε. Quia verbum adest plurale τολμήσατε, non idcirco vocativus esse debet pluralis numeri. Alloqui potuit Neoptolemus Græcorum proceres apud Agamemnonem congregatos, et summum ducem vocativo compellare. Matrem et Achillem alloquitur Iphigenia apud Euripidem, et unicam matrem compellat: μῆτερ, εἰσακούσατε τῶν ἐμῶν λόγων. Infra, 446. ἤδη, τέκνον, τέλλεσθε; Ridiculum esset rem notissimam multis exemplis adstruere. Vide quæ notavimus ad Comici Ranas 1479.

371. In veteribus codd. ut in impressis, scriptum πλησίον γὰρ ἂν κύρει, accentu indicante verbum esse temporis imperfecti, quod ne dubium esset, ex Triclinii præcepto scriptum in T. ἂν 'κύρει, tanquam si ε in consonante elidi posset. Sane res ipsa manifesto tempus imperfectum postulat: verum Attici poëtæ rarissime argumentum omittunt, nec erat hîc licentiæ locus. Depravata fuit a librariis genuina lectio, quam restitui: πλησίον γὰρ ἦν κυρῶν. Sic infra, 544. Ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι. Verbum κυρῶ frequentius cum participio construitur, quod librario fraudi fuit. Sic verbum τυγχάνω cum participio construi solet: tamen in Œd. Col. 1490. ejus participium verbo junctum occurrit: ἦν περ τυγχάνων ὑπεσχόμην, pro ἥνπερ ἔτυχον ὑποσχόμενος.

377. δύσοργος. gl. μάχιμος, ὀργίλος. —δηχθεὶς, λυπηθείς.

380. καὶ ταῦτα, scilicet τὰ ὅπλα ἔχων οὐ μήποτε ἐκπλεύσεις ἐς τὴν Σκῦρον. Solœce vulgo legitur ἐκπλεύσῃς.

πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.
κοὐκ αἰτιῶμαι κεῖνον, ὡς τοὺς ἐν τέλει.
πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων,
στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν,
διδασκάλων λόγοισι γίγνονται κακοί.
λόγος λέλεκται πᾶς. ὁ δ' Ἀτρείδας στυγῶν
ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος.

ΧΟ. ὀρεστέρα παμβῶτι Γᾶ, στροφή.
μᾶτερ αὐτοῦ Διός,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
σὲ κἀκεῖ, μᾶτερ
πότνι', ἐπηυδώμαν,
ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν
ὕβρις πᾶσ' ἐχώρει,
ὅτε τὰ πάτρια τεύ-
χεα παρεδίδοσαν,
ἰὼ μάκαιρα ταυροκτόνων λεόντων
ἔφεδρε, τῷ Λαερτίου
σέβας ὑπέρτατον.

ΦΙ. ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
λύπης, πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκατε,
κἀμοὶ προσᾴδεθ' ὥστε γιγνώσκειν, ὅτι
ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσῃ θιγόντα καὶ πανουργίας, ἀφ' ἧς
μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν.

383. τητώμενος. gl. ἐστερημένος.

385. κοὐκ αἰτιῶμαι κεῖνον. In B. scriptum minus bene αἰτιῶμ' ἐκεῖνον.

395. ἐπηυδώμαν. Sic Aldus et veteres codd. Triclinius stolido prolubio dedit ἐξηυδώμαν.

398. τὰ πάτρια τεύχεα. Scholiastes exponit τὰ πατρικά. Harum vocum differentiam statuunt Grammatici, quam Pollux haud magis Tragico nostro agnovisse videtur. Sic enim ille libro ii. cap. 2. περὶ γονέων. ἡ δὲ διὰ τούτων κτῆσις, πατρῴα, πατρικὴ, πάτριος. Vim præpositionis in παρεδίδοσαν argute declarat glossa: ἡ παρὰ τὸ ἄλογον καὶ ἄδικον δηλοῖ.

ἀλλ' οὔ τι τοῦτο θαῦμ' ἔμοιγ'· ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.
ΝΕ. οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'· οὐ γὰρ ἄν ποτε
ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.
ΦΙ. πῶς εἶπας; ἀλλ' ἦ χ' οὗτος οἴχεται θανών;
ΝΕ. ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.
ΦΙ. οἴμοι τάλας. ἀλλ' οὐχ ὁ Τυδέως γόνος,
οὐδ' οὑμπόλητος Σισύφου Λαερτίῳ,
οὐ μὴ θάνωσι; τούσδε γὰρ μὴ ζῆν ἔδει.
ΝΕ. οὐ δῆτ'· ἐπίστω τοῦτό γ'. ἀλλὰ καὶ μέγα
θάλλοντές εἰσι νῦν ἐν Ἀργείων στρατῷ.
ΦΙ. τί δ'; ὃς παλαιὸς, κἀγαθὸς, φίλος τ' ἐμὸς,
Νέστωρ ὁ Πύλιός, ἐστιν; οὗτος γάρ τά γε
κείνων κάκ' ἐξήρυκε, βουλεύων σοφῶς.
ΝΕ. κεῖνός γε πράσσει νῦν κακῶς, ἐπεὶ θανὼν
Ἀντίλοχος αὐτῷ φροῦδος, * ὃς παρῆν μόνος.

* ὅσπερ ἦν edd. 1. 2.

417. *οὐδ' οὑμπόλητος Σισύφου Λαερτίῳ.* Id est *οὐδὲ ὁ Σισύφου υἱὸς ἐμπόλητος Λαερτίῳ.* Quia scilicet ex furtivo Sisyphi compressu gravidam Anticleam duxerat Laërtes. Perperam vulgo legitur *Λαερτίου*, cui lectioni nostra in membr. superscripta. Fallitur Scholiastes, quum ait *Λαέρτιος* possessivum esse pro primitivo. Duplex forma est hujus nominis, utraque primitiva. Eustathius ad Homerum, p. 13. *διφορεῖται γὰρ τοῦτο. καὶ οὐ μόνον Λαέρτης λέγεται, ἀλλὰ καὶ Λαέρτιος, ὡς δηλοῖ καὶ Σοφοκλῆς.* Hanc formam adhibitam videmus solum, ubi alteram metri lex non admittit. Spreta veterum librorum auctoritate, Triclinius differentiam illam susque deque habuit. Supra, v. 366. *Λαερτίου* dedit, ubi nos ex antiquitatis fide, *Ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος.* Eamdem interpolationem ab eo factam fuisse in Aj. 1393. observavimus.

421. *τί δ'; ἔστιν*—*Quid vero? Nestor—vivitne?* Comicus in Pace, 700. *Τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν;* ad quem locum vide quæ notavimus.

423. *κάκ' ἐξήρυκε.* Glossa in T. *ἐξέβαλεν. ἀπὸ τοῦ ἐρύω τὸ ἕλκω.* Quid in aliis libris repererit auctor scholiorum, non assequor: sane lectio quam profert *κἀξεκήρυξε* locum habere non potuit. *βουλεύων σοφῶς.* In T. *σοφά.* Appositæ duæ diversæ lectiones, *σοφῶς*, *σαφῶς.* Posteriorem, eamque pessimam, arripuit Turnebus.

425. *ὃς παρῆν μόνος.* Duplex fertur hujus loci lectio, utraque mendosa. Nimis ineptum est, quod libri exhibent, *ὅσπερ ἦν γόνος.* Tolerabilior est aliquanto lectio Scholiastæ memorata, *ὅσπερ ἦν μόνος*, nec tamen admittenda. Ignorat omnia quæ ad Trojam gesta fuere, quibus non

ΦΙ. οἴ μοι, δῦ' * αὐτὼ δείν' ἔλεξας, οἷν ἐγὼ
ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν.
φεῦ, φεῦ· τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν
τεθνᾶσ', Ὀδυσσεὺς δ' ἐστὶν αὖ κἀνταῦθ', ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;
ΝΕ. σοφὸς παλαιστὴς κεῖνος· ἀλλὰ χ' αἱ σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά.
ΦΙ. φέρ' εἰπὲ πρὸς θεῶν, ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα;
ΝΕ. χ' οὗτος τεθνηκὼς ἦν· λόγῳ δέ σε βραχεῖ
τοῦτ' ἐκδιδάξω. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρὸν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
ΦΙ. ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,

* αὔτως edd. 1. 2.

interfuit Philocteta: horum si quæ narrat Neoptolemus, quidvis ei fingere licet, quo facilius illum decipiat. At Nestorem non ignorat Philocteta, quem amicum suum appellat, quem Aulide viderat, ante quam solveret classis, quicum usque in Lemnum navigaverat: sciebat profecto plures uno cum filios habere. Præterea in re notissima Homeri auctoritatem, quem vide Od. γ'. 413. deseruisse censendus non est Sophocles, unicum Nestori filium tribuendo. Latebat menda, quam prius me deprehendisse eo magis miror, quo frequentior est in libris. Scripserat Tragicus ὃς παρῆν, unde librarii negligentia fecit ὅστις ἦν. Solum patri adfuisse Antilochum, est quidem præter historiæ fidem, siquidem Thrasymedes cum patre Pylum reversus est; sed eum superstitem esse ignorat Philocteta, nec dolo quem struit Neoptolemus obstat, si eum quoque periisse innuat, quo magis animum Philoctetæ commoveat. Quam pravæ lectioni tutelam commentus fueram, μόνος accipi posse pro ἀγαπητὸς, ut hoc vice versa *unicum* quandoque notare observatum fuit, eam pluma leviorem esse fateor.

426. δῦ' αὐτὼ δείν' ἔλεξας. Sinceram hanc lectionem servavit Scholiastes. Inde ortæ depravationes δῦ' αὔτως et δῦ' αὐτὸς, quorum posterius sola Stephani editio exhibet. δεινὰ λέγειν τινὰ notissima est phrasis, pro δεινὰ λέγειν περί τινος.

434. ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα. Libri omnes ὅς σοι πατρὸς—Verissimam Hemsterhusii emendationem recepi, quem vide ad Lucianum tom. i. p. 147. σοι ab obscitante librario repetitum videtur e præcedente versu, et hic valde esset invenustum. Præstat σοῦ πατρὸς, ut Trach. 85. Καὶ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος. et El. 1222.—τήνδε προσβλέψασ' ἐμοῦ σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.

437. Confer fragmentum Phrygum.

γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν κυρεῖ.
ΝΕ. ποίου δὲ τοῦτο, πλήν γ' Ὀδυσσέως, ἐρεῖς;
ΦΙ. οὐ τοῦτον εἶπον· ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν, ὅπου
μηδεὶς ἐῴη· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;
ΝΕ. οὐκ εἶδον αὐτὸν, ᾐσθόμην δ' ἔτ' ὄντα νιν.
ΦΙ. ἔμελλ'· ἐπεὶ οὐδέπω κακόν γ' ἀπώλετο.
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες·
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅδου, τὰ δὲ
δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐπαινῶν, τοὺς θεοὺς εὕρω κακούς;
ΝΕ. ἐγὼ μὲν, ὦ γένεθλον Οἰταίου πατρὸς,
τὸ λοιπὸν ἤδη τηλόθεν τό τ' Ἴλιον
καὶ τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι·
ὅπου γ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει,

441. ποίου δὲ τοῦτο. In Aldina et in membr. ποίου τε τούτου. In duobus aliis ποίου γε τούτου. Mendosum utrumque.

443. Thersitæ indolem describit Homerus: Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα, Ὅς ῥ' ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδη, Μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσιν· Ἀλλ' ὅ τι οἱ εἴσαιτο γελοίϊον Ἀργείοισιν Ἔμμεναι. Ad quem locum sic Eustathius: Σοφοκλῆς τὸν τοιοῦτον Ὁμηρικὸν νοῦν παραφράζων, φησὶ περὶ Θερσίτου, ὅτι οὐκ ἂν εἵλετο εἰσάπαξ εἰπεῖν, ὅπου μηδεὶς ἐῴη. τουτέστιν οὕτω θρασὺς ἦν, ὥστε καὶ κωλυόμενός τι λέγειν, ὡς μὴ δέον ὂν λέγεσθαι, ὁ δὲ τὸ αὐτὸ πολλάκις ἐλάλει. Quod autem mox sequitur in Neoptolemi responso, vivere adhuc Thersiten, id poëtæ fingere licuit, ut inde ansam arriperet Philocteta Fati injustitiam expostulandi. At revera, ut scholiastæ observatum, e vita excesserat tunc Thersites ab Achille interemptus, cujus iram in se concitaverat petulanti objurgatione. Rem narrat Quintus Calaber *Paralipom.* i. 270.

446. ἔμελλ'—gl. ἔοικε. E proximo ὄντα repetendum εἶναι. ἔμελλεν εἶναι αὐτός. In ἐπεὶ οὐδέπω coalescunt ει ου in unam syllabam. Aliter visum librario codicis T. qui scripsit ἐπεί γ' οὔπω. Nolebat forte anapæstum esse in secunda sede.

447. περιστέλλουσιν. gl. περικαλύπτουσιν. Hesych. περιστέλλει, σκέπει, φυλάττει. Idem: παλιντριβῆ, κακεντρεχῆ. Ad quam glossam videndus interpres.

453. γένεθλον. Perperam Aldus γενέθλιον.

456. ὅπου γ' ὁ χείρων. Sic B. T. In Aldina ὅπου θ'—quod Heathio præferendum videtur. Dicere sal-

κἀποφθίνει τὰ χρηστὰ, χὠ δειλὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ.
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπὸν, ὥστε τέρπεσθαι δόμῳ.
νῦν δ' εἶμι πρὸς ναῦν. καὶ σὺ, Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες
νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν· ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.
ΦΙ. ἤδη, τέκνον, στέλλεσθε;
ΝΕ. καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.
ΦΙ. πρὸς νῦν σε πατρὸς, πρός τε μητρὸς, ὦ τέκνον,
πρός τ' εἴ τι σοι κατ' οἶκόν ἐστι προσφιλὲς,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον
ἔρημον ἐν κακοῖσι τοῖσδ', οἵοις ὁρᾷς,
ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με·
ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μὲν,
ἔξοιδα, πολλὴ τοῦδε τοῦ φορήματος·
ὅμως δὲ τλῆθι. τοῖσι γενναίοισί τοι
τό τ' αἰσχρὸν ἐχθρὸν, καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ', ἐκλιπόντι τοῦτ', ὄνειδος οὐ καλόν·

tem debebat quamnam potestatem elisæ particulæ tribueret. Illi in membr. superscripta est glossa τοι.

457. χὠ δειλὸς κρατεῖ. Perperam in omnibus libris δεινός. Has voces commutatas alibi jam observavimus.

473. ἐν παρέργῳ θοῦ με. Dicuntur ἐν παρέργῳ aliquid facere, qui obiter, in transitu, et præter propositum aliquid faciunt. Sic apud Euripidem in El. 512. Ἦλθον γὰρ αὐτοῦ πρὸς τάφον, πάρεργ' ὁδοῦ. In pictura πάρεργα appellantur, quæcunque tabellæ ornandæ gratia in vacuis spatii partibus artifex addit, minus diligenti cura elaborata. Hinc ἐν παρέργῳ τιθέμενα, facilia esse censentur, quæ levi opera, sine dispendio efficiuntur, quæ proinde non magni facere debet is, a quo impetrantur. Helena apud Euripidem v. 933. Τὴν δ' ἀθλίαν ἐμ', οἷσιν ἔγκειμαι κακοῖς, Ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης. *Serva me, corollarium hoc dans fortunæ.* Id est, *hoc addens fortunæ, quæ me illibatam servavit, et conjugem meum huc deduxit.* Idem in El. 63. Πάρεργ' Ὀρέστῃ κἀμὲ ποιεῖται δόμων. Hujus locutionis exempla permulta dabit Index Lucianeus.

δράσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ'· ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
τόλμησον, ἐμβαλοῦ μ' ὅπη θέλεις ἄγων,
ἐς ἀντλίαν, ἐς πρῷραν, ἐς πρύμναν, ὅποι
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
νεῦσον, πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον,
πείσθητι. προσπιτνῶ σε γόνασι, καίπερ ὢν
ἀκράτωρ ὁ τλήμων, χωλός. ἀλλὰ μή μ' ἀφῇς
ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου.
ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά·
κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος,
Τραχινίαν τε δειράδα, καὶ τὸν εὔροον
Σπερχειὸν ἔσται, πατρί μ' ὡς δείξῃς φίλῳ,
ὃν δὴ παλαί' ἂν ἐξότου δέδοικ' ἐγὼ
μή μοι βεβήκοι. πολλὰ γὰρ τοῖς ἱγμένοις
ἔστελλον αὐτὸν, ἱκεσίους πέμπων λιτὰς,
αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμοις.
ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,

482. ἐς πρύμναν, ὅποι—Triclinius asyndeti venustate posthabita, inficetam copulam infersit, quam veteres libri non agnoscunt.

491. δειράδα. Sic libri omnes. Toupius ad Suidam i. 87. quia anapæstus est in quarta sede, δεράδα contendit a poëta scriptum fuisse; quod minime credo. δειρὴ et δέρη frequentantur; at δερὰς nuspiam vidi. Heathii commentum, Τραχινίαν δειράδα τε, non magis probo. Anapæstus hic tam ferendus est, quam in Trach. v. 292. Τῶν μὲν παρόντων, τῶν δὲ πιστευσμένη λόγῳ. Nam vocalem ante literas σμ corripuisse Atticos poëtas nec Toupius nec quivis alius mihi persuadebit.

493. παλαί' ἄν. Sic libris omnes veteres et Scholiastes. παλαιὰ Attice pro παλαιὸν, ut πότερα pro πότερον, et infinita alia. Hoc ex glossa Triclinius in textum intulit, extrito ἄν. Subauditur εἴην. Sic in Œd. T. 561. pro μακρός ἐστι χρόνος, dixit, Μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.

494. μή μοι βεβήκοι. In B. βεβήκῃ. In T. βεβήκει.

495. ἔστελλον αὐτόν. Sic libri omnes veteres. In T. αὐτὸς, altero tamen superscripto. ἔστελλον est pro μετέστελλον, et πολλὰ pro πολλάκις.

498. τοὐμὸν ἐν σμικρῷ μέρει ποιούμενοι. Sic in membr. scriptum a prima

ὡς εἰκὸς, οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρει
ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον.
νῦν δ', εἰς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον, εἰσορῶν
ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.
χρὴ δ' ἐκτὸς ὄντα πημάτων, τὰ δείν' ὁρᾷν·
χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ.

XO. οἰκτείρ', ἄναξ· πολλῶν ἔλε- ἀντιστ.
ξεν δυσοίστων πόνων
ἆθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων.
εἰ δὲ πικροὺς, ἄναξ,
ἔχθεις Ἀτρείδας,
ἐγὼ μὲν, τὸ κείνων
κακὸν τῷδε κέρδος
μετατιθέμενος, ἔν-
θαπερ ἐπιμέμονεν,
ἐπ' εὐστόλου ταχείας νεὼς πορεύσαιμ'
ἂν ἐς δόμους, τὰν ἐκ θεῶν
νέμεσιν ἐκφυγών.

NE. ὅρα σὺ, μὴ νῦν μέν τις εὐχερὴς παρῇς·
ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ,
τότ' οὐκ ἔθ' ὡὐτὸς τοῖς λόγοις τούτοις φανῇς.

manu, ut et apud Suidam in Διάκονος legitur. Vulgatum minus probo, τοὐμὸν ἐν σμικρῷ μέρος.

507. πολλῶν ἔλεξεν. Triclinius particulam δὲ infersit absque ulla ratione.

509. ὅσσα. gl. ὧν. Scilicet dicitur τυγχάνειν τι, ut τυγχάνειν τινός. Vide notata ad Eurip. Med. 759. Idem Suppl. 266.—κἀκβαλεῖς χθονὸς Γραῦς οὐ τυχούσας οὐδὲν ὧν αὐτὰς ἐχρῆν.

514. κέρδος μετατιθέμενος. Sic legit Scholiastes, meo judicio, recte. Vulgo μέγα τιθέμενος. In T. nostra lectio alteri superscripta: γρ. μετατιθέμενος.

515. ἐπιμέμονεν. Sic emendate Turnebus edidit. In Aldina est, ut in veteribus codd. ἐπεὶ μέμονεν. In T. ἐπιμέμηνεν.

521. τότ' οὐκ ἔθ' ὡὐτός. Sic recte Aldus et ipse Turnebus, licet in Triclinii recensione sit οὐκέτ' αὐτός. Vide ad Œd. T. 557. Œd. Col. 1486.

ΧΟ. ἥκιστα. τοῦτ' οὐκ ἔσθ' ὅπως ϖοτ' εἰς ἐμὲ
τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.
ΝΕ. ἀλλ' αἰσχρὰ μέντοι, σοῦ γ' ἔμ' ἐνδεέστερον
ξένῳ φανῆναι ϖρὸς τὸ καίριον ϖονεῖν.
ἀλλ', εἰ δοκεῖ, ϖλέωμεν, ὁρμάσθω ταχύς·
χ' ἡ ναῦς γὰρ ἄξει, κοὐκ ἀπαρνηθήσεται.
μόνον θεοὶ σώζοιεν ἔκ γε τῆσδε γῆς
ἡμᾶς, ὅποι τ' ἐνθένδε βουλόμεσθα ϖλεῖν.
ΦΙ. ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνὴρ,
φίλοι δὲ ναῦται, ϖῶς ἂν ὑμῖν ἐμφανὴς
ἔργῳ γενοίμην, ὥς μ' ἔθεσθε ϖροσφιλῆ.
ἴωμεν, ὦ ϖαῖ, ϖροσκύσαντες τὴν ἔσω
ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος.
οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνην θέαν
ἄλλον λαβόντα, ϖλήν γ' ἐμοῦ, τλῆναι τάδε·
ἐγὼ δ' ἀνάγκῃ ϖροὔμαθον στέργειν κακά.
ΧΟ. ἐπίσχετον· μάθωμεν. ἄνδρε γὰρ δύο,
ὁ μὲν, νεὼς σῆς ναυβάτης, ὁ δ', ἀλλόθρους,
χωρεῖτον, ὧν μαθόντες, αὖθις εἴσιτον.

## ΕΜΠΟΡΟΣ.

Ἀχιλλέως ϖαῖ, τόνδε τὸν ξυνέμπορον,
ὃς ἦν νεὼς σῆς ξὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ' ἐμοί σε ϖοῦ κυρῶν εἴης φράσαι,
ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχῃ δέ ϖως ϖρὸς ταυτὸν ὁρμισθεὶς ϖέδον.

524. αἰσχρὰ Attice pro αἰσχρὸν, ut supra, 493. ϖαλαιὰ pro ϖαλαιόν.

529. βουλόμεσθα.. Sic recte in B. Vulgo βουλοίμεσθα.

537. ϖλήν γ' ἐμοῦ. Usitata in hac formula particula γε, quam a librariis male omissam reposui.

538. στέργειν κακά. Hujus lectionis meminit Scholiastes, quæ vulgatæ στέργειν τάδε præferenda. Legi potuit στέργειν ὅμως.

539. δύο. Sic emendate scriptum in B. Perperam in aliis δύω, quod Atticis poëtis prorsus inusitatum. Vide quæ notavimus ad Comici Ranas 1405.

πλέων γὰρ, ὡς ναύκληρος, οὐ πολλῷ στόλῳ
ἀπ' Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας, ὅτι
σοὶ πάντες εἶεν οἱ νεναυστοληκότες,
ἔδοξέ μοι μὴ σῖγα, πρὶν φράσαιμί σοι,
τὸν πλοῦν ποιεῖσθαι, προστυχόντι τῶν ἴσων.
οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφὶ σοῦ νέα
βουλεύματ' ἐστί· κοὐ μόνον βουλεύματα,
ἀλλ' ἔργα δρώμεν', οὐκ ἔτ' ἐξαργούμενα.
ΝΕ. ἀλλ' ἡ χάρις μὲν τῆς προμηθείας, ξένε,
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ·
φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μοι
νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.
ΕΜ. φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ
Φοίνιξ θ' ὁ πρέσβυς, οἵ τε Θησέως κόροι.
ΝΕ. ὡς ἐκ βίας μ' ἄξοντες, ἢ λόγοις πάλιν;
ΕΜ. οὐκ οἶδ'. ἀκούσας δ' ἄγγελος πάρειμί σοι.
ΝΕ. ἦ ταῦτα δὴ Φοίνιξ τε χ' οἱ ξυνναυβάται
οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;
ΕΜ. ὡς ταῦτ' ἐπίστω δρώμεν', οὐ μέλλοντ' ἔτι.

547. *ὡς ναύκληρος.* Sic libri omnes. Insignis menda editionis H. Stephani, *ὁ ναύκληρος*, in subsequentes manavit.

552. *προστυχόντι τῶν ἴσων.* Sic libri omnes, sensu haud perspicuo, quin verius nullo. Inepta est Scholiastæ interpretatio, quem non video, cur dativum *προστυχόντι* potius ad *μοὶ* quam ad *σοὶ* retulerit. Heathio excogitata lectio intricatior est et minime probabilis. Levissima mutatione locus restitui posse videtur, scribendo *προστυχών τι τῶν ἴσων*, 'quod cum *φράσαιμι* jungi debet, hoc ordine verborum instituto: *ἔδοξέ μοι μὴ σῖγα τὸν πλοῦν ποιεῖσθαι, πρὶν φράσαιμί σοι προστυχών τι τῶν ἴσων.* Quod quidem in versione expressi. *τῶν ἴσων* valet *τῶν δικαίων.* Atqui æquum et justum est remunerari hominem a quo quis discat, quod nosse plurimum sua intersit. Sic solent in Tragœdiis famuli et plebeii homines præmium ob allatum utile nuntium a principibus personis petere. Vide Trach. 190. Œd. T. 1006.

554. *ἀμφὶ σοῦ νέα βουλεύματ' ἐστί.* Verissima hæc est Jo. Aurati emendatio. Perperam in libris scriptum *σοῦ 'νεκα*, vel *σ' οὕνεκα*, absque ullo sensu.

ΝΕ. πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τις εἶργέ νιν;
ΕΜ. κεῖνός γ' ἐπ' ἄλλον ἄνδρ', ὁ Τυδέως τε παῖς,
ἔστελλον, ἡνίκ' ἐξανηγόμην ἐγώ.
ΝΕ. πρὸς ποῖον ἂν τόνδ' αὐτὸς οὑδυσσεὺς ἔπλει;
ΕΜ. ἦν δή τις. ἀλλὰ τόνδ' ἐμοὶ πρῶτον φράσον,
τίς ἐστίν· ἃ ἂν λέγῃς δὲ, μὴ φώνει μέγα.
ΝΕ. ὅδ' ἔσθ' ὁ κλεινός σοι Φιλοκτήτης, ξένε.
ΕΜ. μή νύν μ' ἔρῃ τὰ πλείον', ἀλλ' ὅσον τάχος
ἔκπλει, σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.
ΦΙ. τί φησιν, ὦ παῖ; τί με κατὰ σκότον ποτὲ
διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;
ΝΕ. οὐκ οἶδά πω τί φησι· δεῖ δ' αὐτὸν λέγειν
ἐς φῶς ὃ λέξει, πρὸς σὲ, κἀμὲ, τούσδε τε.
ΕΜ. ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλῃς στρατῷ,
λέγονθ' ἃ μὴ δεῖ· πόλλ' ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω χρηστά γ', οἷ' ἀνὴρ πένης.
ΝΕ. ἐγώ εἰμ' Ἀτρείδαις δυσμενής· οὗτος δ' ἐμοὶ
φίλος μέγιστος, οὕνεκ' Ἀτρείδας στυγεῖ.

568. αὐτάγγελος. gl. ἀφ' ἑαυτοῦ ἄγγελος. *Ipse ultro operam suam pollicitus, non exspectans dum a quoquam rogaretur ut munus hoc susciperet.*

571. ἐξανηγόμην ἐγώ. Sic emendate scriptum in B. ut oportuisse jam monuerat Canterus. Ineptissime vulgo legitur ἴσω.

572. αὐτὸς οὑδυσσεύς. In B. alia lectio: Πρὸς ποῖον ἂν τόνδ' αὐτὸς ἂν Ὀδυσσεὺς ἔπλει;

574. ἃ ἂν λέγῃς. Perperam in libris ἂν λέγῃς. Sæpe in hac vocula peccarunt librarii. Vide ad Aj. 1085. et Marklandum ad Eurip. Suppl. 364.

577. σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς. Temere lectionem hanc solicitat Berolinensis editor, cujus conjectura vix digna est quæ memoretur. Quod apud Plautum alicubi legitur, *Foras me abripui, atque effugi,* Græce est: ἐξέφυγον, ἐμαυτὸν ξυλλαβὼν τοῦ δόμου. Comicus Latinus alibi: *Ut corripuit se repente, atque abiit!*

582. μή με διαβάλῃς. Sic veteres codd. et Aldus recte. In Triclinii recensione μή με διάβαλλε στρατῷ, quod etiam probum est. Verum quod ex Turnebi editione vulgo legi solet μή με διαβάλλῃς plane solœcum est. Vide Thomam. Mag. in Μή.

585. ἐγώ εἰμ' dissyllabum est. Sic scriptum in membr. ut recte Aldus excudit. Triclinius perperam scripsit ἐγώ μ' Ἀτρείδαις, tanquam si solis ariolis scripsisset. Eodem modo apud Comicum in Vespis, 1224. ἐγὼ εἴσομαι. Vide ad Œd. T. 332.

δεῖ δή σ' ἔμοιγ' ἐλθόντα προσφιλῆ, λόγον
κρύψαι πρὸς ἡμᾶς μηδέν', ὧν ἀκήκοας.
ΕΜ. ὅρα τί ποιεῖς, παῖ.
ΝΕ. σκοπῶ κἀγὼ πάλαι.
ΕΜ. σὲ θήσομαι τῶνδ' αἴτιον.
ΝΕ. ποιοῦ λέγων.
ΕΜ. λέγω. 'πὶ τοῦτον ἄνδρε τώδ', ὥσπερ κλύεις,
ὁ Τυδέως παῖς, ἥ τ' Ὀδυσσέως βία,
διώμοτοι πλέουσιν, ἦ μὴν ἢ λόγῳ
πείσαντέ γ' ἄξειν, ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος. οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θατέρου, δράσειν τάδε.
ΝΕ. τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ
τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν,
ὅν τ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
τίς ὁ πόθος αὐτοὺς ἵκετ', ἢ θεῶν βία
καὶ νέμεσις, οἵπερ ἔργ' ἀμύνουσιν κακά;
ΕΜ. ἐγώ σε τοῦτ', ἴσως γὰρ οὐκ ἀκήκοας,
πᾶν ἐκδιδάξω. μάντις ἦν τις εὐγενής,
Πριάμου μὲν υἱός, ὄνομα δ' ὠνομάζετο
Ἕλενος, ὃν οὗτος, νυκτὸς ἐξελθὼν μόνος,
ὁ πάντ' ἀκούων αἰσχρὰ καὶ λωβήτ' ἔπη
δόλιος Ὀδυσσεὺς εἷλε, δέσμιόν τ' ἄγων
ἔδειξ' Ἀχαιοῖς ἐς μέσον, θήραν καλήν·
ὃς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισε,
καὶ τἀπὶ Τροίᾳ πέργαμ' ὡς οὐ μή ποτε
πέρσοιεν, εἰ μὴ τόνδε, πείσαντες λόγῳ,
ἄγοιντο νήσου τῆσδ', ἐφ' ἧς ναίει τανῦν.

594. πείσαντέ γ' ἄξειν. Sic scriptum in B. Vulgo πείσαντες.

600. ὅν τ' εἶχον. Nihil mutandum; est pro ὅν τοι.

608. δέσμιόν τ' ἄγων. Perperam Aldus et membr. δέσμιον δ' ἄγων.

614. ὅπως ἤκουσ' ὁ Λαέρτου. Sic emendate scriptum in B. Perperam vulgo ἤκουσεν. Pro τόκος idem cod. B. habet γόνος.

καὶ ταῦθ᾽ ὅπως ἤκουσ᾽ ὁ Λαέρτου τόκος
τὸν μάντιν εἰπόντ᾽, εὐθέως ὑπέσχετο
τὸν ἄνδρ᾽ Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων·
οἴοιτο μὲν μάλισθ᾽, ἑκούσιον λαβών·
εἰ μὴ θέλοι δ᾽, ἄκοντα· καὶ τούτων, κάρα
τέμνειν ἐφεῖτο τῷ θέλοντι, μὴ τυχών.
ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
καὐτῷ παραινῶ, κεἴ τινος κήδῃ πέρι.
**ΦΙ.** οἴ μοι τάλας. ἦ κεῖνος, ἡ πᾶσα βλάβη,
ἔμ᾽ εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κἀξ Ἅιδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὐκείνου πατήρ.
**ΕΜ.** οὐκ οἶδ᾽ ἐγὼ ταῦτ᾽. ἀλλ᾽ ἐγὼ μὲν εἶμ᾽ ἐπὶ
ναῦν· σφῷν δ᾽ ὅπως ἄριστα συμφέροι θεός.
**ΦΙ.** οὔκουν τάδ᾽, ὦ παῖ, δεινά, τὸν Λαερτίου
ἔμ᾽ ἐλπίσαι ποτ᾽ ἂν λόγοισι μαλθακοῖς
δεῖξαι νεὼς ἄγοντ᾽ ἐν Ἀργείοις μέσοις;
οὔ. θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ᾽ ἐχίδνης, ἥ μ᾽ ἔθηκεν ὧδ᾽ ἄπουν.
ἀλλ᾽ ἔστ᾽ ἐκείνῳ πάντα λεκτά, πάντα δὲ
τολμητά. καὶ νῦν οἶδ᾽ ὁθ᾽ οὕνεχ᾽ ἵξεται.
ἀλλ᾽, ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζῃ τῆς Ὀδυσσέως νεώς.
ἴωμεν. ἤ τοι καίριος σπουδή, πόνου

619. ἐφεῖτο. ἐφίεμαι, ἐφεῖμαι, ἐφείμην, ἐφεῖτο. Comicus in Vesp. 242. Χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ᾽ ἐν ὥρᾳ Ἥκειν. Æschylus Promethei initio: —σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς Ἅς σοι πατὴρ ἐφεῖτο.

625. Sisyphi, qui κέρδιστος γένετ᾽ ἀνδρῶν, vaferrimum commentum, quo post mortem ad superos reditum impetraret, e Pherecyde, quem laudat Homeri interpres ad Il. ζ. 153. hic in scholiis traditur. Vetustissimæ fabulæ testis est Theognis v. 523. nostræ editionis.

630. νεὼς ἄγοντ᾽. supplenda præpositio ἐπὶ, quæ hic suppressa est, ut supra, 206. ἕρποντος στίβου, pro ἐπὶ στίβου.

636. ὁρίζῃ. Sic ad linguæ normam scribi debuit. Solœce in libris ὁρίζει.

637. ἤ τοι. Sic Aldus, ut perspicue in membr. scriptum est. Minus bene Turnebus ἦτοι.

λήξαντος, ὕπνον κἀνάπαυλαν ἤγαγεν.
NE. οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρώρας ἀνῇ,
τότε στελοῦμεν· νῦν γὰρ ἀντιοστατεῖ.
ΦΙ. ἀεὶ καλὸς πλοῦς ἔσθ', ὅταν φεύγῃς κακά.
NE. οὔκ· ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.
ΦΙ. οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,
ὅταν παρῇ κλέψαι τε χ' ἁρπάσαι βίᾳ.
NE. ἀλλ', εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
ΦΙ. ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.
NE. τί τοῦθ', ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;
ΦΙ. φύλλον τι μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.
NE. ἀλλ' ἔκφερ' αὐτό. τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;
ΦΙ. εἴ μοι τι τόξων τῶνδ' ἀπημελημένον
παρερρύηκεν, ὡς λίπω μή τῳ λαβεῖν.
NE. ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ', ἃ νῦν ἔχεις;
ΦΙ. ταῦτ', οὐ γὰρ ἄλλα γ' ἔσθ', ἃ βαστάζω χεροῖν.
NE. ἆρ' ἐστὶν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι με, προσκύσαι θ' ὥσπερ θεόν;

639. πνεῦμα τοὐκ πρώρας ἀνῇ. Sic legendum esse ex certissima emendatione præstantissimorum virorum Piersoni et Valckenarii, nemo non sentit. Vide Diatr. Eurip. p. 234. Aldus edidit ἀγῇ, ut in membr. scriptum est, proclivi librarii errore. Aliorum codd. lectiones longe sunt absurdissimæ, ῥάῃ, ἄῃ, quarum hæc, quæ in Triclinii recensione est, plane contrarium ejus quod sententia et res ipsa postulant, præbet. πνεῦμα τὸ ἐκ πρώρας, *ventus qui a prora flat*, contrarius est. Exspectandum itaque erat, non donec *flaret*, ἄῃ, sed donec *remitteret*, ἀνῇ. Sic infra, 764.

645. χωρῶμεν, ἔνδοθεν λαβὼν— Schema σολοικοφανὲς, cujus elegantiam non gustavit, qui pro λαβὼν legendum esse conjicit λάβ' οὖν. Perinde est ac si dixisset: χώρει μεθ' ἡμῶν, ἔνδοθεν λαβὼν—Vide Eustathium ad Homerum p. 236.

648. ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι. Id est ὃ μὴ ἔνεστι ἐπὶ νεὼς ἐμῆς. vel ὃ μὴ ἔνεστί σοι λαβεῖν ἀπ' ἐμῆς νεώς. Minime necesse est pro ἔνι scribere ἔστι.

652. εἴ μοι. Sic recte Aldus, qui in fine versus perperam edidit ἀπημελημένων. Inepta est Triclinii lectio, οἶμοι—τόξων τῶνδ', *harum sagittarum*. τόξα, πᾶσα ἡ τοξικὴ σκευὴ λέγεται. Eustathii observatio est pluribus in locis repetita.

ΦΙ. σοί γ', ὦ τέκνον, καὶ τοῦτο, κἄλλο τῶν ἐμῶν,
ὁποῖον ἄν σοι ξυμφέρῃ, γενήσεται.
ΝΕ. καὶ μὴν ἐρῶ γε· τὸν δ' ἔρωθ' οὕτως ἔχω.
εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες.
ΦΙ. ὅσιά τε φωνεῖς, ἔστι τ', ὦ τέκνον, θέμις,
ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέστησας πέρα.
θάρσει. παρέσται ταῦτά σοι καὶ θιγγάνειν,
καὶ δόντι δοῦναι, κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον.
εὐεργετῶν γὰρ καὐτὸς αὔτ' ἐκτησάμην.
οὐκ ἄχθομαί σ' ἰδεῖν τε καὶ λαβεῖν φίλον.
ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.
ΝΕ. χωροῖς ἂν εἴσω.
ΦΙ. καὶ σέ γ' εἰσάξω. τὸ γὰρ
νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.

## ΧΟΡΟΣ.

Λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα, στροφὴ α'.
τὸν πελάταν λέκτρων ποτὲ τοῦ Διὸς
Ἰξίονα, κατ' ἄμπυκα δὴ

671. Vulgo legitur : *οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.* plane inepta sententia, et manifesta duarum vocum depravatione. Nemo non vidit pro participiis verba infinitiva reponenda esse : *Οὐκ ἄχθομαί σ' ἰδεῖν τε καὶ λαβεῖν φίλον.* Jamdiu est quod sic legerat Georgius Ratallerus, qui sic vertit : *non molestum erit, si tu quoque attrectaveris.*

677. *τοῦ Διός.* Articulum in veteribus codd. et in Aldina, metro reclamante, omissum, exhibet Triclinii recensio.

678. *κατ' ἄμπυκα.* Sic libri omnes, quibus accedit Hesychii auctoritas in Ἄμπυκες. Eustath. p. 1280. ἐν δὲ ῥητορικοῖς λεξικοῖς εὑρέθη καὶ ταῦτα. ἀμπυκίσαι, ἀναδῆσαι, χαλινῶσαι, στεφανῶσαι. καὶ ἄμπυξ, χαλινὸς, συγκάθαμμα, ἐπίκρανον, καλύπτρα, διάδημα, στεφάνη—ἐκ μεταφορᾶς δέ φασι, καὶ ὁ τροχὸς, διὰ τὸ κυκλοτερὴς εἶναι. Musgravius ad Eurip. Herc. Fur. 1300. vitium in

δρομάδα δέσμιον ὡς ἔλαβ' ὁ
παγκρατὴς Κρόνου παῖς·
ἄλλον δ' οὔ τιν' ἔγωγ' οἶδα
κλύων, οὐδ' ἐσίδον μοίρᾳ
τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
ὃς οὔτ' ἔρξας τιν', οὔτε νοσφίσας,
ἀλλ' ἴσος ἐν ἴσοις ἀνὴρ,
ὤλλυθ' ὧδ' ἀναξίως.
τόδε θαῦμ' ἔχει με,
πῶς ποτε, πῶς ποτ' ἀμφιπλήκτων
ῥοθίων μόνος κλύων, πῶς
ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχεν,
ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν, ἀντιστρ. α'.
οὐδέ τιν' ἐγχώρων κακογείτονα,
παρ' ᾧ στόνον ἀντίτυπον
βαρυβρῶτ' ἀποκλαύσειεν

ἄμπυκα esse censet, et reponendum ἄντυγα.

689. μόνος κλύων. Sic ad sententiæ, linguæ, metri rationem legendum; mendose in libris κλύζων.

691. πρόσουρος, *confinis, accola*. ἵνα ἦν αὐτοπρόσουρος, *ubi ipse sibi erat vicinus*. Non animadvertit Berolinensis editor versum hunc esse trimetrum iambicum, omnibus suis absolutum numeris; proinde conjecturis opus non esse, quibus metrum sustentetur. Futilia sunt, si quæ alia, ejus commenta, πρόσβορρος, πρόσπωλος, quorum hoc ne Græcum quidem est.

692. κακογείτων non est *malus vicinus*, sed *vicinus* seu *affinis mali*, ut recte post Lessingium vocem hanc exponit Berolinensis editor, eadem compositionis ratione, qua κακόμαντις, κακότεχνος, ψευδοκήρυξ, et alia.

693. παρ' ᾧ στόνον ἀντίτυπον βαρυβρῶτ' ἀποκλαύσειεν αἱματηρόν. Locus difficilis ob loquendi formam dithyrambica audacia concinnatam; quem si quis verbum verbo reddens interpretaretur, is lectorem ad alium interpretem ablegaret. Tria adjectiva substantivo στόνον tribuuntur, quod cum uno tropice accipiendum, cum duobus aliis propria significatione. Nempe στόνον ea metonymiæ ratione, qua causa per effectum indicatur, *morbum* hic significat, qui vere βαρυβρὼς et αἱματηρός. At cum ἀντίτυπον, si menda vacat hæc scriptura, proprie *gemitum* notat. Malim equidem ἀντίτυπα legere, quod adverbialiter posuisse poëtam verisimile est, ut Antig. 134. et sic perspicua phrasis est; *apud quem deploraret edacem sanguineum morbum, ita ut is qui gementem audiret, suis gemitibus illi responderet*. Tot verbis opus est ad declarandam vim adverbii ἀντίτυπα. Incidit nuper in meas manus Programma Academicum anno Jenæ propositum, in quo vir doctus partem

αἱματηρόν· οὐδέ γ'
ὃς τὰν θερμοτάταν αἱμά-
δα κηκιομέναν ἑλκέων
ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
κατευνάσειεν, εἴ τιν' ἐμπέσοι
φορβάδος ὥστε γᾶς ἑλεῖν.
ἕρπει γὰρ ἄλλοτ' ἄλλᾳ,
τότ' ἂν εἰλυόμενος,
παῖς ἄτερ ὡς φίλας τιθήνας,
ὅθεν εὐμάρει' ὑπάρχει
πόρων, ἀνίκ' ἐξανίῃ δακέθυμος ἄτα·
οὐ φορβὰν ἱερᾶς — στροφὴ β'.
γᾶς σπόρον, οὐκ ἄλλων

hujus cantici illustrare aggressus est. Legendum censet, —παρ' οὗ στόνος ἀντίτυπος βαρυβρῶτ' ἀποκλαύσειεν αἱματηρόν. et vertit : *neque quemquam incolarum infortunii sui vicinum habens, a quo gemitus respondens graviter vulneratum* (hominem) *deploraret*. Nimia licentia grassatur contra librorum fidem absque ulla necessitate. Satis perspicua est sententia et proba syntaxis. ἀποκλαύσειεν ad Philoctetam refertur : οὐδέ γ' ὃς κατευνάσειεν ad desideratum illum κακογείτονα. Meridiana luce hoc clarius, nec inest quidquam quod tenebras offundat, præsertim si ἀντίτυπα, quod poëtam scripsisse arbitror, restituatur ; et in his neutris pluralibus adverbialiter sumptis, quis nescit frequentes librariorum errores? Sequens versus cum strophico non congruit examussim ; nempe pes pedi non respondet, quod quidem haudquaquam necesse est. At Triclinius versum a tribrachy incipere voluit, qui voci δρομάδα par esset, et barbarum finxit vocabulum βιβαρυβρῶτ', cujus varietatis Turnebus non meminit.

695. οὐδέ γ' ὃς—Hanc scripturam versus flagitat. Vulgo οὐδ' ὃς—

699. εἴ τιν' ἐμπέσοι. Mendose in libris εἴ τις—τιν' valet τινὰ nempe φύλλα, vel τινὶ nempe φύλλῳ, utrovis nomine ex præcedente ἠπίοισι φύλλοις repetendo. In seq. versu libri omnes habent, ut duobus in locis Eustathius laudat, φορβάδος ἔκ τι γᾶς ἑλεῖν, manifesta depravatione. ἐκ ex glossa irrepsit, et τι remansit ex ὥστε, quod, structuræ lege flagitante, reposuimus. Quod Turnebus dedit ἔκ γε γᾶς nullius veteris libri fide nititur. Leviculæ mendæ locum hunc ita obscuraverant, ut quo se verterent interpretes, non invenirent ; de confixis avibus nescio quid somniarunt, de quibus poëta ne cogitavit quidem.

705. ἐξανίῃ. Aldus et veteres codd. ἐξανίησι.

707. οὐκ ἄλλων. Sic codd. omnes, recte. Ordo est : οὐκ ἄλλων αἴρων τι, ἀφ' ὧν νεμόμεσθα ἀνέρες ἀλφησταί, πλὴν —Nihil sane planius, ita ut mirer Reiskii ineptissimam conjecturam, non solum magnopere probatam, verum etiam receptam Berolinensi edi-

αἴρων, τῶν νεμόμεσθ'
ἀνέρες ἀλφησταί·
πλὴν ἐξ ὠκυβόλων
εἴποτε τόξων * πτανοῖς ἰοῖς
ἀνύσειε γαστρὶ φορβάν.
ὦ μελέα ψυχά,
ὃς μηδ' οἰνοχύτου πόματος
ἥσθη δεκέτη χρόνον·
λεύσσων δ', εἴ που γνοίη, στατὸν εἰς ὕδωρ,
αἰεὶ προσενώμα.
νῦν δ' ἀνδρῶν ἀγαθῶν ἀντιστρ. β'.
παιδὸς ὑπαντήσας,

* πτανῶν πτανοῖς edd. 1. 2.

tori fuisse, οὐκ ἀγρῶν. Locus male interpunctus erat: σπόρον cum ἱερᾶς γᾶς jungendum. Præter fruges, alia sunt multa, quibus vescuntur homines, fetus arborum, pecudum proventus, lac, caro, quibus homo claudus, æger, solus in deserto et inculto litore omnino carere debebat.

711. Legitur in omnibus libris: εἴποτε τόξων πτανῶν πτανοῖς — Vocis πτανῶν inepta in scholiis profertur explicatio, quæ ex glossis inter codicum lineas scribi solitis petita, ab excerptore male accepta et interpolata fuit. Glossa ad vocem πτανοῖς pertinebat, quæ in illa lectione non aliter accipi potest quam pro διὰ πτανούς. At πτανῶν, si recte se haberet, ad τόξων, *sagittas* tum notans, appositum esset. Verum quam abhorret a Sophoclis suavi facilitate duo epitheta non dissimilis significationis uni substantivo tam invenuste et languide adjungere, ὠκυβόλων τόξων πτανῶν! Quam inficeta est ejusdem vocis in uno versiculo repetitio, modo *volucres* sagittas per appositionem notantis, modo vice substantivi *aves*! Grassata est hic librariorum socordia, quæ exemplaria nondum temeraverat veteris scholiastæ ævo, quem manifestum est diversam lectionem ob oculos habuisse. In ejus paraphrasi πλὴν εἴ που τοῖς ΠΤΗΝΟΙΣ ΒΕΛΕΣΙΝ ἐξ ὠκυβόλων τόξων ἀνύσῃ φορβὴν, poëtæ verba deprehendere facile erat, nec tamen ad ea animum appuli, antequam scholia retractarem, eorumque novum exemplar concinnarem, typis iterum describendum. En tandem locum restitutum facili nec minus certa emendatione: Πλὴν ἐξ ὠκυβόλων Εἴποτε τόξων πτανοῖς ἰοῖς Ἀνύσειε γαστρὶ φορβάν. Sophoclem hic agnoscent, opinor, tum qui, reclamante metro, πτανῶν πτανοὺς suadebat, tum is qui junctim πτανοὺς ἀνύσει legebat. (q)

716. εἴ που γνοίη. Sic ad metri rationem legendum. Vulgo ὅπου γνοίη, quod nec ipsum satis ex indole linguæ est: oporteret enim ὅπου ἂν γνοίη.

719. παιδὸς ὑπαντήσας. Verbum ὑπαντᾷν cum tertio casu jungi solet: hic autem casum simplicis adsciscit, vacante præpositione.

εὐδαίμων ἀνύσει,
καὶ μέγας ἐκ κείνων·
ὅς νιν ποντοπόρῳ
δούρατι, πλήθει πολλῶν μηνῶν,
πατρῴαν ἄγει πρὸς αὐλὰν
Μηλιάδων Νυμφᾶν,
Σπερχειοῦ τε παρ' ὄχθαις, ἵν'
ὁ χάλκασπις ἀνὴρ θεοῖς
πλάθει πᾶσιν, θείῳ πυρὶ παμφαὴς,
Οἴτας ὑπὲρ ὄχθων.

ΝΕ. Ἕρπ', εἰ θέλεις. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς
λόγου σιωπᾷς, κἀπόπληκτος ὧδ' ἔχῃ;
ΦΙ. ἆ ἆ. ἆ ἆ.
ΝΕ. τί ἔστιν;
ΦΙ. οὐδὲν δεινόν. ἀλλ' ἴθ', ὦ τέκνον.
ΝΕ. μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;
ΦΙ. οὐ δῆτ' ἔγωγ'· ἀλλ' ἄρτι κουφίζειν δοκῶ.
ἰὼ θεοί.
ΝΕ. τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς;
ΦΙ. σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
ἆ ἆ. ἆ ἆ.
ΝΕ. τί ποτε πέπονθας; οὐκ ἐρεῖς· ἀλλ' ὧδ' ἔσει
σιγηλός; ἐν κακῷ δέ τῳ φαίνῃ κυρῶν.
ΦΙ. ἀπόλωλα, τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ' ὑμῖν. ἀτταταῖ· διέρχεται,
διέρχεται. δύστηνος, ὦ τάλας ἐγώ.
ἀπόλωλα, τέκνον· βρύκομαι, τέκνον· παπαῖ,

721. ἐκ κείνων. Sic codd. omnes. Mendose Aldus ἐκείνων. gl. τῶν κακῶν.

728. πᾶσιν, quod pro πᾶσι ad metricam legem reponendum monuit Heathius, est in T. et in scholiis.

733. τί ἐστιν. Ad hiatum non attendendum, cui vitando minime inserenda particula δέ. Nimis concitatus esse non potest mirantis sermo. τί ἐστι, τί εἶπας, τί οὖν in scena frequentabantur sine aurium offensione. Vide Marklandum ad Suppl. 109. Musgravium ad Phœn. 906. Sic rursus infra, 753.

745. βρύκομαι. Perperam in libris

ἀπαππαπαὶ, παπᾶ, παπᾶ, παπᾶ, παπαί.
πρὸς θεῶν, πρόχειρον εἴ τι σοι, τέκνον, πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίου.
ἴθ', ὦ παῖ.

**ΝΕ.** τί δ' ἐστὶν οὕτω νεοχμὸν ἐξαίφνης ὅτου
τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς;

**ΦΙ.** οἶσθ', ὦ τέκνον;

**ΝΕ.** τί ἐστιν;

**ΦΙ.** οἶσθ', ὦ παῖ;

**ΝΕ.** τί σοι;

**ΦΙ.** οὐκ οἶδα.

**ΝΕ.** πῶς οὐκ οἶσθα;

**ΦΙ.** παππαπαππαπαῖ.

**ΝΕ.** δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος.

**ΦΙ.** δεινὸν γὰρ, οὐδὲ ῥητόν· ἀλλ' οἴκτειρ' ἐμέ.

**ΝΕ.** τί δῆτα δράσω;

**ΦΙ.** μή με ταρβήσας προδῷς.
ἥκει γὰρ αὕτη διὰ χρόνου, πλάνοις ἴσως
ὡς ἐξεπλήσθη. φεῦ.

**ΝΕ.** ἰὼ δύστηνε σύ.
ἰὼ, ἰὼ,
δύστηνε δῆτα διὰ πόνων πάντων φανείς.
βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;

**ΦΙ.** μὴ δῆτα τοῦτό γ'· ἀλλά μοι τὰ τόξ' ἑλὼν
τάδ', ὥσπερ ᾔτου μ' ἀρτίως, ἕως ἀνῇ

βρύχομαι. Hesych. βρύξαι, δακεῖν, καταπιεῖν. Ad quam glossam vide interpretem, et Valckenarium ad Ammonium in Βρύκειν p. 32.

746. ἀπαππαπαί. Sic scribi debuit. In membr. divisim ἀπᾶ. παπαί. In Aldina conjunctim ἀπαπαπᾶ.

755. τοὐπίσαγμα. Sic emendate legitur in scholiis. Hoc pertinet interpretatio ἡ προσθήκη. Altera ἡ ἐπείσοδος lectioni accommodari possit, quam libri nostri exhibent τοὐπείσαγμα, Henr. Stephano merito damnatam.

760. ἰὼ, ἰώ. Geminata est in membr. vocula, quam semel tantum Aldus habet: Triclinius vero plane omisit.

τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρὸν,
σῶζ' αὐτὰ καὶ φύλασσε. λαμβάνει γάρ οὖν
ὕπνος μ', ὅταν περ τὸ κακὸν ἐξήκῃ τόδε·
κοὐκ ἔστι λῆξαι πρότερον· ἀλλ' ἐᾶν χρεὼν
ἕκηλον εὕδειν. ἢν δὲ τῷδε τῷ χρόνῳ
μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν, ἐφίεμαι
ἑκόντα, μήτ' ἄκοντα, μηδέ τῳ τέχνῃ
κείνοις μεθεῖναι ταῦτα, μὴ σαυτόν θ' ἅμα,
κἄμ', ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.

**ΝΕ.** θάρσει προνοίας γ' οὕνεκ'. οὐ δοθήσεται
πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε.

**ΦΙ.** ἰδοὺ δέχου, παῖ· τὸν φθόνον δὲ πρόσκυσον,
μή σοι γενέσθαι πολύπον' αὐτὰ, μηδ' ὅπως
ἐμοί τε, καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.

**ΝΕ.** ὦ θεοὶ, γένοιτο ταῦτα νῷν· γένοιτο δὲ
πλοῦς οὔριός τε κεὔσταλὴς, ὅποι ποτὲ
θεὸς δικαιοῖ, χῶ στόλος πορσύνεται.

**ΦΙ.** ἀλλ' οὖν δέδοικα μὴ ἀτελὴς εὐχὴ, τέκνον.

767. ἐξήκῃ. Sic accurate scriptum in B. Mendose Aldus et membr. ἐξήκῃ: Triclinius ἐξίῃ. Modo dixerat ἥκει διὰ χρόνου.

769. ἕκηλον. Sic Aldus et veteres codd. bene. Ex Triclinii interpolatione est εὔκηλον.

771. ἑκόντα, μήτ' ἄκοντα. Id est μήτε ἑκόντα, μήτε ἄκοντα. Negatio alterius membri ad alterum repetenda: ut in Œd. Col. 902. Ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἐγὼ ξένῳ γένωμαι τῷδε—in posteriore membro repetenda ἀπὸ κοινοῦ prioris negatio, ἐγὼ δὲ μὴ γένωμαι γέλως. Vide Eustathium p. 1694. l. 7. Hæc quidem ratione defenditur plurimorum librorum lectio in Œd. T. 333. Ἐγώ τ' ἐμαυτὸν, οὔτε σ' ἀλγυνῶ. verum præstat ea quam secuti sumus.

774. θάρσει προνοίας γ' οὕνεκ'. Sic in B. Alii particulam omittunt. *Confide, quod ad meam quidem providentiam spectat.*

780. κεὔσταλής. Sic emendate scriptum in B. Perperam in aliis καὶ εὐσταλής. Atticis καὶ semper eliditur. In Stobæi Florilegio, p. 83. editiònis Grotii, corrigenda similis scripturæ menda: Καλόν γ' ἀληθὴς κἀπιτὴς παῤῥησία. Perperam ibi excusum καὶ ἀπινής.

781. πορσύνεται. Huc pertinet Photii glossa, quam vide in Lexico. Verum explicatio illa inter grammaticorum nugas referenda, πορσύνεται hîc valet παρασκευάζεται, ἑτοιμάζεται.

782. ἀλλ' οὖν δέδοικα μὴ ἀτελὴς εὐχὴ, τέκνον. Sic legendum, ut Toupius monuit Cur. Nov. in Suidam, p. 105. Omittitur verbum ᾖ vel γένηται. Nihil interest scribaturne μὴ ἀτελὴς, an μὴ 'τελὴς, ut in his versibus apud Stobæum: Ἀλλ' ἡ φρόνησις ἡ ἀγαθὴ,

στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.
    παπαῖ, φεῦ.
παπαῖ μάλ'. ὦ πούς, οἷά μ' ἐργάσει κακά.
    προσέρπει,
προσέρχεται τόδ' ἐγγύς. οἴ μοι μοι τάλας.
ἔχετε τὸ πρᾶγμα, μὴ φύγητε μηδαμῇ.
    ἀτταταί.
ὦ ξένε Κεφαλλήν, εἴθε σου διαμπερὲς
στέρνων ἔχοιτ' ἄλγησις ἥδε. φεῦ, παπαί.
παπαῖ μάλ' αὖθις. ὦ διπλοῖ στρατηλάται,
'Αγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
    ὤ μοι μοι.
ὦ θάνατε, θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ, οὐ δύνῃ μολεῖν ποτε;
ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν,
τῷ Λημνίῳ τῷδ' ἀνακυκλουμένῳ πυρὶ

θεὸς μέγας. 'Ανὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν. quos alii libri sic plene scriptos exhibent, alii cum elisione ἡ 'γαθὴ, μὴ 'δικῶν. Certum est veteres Græcos vocales omnes pronuntiasse. μὴ ante vocalem longam aut diphthongum cum ea coalescit; si sequatur vocalis brevis, hæc eliditur, seu potius raptim pronuntiatur, ita ut in metri scansione nullius sit momenti. Aldus et veteres codd. dant: ἀλλὰ (B. ἀλλ' οὐ) δέδοικ' ὦ παῖ μή μ' ἀτελὴς εὐχή. Triclinius ex antiquo exemplari vel ex conjectura reposuit: ἀλλ' οὖν δέδοικα μή μ' ἀτελὴς εὐχὴ, τέκνον. Varia lectio superscripta μή σ' ἀτελής. Varietas in pronomine ex ejus inutilitate orta, unde hæsitarunt librarii utrum aptius esset μοὶ an σοί. Neutrum a poëta est. (r)

784. κηκῖον αἷμα. Supra, 697. αἱμάς κηκιομένα ἑλκέων. Verbum est neutrum, cujus utraque forma promiscue adhibetur: quod obtinet etiam in aliis verbis, quæ passiva significatione gaudent. Sic 240. in αὐδῶμαι παῖς 'Αχιλλέως passiva significatio obtinet: at 852. αὐδῶμαι licet passiva forma active significat *dico*. Plurima hujus generis recenset Eustathius p. 806.

790. ἀτταταί. Sic est in B. In membr. et in Aldina ἀτταταταῖ. Parum interest hoc an illo modo legatur. Optimum fuisset ἀτταττατaί, basis iambica.

800. ἀνακυκλουμένῳ. Sic legimus ex sagacissimi viri certa emendatione. Libri omnes habent ἀνακαλουμένῳ, cum gl. παρακαλοῦντι. Lectio et interpretatio perinde mendosa et inepta est. Vide Toupii Cur. Nov. in Suidam, p. 91. Dubitat Berolinensis editor an ἀνακυκλεῖσθαι de flamma

ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοι ποτὲ
τὸν τοῦ Διὸς παῖδ', ἀντὶ τῶνδε τῶν ὅπλων,
ἃ νῦν σὺ σώζεις, τοῦτ' ἐπηξίωσα δρᾷν.
τί φῄς, παῖ;
τί φῄς; τί σιγᾷς; ποῦ ποτ' ὤν, τέκνον, κυρεῖς;
ΝΕ. ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.
ΦΙ. ἀλλ', ὦ τέκνον, καὶ θάρσος ἴσχ'· ὡς ἥδ' ἐμοὶ
ὀξεῖα φοιτᾷ, καὶ ταχεῖ' ἀπέρχεται.
ἀλλ' ἀντιάζω, μή με καταλίπῃς μόνον.
ΝΕ. θάρσει, μενοῦμεν.
ΦΙ. ἦ μενεῖς;
ΝΕ. σαφῶς φρόνει.
ΦΙ. οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι, τέκνον.
ΝΕ. ὡς οὐ θέμις γ' ἐμοί 'στί σοῦ μολεῖν ἄτερ.
ΦΙ. ἔμβαλλε χειρὸς πίστιν.
ΝΕ. ἐμβάλλω μενεῖν.
ΦΙ. ἐκεῖσε νῦν μ' ἐκεῖσε ---
ΝΕ. ποῖ λέγεις;
ΦΙ. ἄνω ---
ΝΕ. τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
ΦΙ. μέθες, μέθες με.
ΝΕ. ποῖ μεθῶ;
ΦΙ. μέθες ποτέ.
ΝΕ. οὔ φημ' ἐάσειν.
ΦΙ. ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.
ΝΕ. καὶ δὴ μεθίημι. τί δὲ δὴ πλέον φρονεῖς;
ΦΙ. ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω.
τὸ γὰρ κακὸν τόδ' οὐκ ἔτ' ὀρθοῦσθαί μ' ἐᾷ.
ΝΕ. τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου

dici possit. Quippini? quum *rotantes flammas*, et *globos flammarum* Horatius et Virgilius non refugerint. Sed ἀνακυκλουμένῳ si suspectum habeatur, quanto magis explodendum ἀνακυκλιομένῳ, quod significatione nihil aut parum differt, prosodiæ autem ratione in hunc versum intrare non potest? κυκλίω penultimam producit, nec synizesis hic locum habet.

ἕξειν. κάρα γὰρ ὑπτιάζεται τόδε,
ἱδρώς γέ τοι νιν πᾶν καταστάζει δέμας,
μέλαινά τ' ἄκρου τις παρέῤῥωγεν ποδὸς
αἱμοῤῥαγὴς φλέψ. ἀλλ' ἐάσωμεν, φίλοι,
ἕκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ.

ΧΟ. Ὕπν' ὀδύνας ἀδαὴς, Ὕπνε δ' ἀλγέων, στροφή.
εὐαὴς ἡμῖν ἔλθοις,
εὐαίων, εὐαίων ἄναξ·
ὄμμασι δ' ἀντίσχοις τάνδ' αἴγλαν,
ἃ τέταται τανῦν.
ἴθι, ἴθι μοι παιών.
ὦ τέκνον, ὅρα γε ποῦ στάσει,
ποῖ δὲ βάσει, πῶς δ' ἐμοὶ
τἀντεῦθεν φροντίδος. ὁρᾷς
ἤδη, πρὸς τί μενοῦμεν πράσσειν;
καιρός τοι πάντων γνώμαν ἴσχων
πολὺ παρὰ πόδα κράτος ἄρνυται.

ΝΕ. ἀλλ' ὅδε μὲν κλύει οὐδέν· ἐγὼ δ' ὁρῶ, οὕνεκα θήραν
τήνδ' ἁλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέοντες.
τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν.
κομπεῖν δ' ἔστ' ἀτελῆ ξὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

ΧΟ. ἀλλὰ, τέκνον, τάδε μὲν θεὸς ὄψεται· ἀντιστρ.
ὧν δ' ἂν ἀμείβῃ μ' αὖθις,
βαιάν μοι, βαιὰν, ὦ τέκνον,
πέμπε λόγων φάμαν· ὡς πάντων
ἐν νόσῳ εὐδρακὴς
ὕπνος ἄϋπνος λεύσσειν.

830. Versus est tetrameter dactylicus: proinde scriptum oportuit ἀντίσχοις, non, ut in libris est, ἀντέχοις. (s)

833. ὅρα γε. Particula in veteribus codd. et in Aldina omissa. In proba scriptura conspirarunt hic librarii, quod raro contigit: ποῦ στάσει, ποῖ δὲ βάσει. Quemadmodum in Aj. 1237. legi debet ποῖ βάντος, ἢ ποῦ στάντος.

838. παρὰ πόδα. id est εὐθέως. Sic veteres libri. Triclinius παρὰ πόδας, quod perinde est. Verum sontica non erat causa cur mutaret.

ἀλλ' ὅτι δύναιο μάκιστον,
κεῖνό μοι, κεῖνο λάθρα
ἐξιδοῦ, ὅ τι πράξεις.
οἶσθα γὰρ ὃν γ' αὐδῶμαι, ταυτὰν
εἰ τούτῳ γνώμαν ἴσχεις, μάλα τοι
ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη.
οὖρός τοι, τέκνον, οὖρος· ἐπῳδός.
ὡνὴρ δ' ἀνόμματος,
οὐδ' ἔχων ἀρωγὰν,
ἐκτέταται νύχιος,
(ἀλεὴς ὕπνος ἐσθλός.)
οὐ χερὸς, οὐ ποδὸς, οὔ τινος ἄρχων·
ἀλλ' ὥς τις Ἀΐδᾳ παρακείμενος,

849. *ἀλλ' ὅτι δύναιο μάκιστον. Sed quam potes maxime. μάκιστον* idem est quod *μέγιστον*. Nihil fœdius, nihil ineptius excogitari posse opinor Triclinii interpolatione : *Ἀλλ' ὅ τι δύναιο μάκιστον· Κεῖνό μοι γὰρ μέγιστον· Λάθρ' ἐξιδοῦ ὅ τι πράξεις*. Istæccine tamdiu pro Sophocleis haberi potuisse !

852. Aldus et veteres codd. habent : *οἶσθα γὰρ ὃν αὐδῶμαι, εἰ ταυτὰν τούτῳ*—metro corrupto. Versus esse debet tetrameter dactylicus. *γὰρ* initio positum refertur ad suppressam partem sententiæ, quæ sic plene enuntiari debebat : *εἰ ταυτὰν γνώμαν ἴσχεις τούτῳ, ὃν οὐκ ὀνομάζω, οἶσθα γὰρ ὃν γ' αὐδῶμαι.*

853. *μάλα τοι ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη.* Falsa est Scholiastæ interpretatio : *ἄπορόν ἐστι καὶ τοῖς συνετοῖς ἰδεῖν τὸ πρακτέον*. Hoc per se quidem non usquequaque verum est, siquidem prudentia eo maxime commendatur, quod qui ea pollent, ex rerum angustiis facilius se expediant : verum est a sententia Chori longe alienissimum. Is enim statim ostendit facillimum esse, quod facto opus censet, quodque Neoptolemo suadet, nempe ut dormientem nihilque sentientem Philoctetam in navem transportet. Hæc summa est totius sermonis Chori, qui de industria obscure loquitur, ne, si quid forte suorum verborum percipiat expergefactus Philocteta, insidias sibi strui sentiat. Plana sunt, si quid recte judico, omnia, ita ut valde mirer a veteri enarratore tam præpostere accepta fuisse. *οἶσθα γὰρ ὃν γ' αὐδῶμαι, scis enim quem loquor : εἰ τούτῳ ταυτὰν γνώμαν ἴσχεις, si cum eo idem sentis.* Ista de Ulysse, neutiquam de Philocteta, intelligenda. Quis, nisi fungus sit, dubitare queat, an ON et TOΥΤΩ ad eamdem personam referantur? *μάλα τοι γίγνεται τοῖς πυκινοῖς ἐνιδεῖν πάθη ἄπορα, maxime evenit prudentibus ut dispiciant res difficiles.* Id est, *si cum Ulysse sentis hunc virum ad Trojam esse abducendum, tibi, qui prudens es, statim apparebit, qui te ex hac difficultate extrices.* Infinitivus *ἐνιδεῖν* pendet a suppresso verbo, quod ipsa sententia suggerit *γίγνεται, ἐγγίγνεται, ἔξεστι, ἔστιν*, aut simile.

856. *ὡνήρ.* Perperam vulgo *ἀνήρ.*

ὁρᾷς, βλέπει. καίρια φθέγγου·
* τόδ' ἁλώσιμον ἐμᾷ φροντίδι, παῖ,
πόνος ὁ μὴ φοβῶν, κράτιστος.
ΝΕ. Σιγᾶν κελεύω, μηδ' ἀφεστάναι φρενῶν·
κινεῖ γὰρ ὡνὴρ ὄμμα, κἀνάγει κάρα.
ΦΙ. ὦ φέγγος ὕπνου διάδοχον, τό τ' ἐλπίδων
ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων.
οὐ γάρ ποτ', ὦ παῖ, τοῦτ' ἂν ἐξηύχησ' ἐγὼ,
τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα
μεῖναι, παρόντα καὶ ξυνωφελοῦντά μοι.
οὔκουν Ἀτρεῖδαι τοῦτ' ἔτλησαν εὐφόρως

* τὸ δ' edd. 1. 2.

862. ὁρᾷς. *Vides, viden'*. Sic mediæ sententiæ in colloquiis inseri solet ὁρᾷς, ut apud Comicum Nub. 355. Καὶ νῦν, ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ' ἐγένοντο γυναῖκες. Anacreon Od. ix. Καὶ νῦν, ὁρᾷς, ἐκείνου Ἐπιστολὰς κομίζω. Pessime vulgo ὁρᾷ, βλέπει—Sequitur καίρια φθέγγου, *opportuna edice*, id est *quæ tempori conveniant, quæque e re nostra sint jube*. Vulgo legitur φθέγγει. In membr. superscriptum pro varia lectione φθέγγῃ. Prius non modo sensu cassum est, verum etiam plane barbarum: forma enim activa φθέγγω Græcis nullo fuit in usu. Alterum φθέγγῃ ipsum quoque ineptissimum est, *opportuna loqueris*. Atqui ne verbum ille quidem unum dixerat.

863. τόδ' ἁλώσιμον ἐμᾷ φροντίδι. *Hocce, hoc negotium, res quam agimus*: ἁλώσιμόν ἐστι, id est, ἁλῶναι δύναται, *capi, confici potest*: ἐμᾷ φροντίδι, *solertiæ meæ, per meam solertiam*; vel, si mavis, *meo judicio*. Non patitur linguæ indoles nec usus, ut τὸ ἁλώσιμον accipiatur pro ἡ ἅλωσις, *modus quo capiatur*. Proinde nec ἀνάκειται, nec προσήκει aut μέλλει subauditur: verum ἐστὶ, quæ ellipsis omnium est frequentissima. Innuit Chorus se Philoctetam minimo labore in navem translaturum, si Neoptolemus jubeat, idque maxime expedire, quum vacet periculo. Hesych. ἁλώσιμον, ληφθῆναι δυνάμενον. Idem quod ἁλωτὸν in Œd. T. 111. τὸ δὲ ζητούμενον, ἁλωτόν. (t)

866. ὡνήρ. Perperam vulgo ἀνήρ.

870. τλῆναί σ' ἐλεινῶς. Sic primus edidit Henr. Stephanus. In codd. nostris omnibus scriptum, ut excuderunt Aldus et Turnebus, ἐλεεινῶς quatuor syllabis. Proba forma est, librariis incognita, et ubique obliterata, quam adstruxit illustris editor Homerici hymni in Cererem ad v. 283. Τοῦ δὲ κασίγνηται φωνὴν ἐσάκουσαν ἐλεινήν. Comicus in Ranis, 1063. Τοὺς βασιλεύοντας ῥάκι' ἀμπίσχων, ἵν' ἐλεινοὶ Τοῖς ἀνθρώποις φαίνοιντ' εἶναι. Stephani emendationem merito suo retinuimus, quia probabile non est, quum ita proclive esset anapæstum vitare, Tragicum nulla necessitate adactum altera forma usum fuisse.

872. εὐφόρως. Aldus et codd. εὐπόρως, cujus adverbii significatio aliena videtur. Elegans est Eldikii conjectura εὐλόφως, quod pro εὐλόγως reponendum videtur in Euripidis fra-

οὕτως ἐνέγκειν, οἱ 'γαθοὶ στρατηλάται.
ἀλλ', εὐγενὴς γὰρ ἡ φύσις κἀξ εὐγενῶν,
ὦ τέκνον, ἡ σὴ, πάντα ταῦτ' ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
καὶ νῦν, ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλα δὴ, τέκνον,
σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον,
ἵν', ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτὲ,
ὁρμώμεθ' ἐς ναῦν, μηδ' ἐπίσχωμεν τὸ πλεῖν.
ΝΕ. ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν παρ' ἐλπίδα
ἀνώδυνον βλέποντα κἀμπνέοντ' ἔτι·
ὡς οὐκ ἔτ' ὄντος γὰρ τὰ συμβόλαιά σου
πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ' αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσί σ' οἵδε· τοῦ πόνου γὰρ οὐκ ὄκνος,
ἐπείπερ οὕτως σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν.
ΦΙ. αἰνῶ τάδ', ὦ παῖ, κἄμ' ἔπαιρ', ὥσπερ νοεῖς·
τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ
ὀσμῇ πρὸ τοῦ δέοντος· οὑπὶ νηΐ γὰρ
ἅλις πόνος τούτοισι συνναίειν ἐμοί.
ΝΕ. ἔσται τάδ'· ἀλλ' ἵστω τε, καὐτὸς ἀντέχου.
ΦΙ. θάρσει. τό τοι ξύνηθες ὀρθώσει μ' ἔθος.
ΝΕ. παπαί· τί δῆτα δρῶμ' ἂν ἐκ τούτων ἐγώ;

gmento ex Antigona: Ὅστις δὲ πρὸς τὸ πίπτον εὐλόφως φέρει Τὸν δαίμον', οὗτος ἧσσόν ἐσ' ἀνόλβιος. Vide scholia antiqua ad Aj. 61. Contrariæ significationis adverbio usus est Euripides Troas. 305.—κάρτα τοι τοὐλεύθερον Ἐν τοῖς τοιούτοις δυσλόφως φέρει κακά. Verum hæc conjectura nimis ab antiquæ scripturæ vestigiis recedit: prætuli εὐφόρως, quod satis tuentur observata in minoribus scholiis ad Aj. 51. et El. 255. Facile etiam reponi poterat εὐπετῶς ex Terei Fragm. xi.

884. τὰ συμβόλαιά σου. In B. T. σοι, haud deterius. *Signa, quæ tibi inerant: signa, quæ dabas.*

895. Hic versus in veteribus libris sic legitur: παπαί· τί δῆτα δρῷμ' ἐγὼ τοὐνθένδε γε; in B. δρῷμ' ἐγὼ τοὐνθάδε λέγε. Solœca est lectio, δρῷμ', quod valet δρῷμι, optativus est, qui sine particula ἂν in hac formula adhiberi non potest. Infra, 1393. τί δῆτ' ἂν ἡμεῖς δρῷμεν; Structuræ legibus non repugnaret, si δρῷμ' accipi posset pro δρῷμαι in subjunctivo; sed mediam hujus verbi formam nescio: præterea

ΦΙ. τί δ' ἐστὶν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγῳ;
ΝΕ. οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.
ΦΙ. ἀπορεῖς δέ του σύ; μὴ λέγ', ὦ τέκνον, τάδε.
ΝΕ. ἀλλ' ἐνθάδ' ἤδη τοῦδε τοῦ πάθους κυρῶ.
ΦΙ. οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
ἔπεισεν, ὥστε μή μ' ἄγειν ναύτην ἔτι;
ΝΕ. ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
ὅταν λιπών τις, δρᾷ τὰ μὴ προσεικότα.
ΦΙ. ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
δρᾷς, οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
ΝΕ. αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς, ὀκνῶ.
ΝΕ. ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακὸς,
κρύπτων θ' ἃ μὴ δεῖ, καὶ λέγων αἴσχιστ' ἐπῶν;
ΦΙ. ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
προδούς μ' ἔοικε κἀκλιπὼν τὸν πλοῦν στελεῖν.
ΝΕ. λιπὼν μὲν οὐκ ἔγωγε· λυπηρῶς δὲ μὴ
πέμπω σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. τί ποτε λέγεις, ὦ τέκνον; ὡς οὐ μανθάνω.
ΝΕ. οὐδέν σε κρύψω. δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν

non placet scabrum *τοὐνθένδε γε*: Genuinam procul dubio lectionem restituimus: *Παπαῖ· τί δῆτα δρῷμ' ἂν ἐκ τούτων ἐγώ;*

896. *ποῖ ποτ' ἐξέβης λόγῳ*; Mallem legere *λόγων*.

900. *οὐ δή σε δυσχέρεια τοῦ νοσήματος.* Sic libri omnes. Nescio in qua editione Toupius viderit *οὐδ' ἡ σε*— unde novam lectionem procudit plane inficetam, *τοὔδ' ἡ σὲ δυσχέρεια τοῦ νοσήματος.* Morata est ista formula *οὐ δὴ*, ut et illa quæ sæpius occurrit *οὐ δή που.* Vim in versione expressi. Minime solicitandæ hæ voces. Mallem equidem articulum nomini *δυσχέρεια* adjungi, et nisi multum venustatis esset in Neoptolemi responso, ubi eamdem vocem repetit, *ἅπαντα δυσχέρεια*, crederem haud male hic legi posse, *Οὐ δὴ τὸ δυσχερές σε τοῦ νοσήματος.* Sed nihil omnino mutandum. Articulum sæpe negligunt Tragici, ubi sermonis perspicuitati nihil detrahit ejus omissio.

913. *πέμπω*, *deduco*, *transveho.* Frequentatum Homero verbum hac significatione, ut Il. *α'*. 390. *Τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἑλίκωπες Ἀχαιοὶ Ἐς Χρύσην πέμπουσιν.* et Odyss. *δ'*. 559. *Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι, Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.* Hinc *πομπὸς deductor* supra, 500. Ceterum hic codd.

πρὸς τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον.
ΦΙ. οἴ μοι, τί εἶπας;
ΝΕ. μὴ στέναζε, πρὶν μάθῃς.
ΦΙ. ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;
ΝΕ. σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
ΦΙ. καὶ ταῦτ' ἀληθῆ δρᾷν νοεῖς;
ΝΕ. πολλὴ κρατεῖ
τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
ΦΙ. ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξ' ἐμοί.
ΝΕ. ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν
τό τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.
ΦΙ. ὦ πῦρ σὺ, καὶ πᾶν δεῖμα, καὶ πανουργίας

omnes mei habent πίμπω. Sola Aldina πίμπων, librarii vel typothetæ errore.

916. καὶ τὸν Ἀτρειδῶν στόλον. Mendam Aldinæ editionis, cujus immunes sunt codices, miror nec a Turnebo nec a Stephano sublatam fuisse καὶ τῶν, quum tamen ex metri lege vitium manifestum esset.

917. τί εἶπας. In B. τί γ' εἶπας. Inserta particula ex librarii libidine. Offendebat eum hiatus, ut et Valckenarium qui hîc legi malebat τί μ' εἶπας. Sed nimis delicati fuerunt. Vide supra ad v. 733. Euripides sub persona Menelai apud Comicum in Thesmoph. 902. Γύναι τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας. et secundo post versu: Τουτὶ τί ἐστιν; ἀφασία τις τοί μ' ἔχει. In Concion. 436. καὶ τί εἶπε;

927. ὦ πῦρ σὺ, καὶ πᾶν δεῖμα. Sic libri omnes. Miror sane Valckenario suspectas fuisse tres postremas voces, quarum loco comicum παιπάλημα reponi volebat in nota ad Eurip. Hippol. 406. Longe ineptissimum est Grammaticorum commentum, isto convicio ὦ πῦρ σὺ, *o mera pernicies*, alludi ad Neoptolemi nomen, qui etiam Πύῤῥος appellatus fuit. Tanquam oraculum ex tripode excepit hoc Brumœus, qui ad Græculi mentem vertit haud ineleganter, *O rage digne de ton nom!* quorum ejus verborum sensum non assecutus est Gallici Philoctetæ auctor, qui versionem istam aspere reprehendit, cujus ipse rationem non perspexit. Quia ignis rerum omnium est celerrimus destructor, appellatio tribuitur ei, qui damnum quantum maximum intulit: nihil ultra quærendum est. Eadem ratione *ignem* eum appellat, qua senex apud Plautum de servo vaferrimo, qui hero suo bis os subleverat, eumque pecunia emunxerat ait: *Volcani irati est filius: quaqua tangit, omne amburit.* πᾶν δεῖμα, *terror merus*, dicitur is, a quo extrema omnia metuenda. τέχνημα ineptum esset intelligere de instrumento cum relatione ad Ulyssem artificem, tanquam si jam nosset Philocteta confictum ab Ulysse dolum, et subornatum ab eo Neoptolemum. Solemne est schema, qua

δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
οἷ' ἠπάτηκας· οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
ἀπεστέρηκας τὸν βίον, τὰ τόξ' ἑλών.
ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον.
πρὸς θεῶν πατρῴων, τὸν βίον μή μου 'φέλῃς.
ὤ μοι τάλας. ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι·
ἀλλ', ὡς μεθήσων μήποθ', ὧδ' ὁρᾷ πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταῤῥῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἶδ' ὅτῳ λέγω.
ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν,
οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὐξ 'Αχιλλέως·
ὀμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει·
προθείς τε χεῖρα δεξιὰν, τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς 'Ηρακλέους ἔχει,
καὶ τοῖσιν 'Αργείοισι φήνασθαι θέλει.
ὡς ἄνδρ' ἑλὼν ἰσχυρὸν, ἐκ βίας μ' ἄγει·
κοὐκ οἶδ' ἐναίρων νεκρὸν, ἢ καπνοῦ σκιὰν,
εἴδωλον ἄλλως. οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
νῦν δ' ἠπάτημαι δύσμορος. τί χρὴ ποιεῖν;
ἀλλ' ἀπόδος. ἀλλὰ νῦν ἔτ' ἐν σαυτοῦ γενοῦ.

res ponitur pro persona, ut in Œdipo T. *παιδουργία* pro *παιδουργὸς*, in Ajace *ἄλημα* pro *ἀλήτης*, aliaque hujus generis multa.

933. *μή μου 'φίλῃς*. Triclinius imperitissime *μή μ' ἀφίλῃς*, versu ruente.

934. *προσφωνεῖ*. Aldus mendose *προσφωνεῖν*.

935. *πάλιν, εἰς τοὐπίσω. πάλιν ὁρᾷν*, *avertere vultum*. Possit etiam simpliciter hic *ὁρᾷ* accipi, ut supra, 862. *βλέπει*, jungendo *πάλιν* cum *μεθήσων*. *ἀλλ' ὧδ' ὁρᾷ, ὡς μήποτε μεθήσων πάλιν*.

937. *καταῤῥῶγες*. gl. *διεσχισμέναι*, *κοιλώδεις*.

939. *τοῖς εἰωθόσιν*. gl. *κλύετε ἐμοῦ δηλονότι*.

944. *φήνασθαι*. gl. *δεικνύναι*.

945. *ὡς ἄνδρ' ἑλὼν ἰσχυρὸν, ἐκ βίας μ' ἄγει*. Sic emendate scriptum in B. In ceteris libris pronomen *με* alienam in sedem translatum fuit.

946. *ἐναίρων νεκρόν*. Proverbialis locutio. Vide Antig. 1029. Diogenes Laërtius in Menedemo ii. 135. *Βίωνός τε ἐπιμελῶς κατατρέχοντος τῶν μάντεων, νεκροὺς αὐτὸν ἐπισφάττειν ἔλεγε*.

950. *ἐν σαυτοῦ γενοῦ*. Sic membr.

τί φῄς; σιωπᾷς. οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλὸς, οὐκ ἔχων τροφήν·
ἀλλ' αὐανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος,
οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ' ὀρειβάτην
τόξοις ἐναίρων τοῖσίδ'· ἀλλ' αὐτὸς τάλας
θανὼν, παρέξω δαῖθ', ὑφ' ὧν ἐφερβόμην,
καί μ', οὓς ἐθήρων πρόσθε, θηράσουσι νῦν·
φόνον φόνου δὲ ῥύσιον τίσω τάλας,
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
ὄλοιο μή πω, πρὶν μάθοιμ', εἰ καὶ πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μὴ, θάνοις κακῶς.

ΧΟ. τί δρῶμεν; ἐν σοὶ καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,
ἤδη 'στὶ, καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.

ΝΕ. ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς, οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.

ΦΙ. ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος, ἐκκλέψας ἐμέ.

ΝΕ. οἴ μοι, τί δράσω; μή ποτ' ὤφελον λιπεῖν
τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.

ΦΙ. οὐκ εἶ κακὸς σύ· πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν αἰσχρά. νῦν δ' ἄλλοισι δοὺς,
οἷς εἰκὸς, ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.

eleganter. Vulgo ἐν σαυτῷ. Comicus Vesp. 642. Ὥσθ' οὗτος ἤδη σκορδινᾶται, κἄστιν οὐκ ἐν αὑτοῦ. ubi ante nos male legebatur ἐν αὑτῷ. Hujus constructionis tria exempla ex Aristide profert Abreschius Animadv. in Æschylum, p. 174.

952. σχῆμα πέτρας. Periphrasis similis illis quas ad Trach. 908. observavimus. Tria adverbia αὖθις αὖ πάλιν eleganter junguntur ἐκ παραλλήλου. Comicus in Nub. 975. εἶτ' αὖ πάλιν αὖθις ἀνισταμένους ξυμψῆσαι. Frequentissimum est αὖθις αὖ, ut εἶτ' αὖ.

954. αὐανοῦμαι. Optimam lectionem a Scholiasta memoratam exhibet Triclinii recensio, quo magis miror a Turnebo spretam fuisse. In aliis libris legitur ἀλλ' αὖ θανοῦμαι, quod ex nostra lectione depravatum præ ea sordet. In El. 819. αὐανῶ βίον. In Comici Ran. 1084. ὥστ' ἐπαφαυάνθην γελῶν, risu enectus sum.

959. ῥύσιον. Hesych. apposite ad hunc locum, τίμημα.

972. τὸ ἑξῆς· πρὸς κακῶν ἀνδρῶν μαθὼν τὰ αἰσχρὰ ἔοικας ἥκειν.

ΝΕ. τί δρῶμεν, ἄνδρες;
ΟΔ. ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς;
οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;
ΦΙ. οἴ μοι, τίς ὡνήρ; ἆρ' Ὀδυσσέως κλύω;
ΟΔ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦγ', ὃν εἰσορᾷς.
ΦΙ. οἴ μοι· πέπραμαι, κἀπόλωλ'. ὅδ' ἦν ἄρα
ὁ ξυλλαβών με, κἀπονοσφίσας ὅπλων.
ΟΔ. ἐγὼ, σάφ' ἴσθ', οὐκ ἄλλος· ὁμολογῶ τάδε.
ΦΙ. ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα.
ΟΔ. τοῦτο μὲν,
οὐδ' ἢν θέλῃ, δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ' αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.
ΦΙ. ἔμ', ὦ κακῶν κάκιστε καὶ τολμίστατε,
οἵδ' ἐκ βίας ἄξουσιν;
ΟΔ. ἢν μὴ ῞ρπῃς ἑκών.

975. Non satis accurate distinctus est hic versus, qui sic excudi debuit: Οὐκ εἶ, μεθεὶς τὰ τόξα ταῦτ' ἐμοί, πάλιν; Ordo est enim, οὐκ εἶ πάλιν, μεθεὶς τὰ τόξα ταῦτ' ἐμοί; *recedere, abire* est πάλιν ἰέναι. Miror quî Berolinensi éditori in mentem venerit hunc versum ad Philoctetæ partes referre, quasi πάλιν ad μεθεὶς pertineret, quod manifeste cum priori verbo εἶ jungendum.

976. ἆρ' Ὀδυσσέως κλύω; Mirum non est Philoctetam audita Ulyssis voce ipsum statim agnoscere, quippe quem a Mercatore audiverat mox adfuturum. At in Gallica fabula, in qua importune nugaci illi Mercatori partes ademptæ fuerunt, nec quidquam audivit miserabilis Heros, quo suspicari possit Ulyssem adventurum, quum primum subitus hic in scenam irrumpit, statim eum ille de forma novit, quod prodigii loco habendum. Vulgo in hoc versu legitur τίς ἀνήρ; mendose.

978. πέπραμαι. Sic libri omnes. Falsa est conjectura Abreschii in Animadv. ad Æschylum p. 189. πέπραγμαι. Confer versum hujus fabulæ 579. et Antig. 1036.

983. στελοῦσι. gl. πέμψουσι.

984. τολμίστατε. Sic emendate scriptum in B. T. In membr. ut Aldus edidit, τολμήστατε, cum glossa τολμηίστατε, quod Heathii quidem opinioni favet. Verum fallitur uterque. Orta varietas ex similitudine soni vocalium ι et η in vitiosa recentiorum Græcorum pronuntiatione. Ut formantur Attica superlativa ψευδίστατος, κλεπτίστατος, ἄλγιστος, ἔχθιστος, οἴκτιστος, ὕψιστος, a ψευδὴς, κλέπτης, ἄλγος, ἔχθος, οἶκτος, ὕψος, sic a τόλμη, τόλμιστος, τολμίστατος. Attica sunt formæ anomalæ, quæ non ad grammaticos canonas de regularibus superlativis exigenda. Nulla obstat analogia, quin credam Græcis adhibitum fuisse, lexicographis incognitum, nomen τόλμος, *audax*, unde formatum esset τολμίστατος, ut λάλος, λαλίστατος. Alicunde forte exprometur: verum in Æschyli Persis, 994. proprium est, non appellativum.

ΦΙ. ὦ Λημνία χθὼν, καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον, ταῦτα δῆτ' ἀνασχετὰ,
εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;
ΟΔ. Ζεύς ἐσθ', ἵν' εἰδῇς, Ζεὺς, ὁ τῆσδε γῆς κρατῶν,
Ζεὺς, ᾧ δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ.
ΦΙ. ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν·
θεοὺς προτείνων, τοὺς θεοὺς ψευδεῖς τιθεῖς.
ΟΔ. οὔκ· ἀλλ' ἀληθεῖς. ἡ δ' ὁδὸς πορευτέα.
ΦΙ. οὔ φημ' ἔγωγε.
ΟΔ. φημί. πειστέον τάδε.
ΦΙ. οἴ μοι τάλας. ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ' ἐξέφυσεν, οὐδ' ἐλευθέρους.
ΟΔ. οὔκ· ἀλλ' ὁμοίως τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ, καὶ κατασκάψαι βίᾳ.
ΦΙ. οὐδέποτέ γ'· οὐδ' ἢν χρῇ με πᾶν παθεῖν κακὸν,
ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον.
ΟΔ. τί δ' ἐργασείεις;
ΦΙ. κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.
ΟΔ. ξυλλάβετέ γ' αὐτόν· μὴ 'πὶ τῷδ' ἔστω τάδε.
ΦΙ. ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης
νευρᾶς, ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.

988. ἐκ τῶν σῶν. gl. τόπων.

992. τιθεῖς. Sic emendate scriptum in B. Perperam in aliis, ut in impressis, τιθείς. Antiquo verbo τιθέω utuntur poëtæ, cujus eadem est ratio, quæ verbi ἱέω, de quo vide notata ad Œd. T. 628. Exstat apud Theognidem v. 280. πιστὰ τιθεῖν ἰθέλων. Apud Pindarum Pyth. viii. 14. τιθεῖς ὕβριν ἐν ἄντλῳ. Apud Euripidem multis in locis, ut Heracl. 691. Herc. F. 712. Alcest. 908. Vide quæ notavimus ad Comici Lysistr. 895. Perperam in Aldina vox θεοὺς, ubi repeti debebat, omissa.

999. ἂν χρῇ. Subjunctivus est χρῇ. Perperam vulgo excusum χρή.

1001. τί δ' ἐργασείεις; Aldus et veteres codd. Ulyssi hæc verba tribuunt. Triclinius perperam Neoptolemo. κρᾶτ' ἐμὸν τόδ'. Accusativus κρᾶτα neutrius generis est hic et alibi, ut Antig. 764. quod Eustathius observat ad Il. θ'. p. 700. l. 62. παρὰ δὲ Σοφοκλεῖ καὶ τὸ κρᾶτα ἐῤῥέθη καινότερον.

ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν,
οἷός μ' ὑπῆλθες· ὥς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ,
ὃς οὐδὲν ᾔδη πλὴν τὸ προσταχθὲν ποιεῖν.
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς τ' αὐτὸς ἐξήμαρτεν, οἷς τ' ἐγὼ 'παθον.
ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυῆ τ' ὄντα, κοὐ θέλονθ', ὅμως
εὖ προὐδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
καὶ νῦν ἔμ', ὦ δύστηνε, συνδήσας, νοεῖς
ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προὐβάλου
ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρόν.
φεῦ.
ὄλοιο· καί σοι πολλάκις τόδ' εὐξάμην.
ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι.
σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὔθ', ὅτι ζῶ ξὺν κακοῖς πολλοῖς τάλας,
γελώμενος πρὸς σοῦ τε, καὶ τῶν Ἀτρέως
δισσῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
καί τοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγεὶς,
ἔπλεις ἅμ' αὐτοῖς· ἐμὲ δὲ τὸν πανάθλιον
ἑκόντα πλεύσανθ', ἑπτὰ ναυσὶ ναυβάτην,
ἄτιμον ἔβαλον, ὡς σὺ φῄς, κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγεσθε; τοῦ χάριν;

1010. ᾔδη. Perperam vulgo ᾔδει.

1012. οἷς. Id est δι' ἅ. Dativus causæ. Vide ad Antig. 1019.

1014. κοὐ θέλονθ'. In B. κοὐκ ἐθέλονθ'.

1023. πρὸς σοῦ τε. Perperam Triclinius πρὸς σοῦ γε, et altero versu διπλῶν, pro veteri lectione δισσῶν.

1027. ἑπτὰ ναυσί. Ex Homero in catalogo navium: Τῶνδε Φιλοκτήτης ἦρχεν, τόξων εὖ εἰδὼς, Ἑπτὰ νεῶν.

1028. ἄτιμον ἔβαλον. Sic veteres codd. recte. Gl. ἐξέβαλον, unde orta Triclinii prava lectio, ἐκβαλον.

1029. τί μ' ἀπάγεσθε; Sic libri omnes, etiam Triclinii recensio. Turnebus mendose edidit τί ἀπάγεσθε; Pejori menda Stephanus τί ἀπάγετε; Sequentium editorum nullus adeo cordatus fuit, ut ex Aldina veram lectionem reponeret.

ὃς οὐδέν εἰμι, καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι
χωλὸς, δυσώδης; πῶς θεοῖς ἔξεσθ', ἐμοῦ
πλεύσαντος, αἴθειν ἱερά; πῶς σπένδειν ἔτι;
αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
κακῶς ὄλοισθ'. ὀλεῖσθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔποτ' ἂν στόλον
ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς, ἐμοῦ.
ἀλλ' ὦ πατρῴα γῆ, θεοί τ' ἐπόψιοι,
τίσασθε, τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ
ξύμπαντας αὐτοὺς, εἴ τι κἄμ' οἰκτείρετε,
ὡς ζῶ μὲν οἰκτρῶς· εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.

**ΧΟ.** βαρύς τε, καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ', Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.

**ΟΔ.** πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου.

1032. *πῶς θεοῖς ἔξεσθ' αἴθειν ἱερά;* Libri omnes, *πῶς θεοῖς εὔξεσθ' αἴθειν ἱερά;* quod vertunt: *Quomodo diis vovebitis sacra crematuros?* Atqui Philoctetæ ejulatus non impediebant quin voverent, sed quin peragerent sacra. Mendosum esse *εὔξεσθ'* nemo non vidit: mutari debuit in *ἔξεσθ'*, id est *δυνήσεσθε*. Hunc locum inauspicato attigit Piersonus Verisimil. p. 163. ubi legendum conjecit *ἔξεσ'*, id est *ἔξεστι*, *licet*. Tum pro *πλεύσαντος* legendum opinatus est *κλαύσαντος*: debebat saltem *κλαίοντος*. Sed optimum est *πλεύσαντος*. *Si vobiscum navigavero, qui poteritis victimas adolere?* Scholiastes rationem reddit cur hæc dicat Philocteta, nullo ad singula verba respectu; nec ex ejus explicatione colligi potest, diversam eum a nostra lectionem ob oculos habuisse. Si quid mutandum fuisset, maluissem *ἐμοῦ ξυνόντος*.

1035. *κακῶς ὄλοισθ'. ὀλεῖσθε δ'*— Sic omnino legendum. Perierat vis omnis sententiæ prava librorum lectione, *κακῶς ὄλοισθ'· ὄλοισθε δ'*—

1037. *ἐπεὶ οὔποτ' ἂν στόλον.* Sic veteres codd. et Aldus recte. Triclinius pessime *ἐπεὶ οὔτ' ἂν*—Metrum laborare credidit, eique consulens id plane perdidit. *ἐπεὶ οὐ* apud poëtas Atticos semper disyllabum est: nisi per crasin voces coalescerent, ingrato hiatu aures læderentur.

1039. Jungenda sunt *ἀνδρὸς ἀθλίου ἐμοῦ*.

1048. *εἴ μοι παρείκοι.* Scholiastes

οὗ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾷν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν,
πλὴν εἰς σέ· νῦν δὲ σοί γ' ἑκὼν ἐκστήσομαι.
ἄφετε γὰρ αὐτὸν, μηδὲ προσψαύσητ' ἔτι.
ἐᾶτε μίμνειν. οὐδέ σου προσχρῄζομεν,
τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεστι μὲν
Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπιστήμην ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν
τούτων κρατύνειν, μηδ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
ἡμεῖς δ' ἴωμεν. καὶ τάχ' ἂν τὸ σὸν γέρας
τιμὴν ἐμοὶ νείμειεν, ἥν σ' ἐχρῆν ἔχειν.
ΦΙ. οἴ μοι· τί δράσω δύσμορος; σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς, ἐν Ἀργείοις φανεῖ;
ΟΔ. μή μ' ἀντιφώνει μηδὲν, ὡς στείχοντα δή.
ΦΙ. ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτὸς, ἀλλ' οὕτως ἄπει;
ΟΔ. χώρει σύ· μὴ πρόσλευσσε γενναῖός περ ὢν,
ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.
ΦΙ. ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι,
λειφθήσομ' ἤδη, κοὐκ ἐποικτερεῖτέ με;
ΧΟ. ὅδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς· ὅσ' ἂν
οὗτος λέγῃ σοι, ταῦτά σοι χ' ἡμεῖς φαμέν.
ΝΕ. ἀκούσομαι μὲν, ὡς ἔφυν οἴκτου πλέως,
πρὸς τοῦδ'· ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ,
χρόνον τοσοῦτον, εἰς ὅσον τά τ' ἐκ νεὼς
στείλωσι ναῦται, καὶ θεοῖς εὐξώμεθα.

supplet ὁ καιρὸς, *opportunitas*. Possit etiam ex præcedente τοῦδ' assumi αὐτός. *Si mihi is concederet, si mihi operam dare vellet.* Male Triclinius scripsit παρέχει.

1060. χαῖρε τὴν Λῆμνον πατῶν. Nihil, meo judicio, hic desideratur. Marklandus ad Eurip. Suppl. 110. legendum censebat χαῖρ', ὁ τὴν Λῆμνον πατῶν.

χ' οὗτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῷω τιν' ἡμῖν. νὼ μὲν οὖν ὁρμώμεθον·
ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.

ΦΙ. Ὦ κοίλας πέτρας γύαλον — στροφὴ α΄.
θερμόν τε καὶ παγετῶδες, ὥς σ'
οὐκ ἔμελλον ἄρ', ὦ τάλας,
λείψειν οὐδέ ποτ', ἀλλ' ἐμοὶ
καὶ θνήσκοντι συνοίσει.
οἴ μοι μοί μοι.
ὦ πληρέστατον αὔλιον
λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν,
τί ποτ' ἂν μοι τὸ κατ' ἦμαρ
ἔσται; τοῦ ποτε τεύξομαι
σιτονόμου μέλεος; πόθεν ἐλπίδος;
εἴθ' αἰθέρος ἄνω
πλωάδες ὀξυτόνου διὰ πνεύματος

1085. συνοίσει. gl. ὠφέλιμον ἔσῃ.

1089. τί ποτ' ἄν μοι ἔσται. Sic emendate scriptum in B. in reliquis τί ποτ' αὖ μοι. Frequentissima est harum vocularum permutatio.

1093. πλωάδες. Aldus et codd. πτωκάδες. Aliæ præter hanc lectiones Scholiastæ memorantur, πτωχάδες, πρωτάδες, δρομάδες, quæ sunt omnes falsæ. De postrema, quam metrum respuit, res confecta est. Harpyiias intelligi apud omnes constat. Hæ cur poëtæ πτωκάδες, seu πτωχάδες dictæ fuerint, nullam rationem video. Num quia πτώσσουσι, *fugiunt et abscondunt se?* vel quia semper esuriunt, ut πτωχοί, *mendici?* sunt istæ derivationes longe ineptissimæ. Librariorum imperitia depravata fuit lectio. Ex eodem corruptelæ fonte manavit in Homeri Epigr. ix. vitiosum πτωχάσιν, seu πτωκάσιν, ubi Ernestus erudite ostendit legendum esse πλωάσιν. Apollonio πλωάδες appellantur aves Stymphalides, Argon. ii. 1054. Idem Harpyiis inditum nomen, quia et ipsæ in insula habitabant, et, tanquam marinæ volucres, volatu maria trajiciebant. Sagaciter conjicit Berolinensis editor, pro πρωτάδες in veterum criticorum commentariis scriptum olim fuisse πλωτάδες, quo nomine Harpyiias indigetari, ab insularum appellatione, in quibus sedes habebant, quæ primum Πλωταὶ dictæ, nomen mutarunt, et a Boreadarum conversione Στροφάδες appellatæ fuerunt. Vide Apollonii Argon. ii. 295. Ingeniosa et erudita conjectura hæc est, sed fidejussore caret; vellem antiqui poëtæ, vel saltem grammatici auctoritate suffultam eam videre. Idcirco πλωάδες prætuli. Hesychius: Πλοάδες. (Leg. Πλωάδες.) τῶν ἐπερχομένων τινὲς οὕτω καλοῦνται. Mirarer, ni huc respexisset.

ἀλλὰ γνῶθ᾽, εὖ γνῶθ᾽, ὅτι σοι
κῆρα τάνδ᾽ ἀποφεύγειν.
οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς δ᾽
ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοικεῖ.

ΦΙ. πάλιν, πάλιν παλαιὸν
ἄλγημ᾽ ὑπέμνασας,
ὦ λῷστε τῶν πρὶν ἐντόπων.
τί μ᾽ ὤλεσας; τί μ᾽ εἴργασαι;

ΧΟ. τί τοῦτ᾽ ἔλεξας;

ΦΙ. εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
Τρῳάδα γαῖάν μ᾽ ἤλπισας ἄξειν.

ΧΟ. τόδε γὰρ νοῶ κράτιστον.

ΦΙ. ἀπό νύν με λείπετ᾽ ἤδη.

ΧΟ. φίλα μοι, φίλα ταῦτα παρήγ-
γειλας, ἑκόντι τε πράσσειν.
ἴωμεν, ἴωμεν

γεῖν, qua lectione versus pessum datur. Subauditur πάρεστι.

1167. *οἰκτρὰ γὰρ βόσκειν.* Id est ὥστε βόσκειν αὐτὴν, vel εἰς τὸ βόσκεσθαι. Mirum est hîc offendisse viros doctos. Vide Suidam in Ἄξιος λαβεῖν ὁ μισθὸς, ubi hanc locutionem exemplis illustrat, inter quæ tanquam ex Tragico nostro duos senarios profert, qui sunt Euripidis in Medea, 321. Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ᾽ αὔτως ἀνὴρ, Ῥᾴων φυλάσσειν, ἢ σιωπηλὸς σοφός. Ad quem locum Scholiastes: ῥᾴων φυλάσσειν. ἀντὶ τοῦ φυλαχθῆναι καὶ τηρηθῆναι. ἐνεργητικὸν ἀντὶ παθητικοῦ. τοῦτο δὲ ἔθος ὡς ἐπὶ τὸ πλεῖστον τοῖς Ἀττικοῖς. Quod sequitur, ἀδαὴς δ᾽ ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοικεῖ, interpretes frustra exercuit. Nimis licenter editor nescio quis Cantabrigiensis ἔχει pro ἔχειν supposuit, quod futilissimum commentum probat Heathius, unde hunc sensum extudit: *misere enim alitur morbus: stultus vero mille habet ærumnas quibuscum habitat.* Sed hoc leve est præ Berolinensis editoris conjectura, qui sic totum locum constituit: οἰκτρὰ γὰρ βόσκων, ἀδαὴς δέχῃ μυρίον ἄχθος, ᾧ ξυνοίκει. et vertit: *sed morbum alens excipis innumeros dolores, quibuscum habita, si ita tibi videtur.* Malum, quod in ista versione vocis ἀδαὴς nullam rationem habuit! ἀδαὴς et οἰκτρὰ referuntur ad κῆρα τάνδ᾽, quod nomen inde repetendum: οἰκτρὰ γάρ ἐστι, (ἡ κὴρ) ὥστε βόσκειν αὐτὴν, ἀδαὴς δέ ἐστι, ἤγουν οὐ δύναται δαῆναι, ἔχειν, ὅ ἐστιν ὑπέχειν, ὑπομένειν, μυρίον ἄχθος, ᾧ ξυνοικεῖ. Horatius dixit *indocilis pauperiem pati*, ut Tragicus noster ἀδαὴς ἔχειν ἄχθος. A sensu non aberravit Parisinus editor: verum quod censet, minime necessarium est pro δ᾽ ἔχειν legere δὲ σχεῖν. Metrum absque ea mutatione sartum tectum est. Antithetici versus sunt antispastici trimetri catalectici.

ναὸς ἵν' ἡμῖν τέτακται.
ΦΙ. μὴ, πρὸς ἀραίου
Διὸς, ἔλθῃς, ἱκετεύω.
ΧΟ. μετρίαζ'.
ΦΙ. ὦ ξένοι,
μείνατε, πρὸς θεῶν.
ΧΟ. τί θροεῖς;
ΦΙ. αἶ αἶ αἶ αἶ· δαίμων, δαίμων.
ἀπόλωλ', ὦ τάλας.
ὦ πούς, πούς, τί σ' ἔτ' ἐν βίῳ
τεύξω τὸ μετόπιν τάλας;
ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις.
ΧΟ. τί ῥέξοντες ἀλλοκότῳ γνώμᾳ
τῶν πάρος, ὧν προὐφάνης—
ΦΙ. οὔ τοι νεμεσητὸν ἀλύοντα
χειμερίῳ λύπᾳ,
καὶ παρὰ νοῦν θροεῖν.
ΧΟ. βᾶθί νυν, ὦ τάλαν, ὥς σε κελεύομεν.
ΦΙ. οὐδέποτ', οὐδέποτ', ἴσθι τόδ' ἔμπεδον,
οὐδ' εἰ πυρφόρος ἀστεροπητὴς
βροντᾶς αὐγαῖς μ' εἶσι φλογίζων.
ἐῤῥέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνῳ
πάντες, ὅσοι τόδ' ἔτλασαν ἐμοῦ ποδὸς

1181. ναὸς a suppressa præpositione ἐπὶ regi censet Scholiastes, et sic glossa exponit, ἴωμεν ἐπὶ τῆς ναὸς, ὅπου ἡμῖν τέτακται. Nec rejicienda hæc explicatio, quam in versione secutus sum. Vide supra ad v. 206. Possit tamen ab ἵνα genitivus ναὸς pendere: ἴωμεν ἵνα τῆς ναὸς ἡμῖν τέτακται.

1192. ὧν προὐφάνης—Libri omnes ὧν προὔφανες, absque ullo sensu, Chori sermonem abrumpit Philocteta, quid ille dicere velit præsentiens: ὧν πρὸ τοῦ ἐφάνης ἐνπεριπόμενος μηδέν.

1199. βροντᾶς αὐγαῖς. Codd. βρονταῖς αὐταῖς, quod inepte depravatum ex veteri lectione Scholiastæ memorata, βροντᾶς αὐγαῖς. Confunduntur perquam frequenter in codd. ϛ et ꝩ. Maxime in his ipsis vocibus, cujus rei exempla vide in notis ad Plutarchi Romulum p. 76. ubi Heracliti dictum de anima exponitur, αὐγὴ γὰρ ξηρὴ, ψυχὴ ἀρίστη. Postquam αὐγαῖς in αὐταῖς mutatum fuit, oportuit ex βροντᾶς facere βρονταῖς. Judicii Heathium laudo, cui codicum lectio ma-

ἄρθρον ἀπῶσαι. ἀλλ', ὦ ξεῖνοι,
ἕν γ' ἐμοὶ, ἕν γ' ἐμοὶ εὖχος ὀρέξατε.
ΧΟ. ποῖον ἐρεῖς τόδ' ἔπος;
ΦΙ. ξίφος, εἴ ποθεν,
ἢ γένυν, ἢ βελέων τι, προπέμψατε.
ΧΟ. ὡς τίνα ῥέξῃς
παλάμαν ποτέ;
ΦΙ. κρᾶτ' ἀπὸ πάντα * τ'
† ἄρθρα τέμω χερί.
φονᾷ, φονᾷ νόος ἤδη.
ΧΟ. τί ποτε;
ΦΙ. πατέρα ματεύων.
ΧΟ. ποῖ γᾶς;
ΦΙ. ἐς Ἅιδου.
οὐ γάρ ἐστ' ἐν φάει γ' ἔτι.
ὦ πόλις, ὦ πόλις πατρία,
πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνὴρ,
ὅς γε σὰν λιπὼν ἱερὰν
λιβάδ', ἐχθροῖς ἔβαν Δαναοῖς
ἀρωγὸς, εἴτ' οὐδέν εἰμι.
ΧΟ. Ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας

* τ' deest edd. 1. 2. † κἄρθρα edd. 1. 2.

gis placet: mihi insulsa videtur præ altera, quam Valckenarii sagacitati debemus.

1202. In Aldina et in veteribus codd. legitur: ἄρθρον ἀπῶσαι. ἀλλ' ὦ ξένοι ἕν γέ μοι εὖχος ὀρέξατε. Non sunt sane anapæstici isti versus, ut esse debent: eis nec Triclinii, nec Heathii medicina sanitatem restituit. ξένοι mutandum in ξεῖνοι, quæ formæ passim a librariis confusæ: tum ad mendarum illud genus *tam late patens* attendendum, de quo vide notam ad Œd. T. 1096. cujusque modo exemplum insigne dedi in v. 1161. Hic iterum omissæ fuerunt, quæ repeti debebant voces: vide jam quam belle, quam vivide decurrant anapæsti et sententia: Ἄρθρον ἀπῶσαι. ἀλλ', ὦ ξεῖνοι, Ἕν γ' ἐμοὶ, ἕν γ' ἐμοὶ εὖχος ὀρέξατε.

1209. νόος. Perperam Aldus et membr. νόσος.

1217. εἴτ' οὐδέν εἰμι. Sic vere Heathius pro mendosa librorum lectione ἵν' οὐδέν.

1218. ἐμοῦ, ἐγγύς. Vide ad Antig. 1180.

'Οδυσσέα στείχοντα, τόν τ' Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.
ΟΔ. οὐκ ἂν φράσειας ἥντιν' αὖ παλίντροπος
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
ΝΕ. λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
ΟΔ. δεινόν γε φωνεῖς· ἡ δ' ἁμαρτία τίς ἦν;
ΝΕ. ἣν σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ---
ΟΔ. ἔπραξας ἔργον ποῖον, ὧν οὔ σοι πρέπον;
ΝΕ. ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.
ΟΔ. τὸν ποῖον; ὤ μοι· μῶν τι βουλεύῃ νέον;
ΝΕ. νέον μὲν οὐδέν· τῷ δὲ Ποίαντος τόκῳ---
ΟΔ. τί χρῆμα δράσεις; ὥς μ' ὑπῆλθέ τις φόβος.
ΝΕ. παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ', αὖθις πάλιν---
ΟΔ. ὦ Ζεῦ, τί λέξεις; οὔ τι που δοῦναι νοεῖς;
ΝΕ. αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.
ΟΔ. πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;
ΝΕ. εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.
ΟΔ. τί φῄς, Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;
ΝΕ. δὶς ταυτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;
ΟΔ. ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.
ΝΕ. εὖ νῦν ἐπίστω, πάντ' ἀκήκοας λόγον.
ΟΔ. ἔστιν τις, ἔστιν, ὅς σε κωλύσει τὸ δρᾶν.
ΝΕ. τί φῄς; τίς ἔσται μ' οὑπικωλύσων τάδε;
ΟΔ. ξύμπας Ἀχαιῶν λαός· ἐν δὲ τοῖσδ' ἐγώ.
ΝΕ. σοφὸς πεφυκώς, οὐδὲν ἐξαυδᾷς σοφόν.
ΟΔ. σὺ δ' οὔτε φωνεῖς, οὔτε δρασείεις σοφά.

1229. τὸν ποῖον. Sic etiam scriptum est in Triclinii recensione. In Turnebi editione operarum incuria, ut videtur, excusum fuit τὸ ποῖον, quæ menda per subsequentes omnes propagata fuit.

1235. κερτομῶν, χλευάζων. Theocritus in Thyrside, 62. κοὔτι τυ κερτομέω.

1236. τἀληθῆ λέγειν. Id est τὸ ἀληθῆ λέγειν. Vide supra ad v. 108.

1239. ἀρχὴν hic et aliis omnibus in locis, ubi comitem habet particulam negantem, valet *omnino*. De hac loquendi forma erudite disseruit Lennepius ad Phalaridis Epist. xvi. Sic Ant. 92. ἀρχὴν οὐ πρέπει, *omnino non decet*. Vide etiam El. 439.

1245. δρασείεις σοφά. Sic legendum. σοφὸν e præcedente versu repe-

ΝΕ. ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
ΟΔ. καὶ πῶς δίκαιον, ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς,
πάλιν μεθεῖναι ταῦτα;
ΝΕ. τὴν ἁμαρτίαν
αἰσχρὰν ἁμαρτὼν, ἀναλαβεῖν πειράσομαι.
ΟΔ. στρατὸν δ' Ἀχαιῶν οὐ φοβῇ, πράσσων τάδε;
ΝΕ. ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.
ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν.
ΟΔ. οὔτ' ἆρα Τρωσὶν, ἀλλά σοι μαχούμεθα.
ΝΕ. ἔστω τὸ μέλλον.
ΟΔ. χεῖρα δεξιὰν ὁρᾷς
κώπης ἐπιψαύουσαν;
ΝΕ. ἀλλὰ κἀμέ τοι
ταυτὸν τόδ' ὄψει δρῶντα, κοὐ μέλλοντ' ἔτι.
ΟΔ. καί τοι σ' ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ
λέξω τάδ' ἐλθὼν, ὅς σε τιμωρήσεται.
ΝΕ. ἐσωφρόνησας· κἂν τὰ λοίφ' οὕτω φρονῇς,
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
σὺ δ', ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω,
ἔξελθ', ἀμείψας τάσδε πετρήρεις στέγας.
ΦΙ. τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
τί μ' ἐκκαλεῖσθε; τοῦ κεχρημένοι, ξένοι;
ὤ μοι· κακὸν τὸ χρῆμα. μῶν τί μοι μέγα
πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν;
ΝΕ. θάρσει· λόγους δ' ἄκουσον, οὓς ἥκω φέρων.

titum manifestus est librarii error. In B. ἠβουλόμην, quod Atticum quidem, sed Tragicis non frequentatum.

1251. τὸν σὸν φόβον, *terrorem quem tu mihi vis incutere: tuas minas.* Vide notata ad Antig. 597. Male Johnsonus vertit, *nihil metuo, quod tu.*

1252. ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν. Vulgo male hæc accipiuntur: sensum explanat scholion in Reg. membr. ἀλλ' οὐδὲ πεισθήσομαι ποιεῖν ταῦτα τῇ σῇ χειρί. ὃ ἐστι, οὐκ ἐπιτρέψω σοι. *Facere tua manu,* tantumdem est ac *permittere ut facias.* πείθομαι τὸ δρᾶν eadem ratione dictum ac paulo ante σε κωλύσει τὸ δρᾶν. Neutro in loco subaudiendum κατά. In B. perperam hic versus Ulyssi tributus est.

1264. τοῦ κεχρημένοι. Mendose in membr. et in Aldina κεχρημένου.

ΦΙ. δέδοιχ' ἔγωγε. καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
καλῶν κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.
ΝΕ. οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;
ΦΙ. τοιοῦτος ἦσθα τοῖς λόγοισι, χὤτ' ἐμοῦ
τὰ τόξ' ἔκλεπτες, πιστὸς, ἀτηρὸς λάθρα.
ΝΕ. ἀλλ' οὔ τι μὴ νῦν· βούλομαι δέ σου κλύειν,
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν.
ΦΙ. παῦε, μὴ λέξῃς πέρα.
μάτην γὰρ, ἃ 'ν εἴπῃς γε, πάντ' εἰρήσεται.
ΝΕ. οὕτω δέδοκται;
ΦΙ. καὶ πέρα γ' ἴσθ' ἢ λέγω.
ΝΕ. ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι.
ΦΙ. πάντα γὰρ φράσεις μάτην.
οὐ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κτήσει φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
ἀπεστέρηκας, κᾆτα νουθετεῖς ἐμὲ
ἐλθὼν, ἀρίστου πατρὸς ἔχθιστος γεγώς.
ὄλοισθ', Ἀτρεῖδαι μὲν μάλιστ', ἔπειτα δὲ
ὁ Λαρτίου παῖς, καὶ σύ.
ΝΕ. μὴ 'πεύξῃ πέρα·
δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
ΦΙ. πῶς εἶπας; οὐκ ἄρα δεύτερον δολούμεθα;
ΝΕ. ἀπώμοσ' ἁγνοῦ Ζηνὸς ὕψιστον σέβας.
ΦΙ. ὦ φίλτατ' εἰπὼν, εἰ λέγεις ἐτήτυμα.
ΝΕ. τοὔργον παρέσται φανερόν. ἀλλὰ δεξιὰν

1275. παῦε, *desine.* Perperam Aldus, metro reclamante, παῦσαι, quod ex interlineari glossa ortum. Atticum est παῦε, pro παῦσαι. Vide quæ notavimus ad Comici Ranas 269. Euripidem Ione, 534.

1284. ἔχθιστος. Sic libri omnes. Non satis causæ video, cur Piersonus ad Mœridem p. 135. suspectam habuerit hanc lectionem, cujus in locum sufficit αἴσχιστος. Verum est quidem hæc nomina commutari, cujus rei exemplum est in Aj. 1059.

πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
ΟΔ. ἐγὼ δ' ἀπαυδῶ γ', ὡς θεοὶ ξυνίστορες,
ὑπέρ τ' Ἀτρειδῶν τοῦ τε σύμπαντος στρατοῦ.
ΦΙ. τέκνον, τίνος φώνημα; μῶν Ὀδυσσέως
ἐπῃσθόμην;
ΟΔ. σάφ' ἴσθι· καὶ πέλας γ' ὁρᾷς,
ὅς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βίᾳ,
ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ.
ΦΙ. ἀλλ' οὔ τι χαίρων, ἢν τόδ' ὀρθωθῇ βέλος.
ΝΕ. ἆ ἆ, μηδαμῶς. μή, πρὸς θεῶν, μεθῇς βέλος.
ΦΙ. μέθες με, πρὸς θεῶν, χεῖρα, φίλτατον τέκνον.
ΝΕ. οὐκ ἂν μεθείην.
ΦΙ. φεῦ· τί μ' ἄνδρα πολέμιον
ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς;
ΝΕ. ἀλλ' οὔτ' ἐμοὶ καλὸν τόδ' ἐστὶν, οὔτε σοί.
ΦΙ. ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
τοὺς τῶν Ἀχαιῶν, ψευδοκήρυκας, κακοὺς
ὄντας πρὸς αἰχμὴν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
ΝΕ. εἶεν. τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅτου
ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ.
ΦΙ. ξύμφημι. τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες· οὐχὶ Σισύφου πατρὸς,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ', ὅτ' ἦν,

1300. ἆ ἆ, μηδαμῶς. Sic scriptum oportuit. In accentu peccavit Aldus ἇ ἇ. Hesychius : ἆ ἆ. σχετλιαστικὸν ἐπιφώνημα.

1301. μέθες με χεῖρα. Schema, quod vocant καθ' ὅλον καὶ μέρος. Vide ad Œd. T. 717.

1302. οὐκ ἂν μεθείην. In B. μεθείμην. Proclivis in harum formarum permutatione lapsus. Vide Marklandum ad Euripidis Iphig. A. 310. ubi, ut et hîc, nihil interest utro modo legatur, quod ostendimus ad Com. Vespas 416.

1304. ἀλλ' οὔτ' ἐμοὶ καλὸν τόδ' ἐστὶν, οὔτε σοί. Nisi quis cucurbitas lippiat, videat necesse est sic poëtam, scripsisse. Codicum, quos vidi, omnium lectionem Aldus exhibuit, καλὸν τοῦτ' ἐστίν. Voculas τόδ' et τοῦτ' saepissime confuderunt librarii, unde hic versus turpiter claudicabat. Crurifragio eum non exemit infelix Turnebi conjectura, ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἐστὶ καλὸν, οὔτε σοί. Pro spondeo in quarto pede substituit pyrrhichium, ignorans scilicet nominis καλὸς priorem ab Atticis poëtis semper corripi.

ἥκου' ἄριστα, νῦν τε τῶν τεθνηκότων.
NE. ἥσθην πατέρα τε τὸν ἐμὸν εὐλογοῦντά σε,
αὐτόν τ' ἔμ'· ὧν δέ σου τυχεῖν ἐφίεμαι,
ἄκουσον. ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
ὥσπερ σὺ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν, οὔτ' ἐποικτείρειν τινά.
σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχῃ·
ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω· Ζῆνα δ' ὅρκιον καλῶ·
καὶ ταῦτ' ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.
σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις·
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἐντυχεῖν
νόσου βαρείας, ἔς τ' ἂν οὗτος ἥλιος

1314. ἥσθην σε εὐλογοῦντα. Supple ἀκούων. Vide ad Aj. 790. In Triclinii recensione scriptum ἥσθην πατέρα τὸν ἐμὸν εὐλογοῦντά σε. In B. πατέρα τὸν ἐμὸν, ut citat Eustathius p. 737. claudicante versu. Haud displicet Triclinii lectio.

1330. ἔς τ' ἂν οὗτος ἥλιος. Libri omnes ὡς ἂν αὐτὸς ἥλιος, manifesta menda. ὡς ἂν nihil aliud significare potest quam *ut*: sensus autem hic flagitat ἕως ἂν, ἔς τ' ἂν, *dum, donec, quamdiu*. Præterea αὐτὸς *ipse* infectum est. Scaligeri conjectura ἕως ἂν αὑτὸς ἥλιος, nauci non est: hoc est mendam menda commutare. ἕως semper est disyllabum; proinde versum intrare non potest. Tum quid sibi vult αὑτὸς ἥλιος, *idem sol?* Num sol mutatur? Legendum, ut jamdudum monuimus ad Euripidis Phœnissas 89. ἔς τ' ἂν οὗτος ἥλιος. In aprico stabant ante Philoctetæ antrum, et solem ostendens hoc dicit Neoptolemus, *hic sol, quem adspicis*. Sic in Ajace Teucer, v. 1389. cœlum ostendens ait: τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ—τοῦδε, δεικτικῶς, ut hic οὗτος ἥλιος. Plautus Bacchid. iv. 4. 48. *Si tu* ILLUM SOLEM *sibi solem esse dixeris*—ad quem locum ita Salmasius: ILLUM SOLEM, δεικτικῶς. *Hæc loquens manus ad solem histrio tollebat. Hoc* absolute optimis Latinis scriptoribus sæpe *cœlum* significat δεικτικῶς. Comicus in Curculione, i. 3. 26. *Nam hoc quidem edepol haud multo post luce lucebit*. et in Amph. i. 3. 45. *Luciscit hoc jam*. Mirifice confirmatur hæc emendatio Aristidis responso ad Mardonii legatos, quod sic refert Plutarchus: τοῖς δὲ παρὰ Μαρ-

ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς,
καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν,
νόσου μαλαχθῇς τῆσδε· καὶ τὰ Πέργαμα
ξὺν τοῖσδε τόξοις, ξύν τ' ἐμοὶ πέρσας φανῇς.
ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ', ἐγὼ φράσω.
ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλούς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς,
ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους
Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ' ἑκὼν
κτείνειν ἑαυτὸν, ἢν τάδε ψευσθῇ λέγων.
ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων.
καλὴ γὰρ ἡ 'πίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον, τοῦτο μὲν Παιωνίας

δονίου τὸν ἥλιον δείξας, Ἄχρις ἂν ΟΥΤΟΣ, ἔφη, ταύτην πορεύηται τὴν πορείαν, Ἀθηναῖοι πολεμήσουσι Πέρσαις. Herodotus vero haud minus apposite nostræ lectioni: νῦν δὲ ἀπάγγελλε Μαρδονίῳ ὡς Ἀθηναῖοι λέγουσι, ΕΣ Τ' ΑΝ ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν ἴῃ τῇπερ καὶ νῦν ἔρχεται, μήκοτε ὁμολογήσειν ἡμέας Πέρξῃ. ὡς ἂν pro ἕως ἂν nullus scriptor Atticus adhibuit. Unicum affertur exemplum e Thucydidis loco, qui male acceptus fuerat l. viii. cap. i. ad quem vide Dukeri notam p. 507. Auctor Doctrinæ particularum p. 1204. tradit simplex ὡς temporis durationem indicare posse et reddi per *dum*. Exempla e libris sacris, quibus sanctiores non doctiores fimus, non attingo: verum ubi Plato ait, ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν. Ibi ὡς valet non *quamdiu*, sed *quum*, quæ frequentissima est significatio. Magis idoneum exemplum subministrare poterat Anacreon, qui in Od. iv. canit: ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ, μύρισον. *Dum adhuc vivo, quando adhuc vivo.* et xv. ὡς οὖν ἔτ' εὔδι' ἐστί. Sed scriptor Ionicus Anacreon sermonis Attici norma non est.

1333. Ἀσκληπιδῶν. Sic Aldus et membr. in quibus tamen scriptum a prima manu fuisse videtur Ἀσκληπιαδῶν, ut est in aliis libris; sed litera prorsus erasa, quæ fuit inter ι et δ, ut discerni non possit, quænam ea fuerit. Toupius ad Suidam i. 130. a poëta scriptum fuisse contendit Ἀσκληπιῶν, tanquam si Æsculapii filios Ἀσκληπιοὺς, *medicos*, appellasset: quod ipse sibi habeat. Sane equidem Aldi lectionem præfero. Observo simili errore apud Pindarum Pyth. v. 37. scriptum fuisse in plurimis libris Βαττιαδᾶν, ubi, metro flagitante, debuit esse Βαττιδᾶν, quod nunc legitur: tametsi horum patronymicorum diversa ratio est. Nam a Βάττος regulare est Βαττίδης, ut ab Ἀσκληπιὸς, Ἀσκληπιάδης. Sed in his nominibus late patet licentia.

ἐς χεῖρας ἐλθεῖν· εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα, κλέος ὑπέρτατον λαβεῖν.
ΦΙ. ὦ στυγνὸς αἰὼν, τί μ' ἔτι δῆτ' ἔχεις ἄνω
βλέποντα, κοὐκ ἀφῆκας εἰς Ἅδου μολεῖν;
οἴ μοι· τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρῄνεσεν;
ἀλλ' εἰκάθω δῆτ'; εἶτα πῶς ὁ δύσμορος
εἰς φῶς, τάδ' ἔρξας, εἶμι; τῷ προσήγορος;
πῶς, ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι,
ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισὶν, οἵ μ' ἀπώλεσαν;
πῶς τῷ πανώλει παιδὶ τοῦ Λαερτίου;
οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει.
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι
δοκῶ προλεύσσειν. οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακά.
καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τάδε.
χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,
ἡμᾶς τ' ἀπείργειν, οἵ γέ σου καθύβρισαν,
πατρὸς γέρας συλῶντες. εἶτα τοῖσδε σὺ

1348. τί μ' ἔτι δῆτ'—Sic distingui debuisse voces nemo non animadvertere poterat, quod tamen primus monuit Toupius ad Suidam i. 141. In Aldina, ut in B. τί με τί δῆτ'—In aliis codd. τί με δῆτ' ἔχεις—claudicante versu.

1354. κύκλοι perperam scholiastes accipit, *annos* exponens, quod ineptum est. Alii cum Camerario non melius Philoctetam suos oculos alloqui censuerunt. Astrorum alloquitur orbes. Hunc locum optime convertit Georgius Ratallerus: O circuli cœlo micantes, qui mala, Quibus miser agitor, videtis omnia, Hæc quomodo vos sustinebitis? Perperam in membr. et in Aldina ἀμφ' ἐμοῦ.

1357. τοῦ Λαερτίου. Aldus et veteres codd. τῷ.

1362. θαυμάσας ἔχω τάδε. In Aldina et veteribus codd. τόδε, haud melius.

1364. οἵ γέ σου καθύβρισαν. Perperam in libris οἵ τέ σου.

1365. πατρὸς γέρας συλῶντες. εἶτα τοῖσδε σὺ—Quæ olim ab homine ineptissimo inferta fuerunt, sustuli. Non tanta incogitantia fuit Tragicus noster, ut in dramate omnium quotquot sunt perfectissimo, sibi ipsi tam stolide contradiceret, inutili mentione cujuspiam facti, quod toti fabulæ œconomiæ repugnat, eamque subverteret. Nihil omnino eorum, quæ ad Trojam gesta fuerant, Philoctetes ante illum diem

εἶ ξυμμαχήσων, κᾄμ' ἀναγκάζεις τάδε;
μὴ δῆτα, τέκνον· ἀλλ', ἅ μοι ξυνώμοσας,
πέμψον πρὸς οἴκους· καὐτὸς ἐν Σκύρῳ μένων
ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς.
χ' οὕτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν,
διπλῆν δὲ πατρός· κοὐ, κακοὺς ἐπωφελῶν,
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.
ΝΕ. λέγεις μὲν εἰκότ'· ἀλλ' ὅμως σε βούλομαι
θεοῖς τε πιστεύσαντα, τοῖς τ' ἐμοῖς λόγοις,
φίλου μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.
ΦΙ. ἦ πρὸς τὰ Τροίας πεδία καὶ τὸν 'Ατρέως
ἔχθιστον υἱὸν, τῷδε δυστήνῳ ποδί;
ΝΕ. πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἔμπυον βάσιν
παύσοντας ἄλγους, κᾀποσώσοντας νόσου.
ΦΙ. ὦ δεινὸν αἶνον αἰνέσας, τί φῂς ποτε;
ΝΕ. ἃ σοί τε κᾀμοὶ κάλ' ἐσορῶ τελούμενα.
ΦΙ. καὶ ταῦτα λέξας, οὐ καταισχύνῃ θεούς;
ΝΕ. πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελούμενος;

inaudiverat: litem Ulyssis cum Ajace de Achillis armis prorsus ignorabat: quin ipsi supra v. 412. dixerat Neoptolemus Ajacem ante Achillem fato functum fuisse. Præterea color ipse assuti centonis mangonem prodit. Sophoclem ignorat ejusque stylum, si quis eum ista scribere potuisse opinatur: Πατρὸς γέρας συλῶντες, οἳ τὸν ἄθλιον Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ 'Οδυσσέως ἔκριναν. εἶτα τοῖσδε σὺ—

1366. κᾄμ'—Aldus minus bene καί μ'—Hic autem habet τάδε, ut membr. Contra Triclinius τόδε.

1379. κᾀποσώσοντας. Libri omnes male κᾀποσώζοντας.

1381. ἃ σοί τε κᾀμοὶ κάλ' ἐσορῶ τελούμενα. Libri veteres κάλ' ὁρῶ claudicante versu. In Triclinii recensione pejus adhuc καλῶς ὁρῶ. Dictum fuit supra ad v. 1304. nominis καλὸς priorem Atticis poëtis semper corripi: estque hoc certissimum. Nec minus certum videri debet rectam emendandi viam nos iniisse, omissam a librario præpositionem compositi verbi reponendo. Scripserat Tragicus non ὁρῶ, sed ἐσορῶ. Centies ad minimum in his dramatibus occurrunt ἐσορᾷν, ἐσιδεῖν eadem potestate qua simplicia ὁρᾷν et ἰδεῖν, ut sæpe in glossis declaratur. Vide quæ notavimus ad Comici Concion. 70. Parisini Editoris conjecturam silentio prætereo, ne quis Menedemi dictum in me torqueat, περὶ ἐπισφάττεις.

1382. Aldus καταισχύνει, qua in scriptura vestigium deprehendi possit antiquæ forma Atticæ καταισχύνει pro καταισχύνῃ.

ΦΙ. λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τόδε;
NE. σοί που φίλος γ' ὤν, χὡ λόγος τοιόσδ' ἐμοῦ.
ΦΙ. πῶς, ὅς γε τοῖς * ἐχθροῖσί μ' ἐκδοῦναι θέλεις;
NE. ὦ 'τᾶν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.
ΦΙ. ὀλεῖς με, γιγνώσκω σε, τοῖσδε τοῖς λόγοις.
NE. οὔκουν ἔγωγε· φημὶ δ' οὔ σε μανθάνειν.
ΦΙ. ἔγωγ' Ἀτρείδας ἐκβαλόντας οἶδά με.
NE. ἀλλ' ἐκβαλόντες εἰ πάλιν σώσουσ', ὅρα.
ΦΙ. οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
NE. τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ' ἐν λόγοις
πείσειν δυνησόμεσθα μηδὲν, ὧν λέγω;
ὡς ῥᾷστ' ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν, ὥσπερ ἤδη ζῇς, ἄνευ σωτηρίας.
ΦΙ. ἔα με πάσχειν ταῦθ', ἅπερ παθεῖν με δεῖ·
ἃ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
πέμπειν πρὸς οἴκους, ταῦτ' ἐμοὶ πρᾶξον, τέκνον,
καὶ μὴ βράδυνε, μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας. ἅλις γάρ μοι τεθρήνηται γόοις.
NE. εἰ δοκεῖ, στείχωμεν.
ΦΙ. ὦ γενναῖον εἰρηκὼς ἔπος.
NE. ἀντέρειδέ νυν βάσιν σήν.
ΦΙ. εἰς ὅσον γ' ἐγὼ σθένω.

* ἐχθροῖσιν ἐκδοῦναι edd. 1. 2.

1384. τόδε. Sic recte in B. quod vel absque codice reponi debebat: nam pronomen hoc jungendum cum ὄφελος. Perperam in aliis libris τάδε.

1385. χὡ λόγος τοιόσδ' ἐμοῦ. Sic membr. et Aldus. In aliis libris ἐμοί.

1388. γιγνώσκω. Sic emendate in membr. scriptum, non ut vulgo, γινώσκω. Vide notam ad Com. Ranas 52. ὀλεῖς Attica futuri forma est pro ὀλέσεις

1393. Nisi δρῷμεν optativus esset, solœca esset oratio, quia in hac formula subjunctivus adhibetur sine ἄν, et optativus cum ἄν. Perinde solœca essent τί ἂν δρῶ, et τί δρῴην, quum rite dicatur τί δρῶ, et τί δρῴην ἄν. In Aldina excusum δρῶμεν, quia in veteribus libris ι, quod subscribere solemus, fere omittitur.

1401. γόοις meliorum librorum est lectio, cujus ex depravatione orta altera, Scholiastae memorata, λόγοις. Hanc habet Triclinii recensio, altera superscripta.

ΗΡ. μή νυν χρόνιοι μέλλετε πράσσειν.
καιρὸς καὶ πλοῦς
ὅδ' ἐπείγει γὰρ κατὰ πρύμναν.

ΦΙ. φέρε νυν στείχων, χώραν καλέσω.
χαῖρ', ὦ μέλαθρον ξύμφρουρον ἐμοὶ,
Νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου προβλῆς,
οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθην
κρᾶτ' ἐνδόμυχον πληγῆσι νότου,
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἑρμαιον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.
νῦν δ', ὦ κρῆναι, Λύκιόν τε ποτὸν,
λείπομεν ὑμᾶς, λείπομεν ἤδη,
δόξης οὔ ποτε τῆσδ' ἐπιβάντες.
χαῖρ', ὦ Λήμνου πέδον ἀμφίαλον,
κἀμ' εὐπλοίᾳ πέμψον ἀμέμπτως,
ἔνθ' ἡ μεγάλη μοῖρα κομίζει,
γνώμη τε φίλων, χὠ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.

ΧΟ. χωρῶμέν νυν πάντες ἀολλεῖς,
Νύμφαις ἁλίαισιν ἐπευξάμενοι,
νόστου σωτῆρας ἱκέσθαι.

1449. πράσσειν. Perperam codices et impressi πράττειν. Quin mendose etiam in Aldina μέλλετε.

1456. ἐτέγχθην. Libri omnes ἐτέγχθη, quod per me retineat, si cui placet magis. Quippe nihil obstat quin κρᾶτα, quod neutrius generis esse vidimus ad v. 1001. hic sit nominativus verbi: verum et sonus gratior est, et elegantior structura, si legatur ἐτέγχθην, quemadmodum in Aj. 1208. ἀεὶ πυκιναῖς δρόσοις τεγγόμενος κόμας.

1469. In membr. et in Aldina, χωρῶμεν ἤδη πάντες ἀολλεῖς. In B. χωρῶμεν ἤδη. Ortum hoc ex glossa, et refertur ad νῦν vel ad δή. In Triclinii recensione scriptum χωρῶμέν νυν. gl. δή. Isti duo pro ἀολλεῖς perperam habent ἀολλέες.

1471. σωτῆρας masculinum ad Nymphas refertur. Sic apud Æschylum S. Th. 321. [illegible] σωτῆρες. Apud Nostrum Œd. T. 80. τύχῃ σωτῆρι. In Antig. 1074. λωβητῆρες Ἐρινύες. Vide supra ad v. 223.

Ad primum Dramatis versum meminit Scholiastes noster Euripidis

Philoctetæ, cujus pauca quædam fragmenta exstant in Musgravii editione legenda. Œconomia diversa a Sophoclea, non ita simplici ac deducto filo; sed plurium personarum conventu intricatior actio fuit, multoque minus πάθους habuisse videtur. Vide Valckenarii Diatr. Eurip. cap. xi. et Dionis Chrysost. orationes lii. et lix. Ex Æschyli Philocteta tres versus servavit Stobæus Floril. Grotii p. 493. ad Regii codicis fidem sic legendos: Ὦ Θάνατε παιὰν, μή μ' ἀτιμάσῃς μολεῖν. Μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν Ἰατρός. ἄλγος δ' οὐδὲν ἅπτεται νεκρῶν. Ne, ne tuum, oro, Mors, repellas supplicem. Tu sola desperata medicaris mala: A te receptos nullos attingit dolor. Ista omnia in rem suam convertit noster Tragicus. Vide hujus dramatis v. 1348. Philoctetis ad Trojam fragm. i. et Œd. Col. 955.

---

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΗΛΕΚΤΡΑ.

## ΤΑ ΤΟΥ

# ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΑΙΔΑΓΩΓΟΣ.

ΟΡΕΣΤΗΣ.

ΗΛΕΚΤΡΑ.

ΧΟΡΟΣ.

ΧΡΥΣΟΘΕΜΙΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΑΙΓΙΣΘΟΣ.

## ΥΠΟΘΕΣΙΣ ΗΛΕΚΤΡΑΣ.

---

ΥΠΟΚΕΙΤΑΙ ὧδε τροφεὺς, δεικνὺς Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ ὄντα αὐτὸν κλέψασα Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, δείσασα μὴ καὶ αὐτὸν κτείνωσιν. ὁ δὲ ὑπεξέθετο αὐτὸν εἰς Φωκίδα πρὸς τὸν Στρόφιον· νῦν δὲ μετὰ εἴκοσιν ἔτη ἐπανιὼν σὺν αὐτῷ πρὸς τὸ Ἄργος, δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ Χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΗΛΕΚΤΡΑ.

---

### ΠΑΙΔΑΓΩΓΟΣ.

ΩΤΟΥ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
τόδε γὰρ παλαιὸν Ἄργος, οὑπόθεις· τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·
αὕτη δ', Ὀρέστα, τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ Λύκειος· οὑξ ἀριστερᾶς δ' ὅδε,
Ἥρας ὁ κλεινὸς ναός· οἷ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε,

2. ἔξεστί σοι παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί. Æschylus Choëph. 213. Εἰς ὄψιν ἥκεις, ὧνπερ ἐξηύχου πάλαι.

4. τόδε γὰρ παλαιὸν Ἄργος, οὑπόθεις· Sic scriptum in E. vere, ni fallor. τόδε (δεικτικῶς) γὰρ παλαιὸν Ἄργος ἐστὶν, ὃ ἐπόθεις. Vulgo legitur τὸ γὰρ—et aliter distinguitur. In fine versus τόδε ad sequens pertinet ἄλσος. Accipi autem hic potest Ἄργος, pro regionis nomine: at probabilius est urbem indigetari, quam unam Tragici modo Argos, modo Mycenas promiscuo nomine appellare solent. Strabo p. 377. διὰ δὲ τὴν ἐγγύτητα τὰς δύο πόλεις ὡς μίαν οἱ τραγικοὶ συνωνύμως προσαγορεύουσιν. Εὐριπίδης δὲ καὶ ἐν τῷ αὐτῷ δράματι, ποτὲ μὲν Μυκήνας καλῶν, ποτὲ δ' Ἄργος τὴν αὐτὴν πόλιν, καθάπερ ἐν Ἰφιγενείᾳ καὶ Ὀρέστῃ. Infra, v. 1459. Μυκηναῖοι et Ἀργεῖοι ejusdem urbis sunt incolæ.

9. Hunc locum imitatus est Heniochus Comicus apud Stobæum Floril. Grotii p. 169. Τὸ χωρίον μὲν γὰρ τόδ' ἐστὶ πᾶν κύκλῳ Ὀλυμπία· τηνδὶ δὲ τὴν σκηνὴν ἐκεῖ, Σκηνὴν ὁρᾶν θεωρικὴν νόμιζέ σε.

ὅθεν σε πατρὸς ἐκ φόνων ἐγώ ποτε,
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν,
ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
νῦν οὖν, Ὀρέστα, καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾷν ἐν τάχει βουλευτέον·
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ,
μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυναπτέον λόγοισιν· ὡς ἐνταῦθ' ἐμὲν,

12. Eustathius ad Il. γ'. 238. αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ. ista observat p. 410. Ὅρα, ὅτι Ὁμήρου τοὺς κασιγνήτους ἑρμηνεύσαντος, Σοφοκλῆς τὴν ὅμαιμον διασαφεῖ ἐν τῷ, Πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης. ποιεῖ δὲ τοῦτο ἐκεῖνος, διὰ τὸ μὴ πάντα ὅμαιμον ἤδη καὶ κασίγνητον εἶναι. ὅμαιμοι γὰρ πολλαχοῦ, καὶ οἱ ἁπλῶς καθ' αἷμα, καὶ προσγενεῖς, ὡς δηλοῖ καὶ Λυκόφρων, ὁ καὶ αὐθομαίμους τοὺς τοῦ αὐτοῦ γένους εἰπών.

19. Schema hujus versus infra ad v. 758. ἀντίπτωσις, appellatur a Scholiasta. Vide ad Œd. T. 833.

21. ξυναπτέον λόγοισιν. Sic scriptum in E. recte, ut legendum esse acute vidit Toupius ad Suidam i. 87. *Conferenda nobis sunt consilia:* non, *conferte consilia.* Quippe muta est Pyladis persona, quem jure speraremus mox locuturum, si dixisset senex ξυνάπτετον λόγοισιν, ut vulgo legitur. —ὡς ἐνταῦθ' ἐμὲν—Sic Aldus et membr. cum vetustissimis optimisque codd. Superscripta in quibusdam glossa ἐσμὲν, quæ in aliis codd. librariorum stupore textum invasit. Primitivam formam ἐμὲν tuetur Grammaticus antiquus cujus observationem in minoribus scholiis edidi: ἀναλογώτερον δὲ τὸ ΕΜΕΝ. ἀπὸ τούτου γὰρ γίνεται τὸ ΕΣΜΕΝ πλεονασμῷ τοῦ σ. Tuetur etiam Eustathius, cujus quædam huc pertinentia excerpam ex commentario in Odyss. γ'. p. 1457. τοῦ δὲ ἐστὶ προτόνου κίνησις ἐκ τοῦ εἰμί, ἐμέν, ἐστέ· καὶ ἄλλως μὲν προσθέσει τοῦ ι, εἰμέν, εἰσί· Δωρικῶς μέν τοι ἐσμέν, ἐστί. ἡμάρτηται δὲ καθ' Ἡρακλείδην τὸ ἐστί. ὡς γὰρ οὐ λέγομεν δείκνυσι ὁ φησί, οὕτως οὐδὲ ἐστί, ἐστέ—εἶτα ἐπιφέρει καὶ χρῆσιν τοῦ ἐμέν, ὅθεν γίνεται τὸ ἐσμέν, λέγει ὅτι Ὅμηρος μὲν σὺν τῷ ι ἔφη, ἀκήμονες εἰμέν· τὸ δὲ ἀνάλογον παρὰ Καλλιμάχῳ ἐν τῷ Γρηὸς ἐμέν· ἤγουν γραῖαι ἐσμέν· Ista, ut opinor, nunquam legerat Rich. Dawesius, qui Miscell. Crit. p. 281. ἐμὲν pro ἐσμὲν ne Ionibus quidem, nedum Atheniensibus, rite adhiberi potuisse negat. Ea tamen Callimachum hac forma in carmine usum, non alia dialecto, quam Ionica scripto. Verum primitivam ἐμὲν in quacunque dialecto, et quibuscunque poëtis permissum fuisse constat. Quod autem idem Dawesius reponendum censebat, ὡς ἐνταῦθ' ἴμεν, merito Toupius ineptum esse affirmat. Sed fallitur ipse, quum ἐσμὲν legendum esse, et hujus vocis priorem corripi posse, statuit; quod fal-

ἵν᾽ οὐκ ἔτ᾽ ὀκνεῖν καιρὸς, ἀλλ᾽ ἔργων ἀκμή.

## ΟΡΕΣΤΗΣ.

ὦ φίλτατ᾽ ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
ὥσπερ γὰρ ἵππος εὐγενὴς, κἂν ᾖ γέρων,
ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
ἀλλ᾽ ὀρθὸν οὖς ἵστησιν· ὡσαύτως δὲ σὺ
ἡμᾶς τ᾽ ὀτρύνεις, καὐτὸς ἐν πρώτοις ἕπῃ.
τοιγὰρ τὰ μὲν δόξαντα δηλώσω· σὺ δὲ
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδοὺς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
ἐγὼ γὰρ ἡνίχ᾽ ἱκόμην τὸ Πυθικὸν
μαντεῖον, ὡς μάθοιμ᾽ ὅτῳ τρόπῳ πατρὸς
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῇ μοι τοιαῦθ᾽ ὁ Φοῖβος, ὧν πεύσει τάχα·
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ,
δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.
ὅτ᾽ οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολὼν, ὅταν σε καιρὸς εἰσάγῃ,
δόμων ἔσω τῶνδ᾽, ἴσθι πᾶν τὸ δρώμενον,
ὅπως ἂν εἰδὼς ἡμὶν ἀγγείλῃς σαφῆ.

sissimum est. Si quis Tragicorum et Comicorum quæ supersunt omnia legat et perlegat, non unicum exemplum incorruptæ fidei excitabit correptæ vocalis brevis ante consonantes σμ, στ, nec uspiam reperiet ἱσμὲν prima brevi. Longa est nuperi Parisini editoris hanc in rem disputatio, odii plena, in qua quot verba, tot fere errores. Argumenta sumit ex poëtarum depravatis versibus, quos dudum emendarunt peritiores critici. Aristophanis quos profert versus, ipsum eos dimetiri nesciisse, aut perperam legisse, demonstravi in nota ad Thesmoph. 56. Philippidis, seu potius Philippi, senarium emendate scriptum dedimus in Gnomicis Græcis p. 200.

24. γεγώς. Participium pro infinitivo. Vide ad Aj. 472.

34. ἀροίμην futurum est optativi, cujus prima corripitur: in aoristo ἀραίμην producitur. De constructione futuri optativi vide Rich. Dawesium laudatum ad Œd. T. 792.

36. ἄσκευον ἀσπίδων. Vide ad Œd. T. 191.

οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεύς, παρ' ἀνδρὸς Φανοτέως ἥκων· ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκῳ προστιθείς, ὁθ' οὕνεκα
τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς· ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν,
τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας

43. ὧδ' ἠνθισμένον. Sic codd. omnes, etiam ii qui ad Triclin. recensionem accedunt. In uno C. [illegible] Al[illegible] [illegible] 749.

[illegible] Ruhnkenius ad [illegible]

[illegible] probabilis est. Aliunde constat Tragicos [illegible] [illegible] ad Fabricio dicit in Euripidis Medea, [illegible]

47. ἄγγελλε δὲ [illegible] [illegible] Vide ad 4. [illegible]

52. [illegible] Sic [illegible] Schol. [illegible] In aliis [illegible]

57. [illegible]

φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνήσκοντας· εἶθ', ὅταν δόμους
ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον.
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ', ἐχθροῖς, ἄστρον ὣς, λάμψειν ἔτι.
ἀλλ', ὦ πατρῴα γῆ, θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς, πρὸς θεῶν ὡρμημένος·
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μέν νυν ταῦτα· σοὶ δ' ἤδη, γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.
νὼ δ' ἔξιμεν. καιρὸς γὰρ, ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντὸς ἔστ' ἐπιστάτης.

tur φέροιμεν. Particulæ ὡς, ὅπως, ἵνα, *ut* significantes, cum optativo non construuntur, nisi præcedat verbum temporis præteriti. Vide Dawesii Miscell. Crit. p. 82.

61. ῥῆμα κακὸν, *male ominatum dictum* recte interpretatur Desid. Heraldus ad Arnobium p. 151. editionis Parisinæ. Helenæ roganti apud Euripidem in cognomine dramate 1059. Βούλει λέγεσθαι, μὴ θανὼν, λόγῳ θανών; respondet Menelaus: Κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ λέγων, Ἕτοιμός εἰμι, μὴ θανὼν λόγῳ θανεῖν. Nostri κακὸν ῥῆμα, idem est ac illius κακὸς ὄρνις. Proinde culpanda non est hæc sententia, ut illa quam e Tragico nostro profert Plutarchus: Τὸ κέρδος ἡδὺ, κἂν ἀπὸ ψευδῶν ἴῃ. et ista Diphili apud Stobæum: Καιρῷ τιθέμενον ψεῦδος ὡς καρπὸν φέρει. Confer Nostrum in Æthiopibus i.

66. δεδορκότα, βλέποντα, id est ζῶντα. Perperam Eustathius p. 1259. extrema, participium hoc passivo sensu accipit: Σοφοκλῆς δὲ ἐν τῷ, ἐχθροῖς δεδορκότα λάμψειν ὡς ἄστρον, ἐπὶ τοῦ ὁραθῆναι παθητικῶς τὴν λέξιν τίθησιν· ὡς τοῦ μέσου παρακειμένου ἐν πολλοῖς ἐπαμφοτερίζοντος.

73. γέρον. Sic membr. et plerique alii codd. In Aldina γέρων.

75. Pindarus Pyth. ix. 135. ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν.

οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεύς, παρ' ἀνδρὸς Φανοτέως ἥκων· ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκῳ προστιθείς, ὅθ' οὕνεκα
τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς· ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν,
τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες, ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας

43. *οὐδ' ὑποπτεύσουσιν.* Sic codd. omnes, etiam is qui ad Triclinii recensionem scriptus est. In unico C. diphthongo *ου* superscriptum *ω*, pro variæ lectionis indicio : sed glossa ad probam directa, *ὑπονοήσουσιν*. In Aldina perperam excusum *ὑποπτεύουσιν*, quæ menda in Juntina sublata fuit, reposito *ὑποπτεύσουσιν*. Primus Turnebus invexit *ὑποπτεύσωσιν*, genuinum id esse opinatus scilicet, quia præcedit verbum subjunctivi modi *γνῶσι*. Verum purum putum solœcismum esse ostendimus in nota ad Comici Lysistr. 704.

46. *δορυξένων.* Eustathius ad Homerum p. 405. Περὶ δὲ δορυξένου Παυσανίας φησὶν, ὅτι δορύξενος, ὁ ἐκ πολεμίων φίλος, καὶ ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖεν τινες. Σοφοκλῆς δὲ ἐν τῷ, Ὁ γὰρ, ἄγων οὗτος, μέγιστος αὐτοῖς τυγχάνει δορυξένων, ἢ παραχρῆται τῇ λέξει ποιητικώτερον· ἢ δριμέως δορυξένους λέγει τοὺς τοῖς φονεῦσι τοῦ Ἀγαμέμνονος φιλωθέντας, ἵνα πολεμικῶς ἐχθραίνωσι τοῖς ἐκείνου παισίν· ὡς εἶναι οὕτω δορύξενον εἰπεῖν, καὶ τὸν χάριν δουρὸς, ἤτοι πολέμου, συμμαχικῶς ξενωθέντα ἀπό τινων. Posterior ratio haud valde probabilis est. Aliunde constat Tragicos nomine *δορύξενος hospitem* simpliciter significare. Sic Ægeus ad Pittheo dicit in Euripidis Medea, 688. Κἀμοί γε πάντων φίλτατος δορυξένων.

47. *ἄγγελλε δὲ προστιθεὶς, ἀγγελίαν δηλαδὴ, ὅρκῳ. λέγεται δὲ ἀντιστρόφως ἀντὶ τοῦ, προστιθεὶς ὅρκον τῇ ἀγγελίᾳ.— ἐξ ἀναγκαίας τύχης. βιαίας. πάντα γὰρ τὰ ἐξ ἀνάγκης, βίαια. θάνατος, ἢ δουλεία, ἡ μετ' αἰχμαλωσίας.* Vide ad Aj. 485.

52. *λοιβαῖσι πρῶτον.* Sic Aldus et Scholiastes cum duobus codd. In aliis *λοιβαῖς τε πρῶτον.*

57. *φέρωμεν.* Sic ex indole linguæ invitis librariis legendum. *ἥξομεν πάλιν ὅπως φέρωμεν αὐτοῖς ἡδεῖαν φάτιν.* Solœcum est quod vulgo legi-

φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνήσκοντας· εἶθ', ὅταν δόμους
ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον.
ὣς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ', ἐχθροῖς, ἄστρον ὥς, λάμψειν ἔτι.
ἀλλ', ὦ πατρῴα γῆ, θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτής, πρὸς θεῶν ὡρμημένος·
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μέν νυν ταῦτα· σοὶ δ' ἤδη, γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.
νὼ δ' ἔξιμεν. καιρὸς γάρ, ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντὸς ἔστ' ἐπιστάτης.

tur φέρειμεν. Particulæ ὡς, ὅπως, ἵνα, *ut* significantes, cum optativo non construuntur, nisi præcedat verbum temporis præteriti. Vide Dawesii Miscell. Crit. p. 82.

61. *ῥῆμα κακὸν, male ominatum dictum* recte interpretatur Desid. Heraldus ad Arnobium p. 151. editionis Parisinæ. Helenæ roganti apud Euripidem in cognomine dramate 1059. Βούλει λέγεσθαι, μὴ θανὼν, λόγῳ θανών; respondet Menelaus: Κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ λέγων, Ἕτοιμός εἰμι, μὴ θανὼν λόγῳ θανεῖν. Nostri κακὸν ῥῆμα, idem est ac illius κακὸς ὄρνις. Proinde culpanda non est hæc sententia, ut illa quam e Tragico nostro profert Plutarchus: Τὸ κέρδος ἡδὺ, κἂν ἀπὸ ψευδῶν ἴῃ. et ista Diphili apud Stobæum: Καιρῷ τιθέμενον ψεῦδος ὡς καρπὸν φέρει. Confer Nostrum in Æthiopibus i.

66. δεδορκότα, βλέποντα, id est ζῶντα. Perperam Eustathius p. 1259. extrema, participium hoc passivo sensu accipit: Σοφοκλῆς δὲ ἐν τῷ, ἐχθροῖς δεδορκότα λάμψειν ὡς ἄστρον, ἐπὶ τοῦ ὁραθῆναι παθητικῶς τὴν λέξιν τίθησιν· ὡς τοῦ μέσου παρακειμένου ἐν πολλοῖς ἐπαμφοτερίζοντος.

73. γέρον. Sic membr. et plerique alii codd. In Aldina γέρων.

75. Pindarus Pyth. ix. 135. ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν.

## ΗΛΕΚΤΡΑ.

ἰώ μοι μοι δύστηνος.

ΠΑΙ. καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.

ΟΡ. ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ, κἀνακούσωμεν γόων;

ΠΑΙ. ἥκιστα. μηδὲν πρόσθεν, ἢ τὰ Λοξίου,
πειρώμεθ' ἔρδειν, κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά· ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

ΗΛ. Ὦ φάος ἁγνὸν, καὶ γῆς
ἰσόμοιρος ἀὴρ, ὥς μοι
πολλὰς μὲν θρήνων ᾠδὰς,
πολλὰς δ' ἀντήρεις ᾔσθου
στέρνων πλαγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ παννυχίδων, ἤδη στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
φοίνιος Ἄρης οὐκ ἐξένισεν,
μήτηρ δ' ἡ 'μὴ χὡ κοινολεχὴς

83. πειρώμεθ' ἔρδειν. Perperam in impressis ἕρδειν cum spiritu aspero.

89. ἀντήρεις πλαγὰς στέρνων, *percussiones oppositas pectoris*, seu *oppositi pectoris planctus*. Quippe ut ictu lædatur pectus, oppositum illi esse debet, quo ictus infligitur. Bene monet Heathius ἀντήρης non derivari ab ἐρείσσω, sed unice ab ἀντί. Terminatio illa ηρης permultorum vocabulorum nihil aliud est quam paragoge. At pleraque omnia Grammatici composita esse somniarunt a substantivo et verbo, seu ἐρείσσω, seu ἄρω. Recti devius ad hunc locum Scholiastes, doctius ad Antig. 1136. κισσήρεις interpretatur κισσοφόροι. Adjectivum est a κισσὸς deductum, non compositum a κισσὸς et ἄρω. Idem statuendum de ποδήρης, τυμβήρης, et aliis hujus formæ, quorum plurima recenset Valckenarius ad Phœnissas 90. Ad sensum bene ἀντήρεις exponitur in glossa ἀντιτύπους.

96. οὐκ ἐξένισεν. Sic Scholiastes bene. Aldus et plerique codd. ἐξείνισε: in meo ἐξένισε.

Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
σχίζουσι κάρα φονίῳ πελέκει.
κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
ἢ 'μοῦ φέρεται, σοῦ, πάτερ, οὕτως
ἀϊκῶς οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων,
στυγερῶν τε γόων, ἔς τ' ἂν
λεύσσω παμφεγγεῖς ἄστρων
ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ,
μὴ οὐ, τεκνολέτειρ' ὥς τις ἀηδὼν,
ἐπὶ κωκυτῷ, τῶνδε πατρῴων
πρὸ θυρῶν, ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' Ἀρά,
σεμναί τε θεῶν
παῖδες Ἐριννύες, αἳ τοὺς
ἀδίκως θνήσκοντας ὁρᾶτε,
τοὺς τὰς εὐνὰς ὑποκλεπτομένους,
ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
φόνον ἡμετέρου,

102. ἀϊκῶς auctore Scholiasta reposui, apud quem perperam scriptum ἀεικῶς, de quo videbimus infra ad v. 216. In Tragici exemplaribus deterior lectio obtinet, ἀδίκως. Ad ἀεικῶς pertinet glossa in D. ἀνάπαυστος.

104. ἔς τ' ἄν. gl. ἕως ἄν. Mirari subit nemini librario hîc libuisse scribere ὡς ἄν. Vide ad Aj. 1117. et Philoct. 1330.

107. μὴ οὐ semper est monosyllabum. Inepte Triclinius harum vocularum priorem præcedenti versui contribuit, ut fieret dimeter acatalectus.

113. αἳ τοὺς—Sic Aldus et codd. omnes veteres. Triclinii stupor articulum αἳ ejecit, sine quo nec metrum, nec sententia constat. Heathius et Parisinus editor notarum suarum ad hunc locum operam compendi facere debebant. Non animadverterunt systema hoc anapæsticum minus regulare esse, quippe in quo præter solita metra, basin, parœmiacum, et dimetrum acatalect. sint etiam dimetri brachycatal. plurimi, quales duo primi, decimus nonus, et hicce. Ut autem hos versus digessit Triclinius, ne versus quidem sunt: Σεμναί τε θεῶν παῖδες Ἐριννύες, Τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε. claudicat uterque in ultimo pede, et posteriorem dehonestat cæsura. In priore scribere saltem debebat Græculus Ἐρινύες, unico ν; nam si geminetur litera, secunda syllaba corripi nequit.

κἀμοὶ τὸν ἐμὸν πέμψατ' ἀδελφόν.
μούνη γὰρ ἄγειν οὐκ ἔτι σωκῶ
λύπης ἀντίῤῥοπον ἄχθος.

## ΧΟΡΟΣ.

Ὦ παῖ, παῖ δυστανοτάτας — στροφὴ α'.
Ἠλέκτρα ματρὸς, τίν' ἀεὶ
τάκεις ὧδ' * ἀκόρεστ' οἰμωγὰν,
τὸν πάλαι ἐκ δολερᾶς ἀθεωτάτας
ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα,
κακᾷ τε χειρὶ πρόδοτον; ὡς
ὁ τάδε πορὼν
ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾷν.
ΗΛ. γενέθλα γενναίων τοκέων,
ἥκετ' ἐμῶν καμάτων παραμύθιον.

* ἀκόρεστον edd. 1. 2.

118. κἀμοί. Minus bene vulgo καί μοι.

121. δυστανοτάτας. Schol. ἐξωλεστάτης recte. Vide Musgravium ad Euripidis Herc. Fur. 1349.

123. ὧδ' ἀκόρεστ'—Neutrum plurale ἀκορέστα vice adverbii, ut infra, 164. ἀκάματα. Œd. C. 1560. ἐπίπονα. Aj. 197. ἀτάρβητα, aliaque permulta quæ passim occurrunt. Elegantior lectio, quam ut librario vel Græculo cuipiam accepta referri debeat, e sincero antiquitatis fonte in unicum codicem derivata fuit. In quatuor aliis ἀκόρεστον reperi, quod ut præ altero sordet, Aldinæ tamen lectioni ἀκόρεστον utique præferendum erat. (u)

124. τὸν Ἀγαμέμνονα. Pendet accusativus a nomine οἰμωγὰν, casum verbi cognati regente. Vide ad Antig. 787. et Abreschium ad Æschylum p. 57.

129. In Aldina legitur ὦ γένεθλα γενναίων πατέρων. Vocandi adverbium ὦ, quod libri omnes agnoscunt, hic, ut infinitis aliis in locis, e glossa irrepsisse videtur. In aliis veteribus libris scriptum γένεθλα, in aliis γενέθλα, ut infra, 226. In E. γένεθλα. In T. sic versus legitur: ὦ γένεθλα γενναίων τοκέων. Voci γενναίων superscripta glossa διὰ τὸ μέτρον. Inepte. Est tamen hæc ipsissima lectio quam commendat Heathius, versumque dactylicam hephthemimerin esse ait, quod ei concedendum non est, nisi ostendat anapæstum in dactylico versu recipi. τοκέων meus exhibet in textu, et E. pro varia lectione, quam, ut magis poëticam, amplector; versumque sic lego: Γενέθλα γενναίων τοκέων. cum antistrophico congruit: Νήπιος ὅστις τῶν οἰκτρῶς. uterque dimeter est anapæsticus catalecticus, non qualis esse debet parœmiacus in regulari systemate, qui ante catalecticam syllabam anapæstum semper habet, sed quales multi reperiuntur in choricis canticis, quorum syllaba catalectica vel spondeo vel dactylo subjicitur.

οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τι με
φυγγάνει, οὐδ' ἐθέλω προλιπεῖν τόδε,
μὴ οὐ τὸν ἐμὸν στοναχεῖν πατέρ' ἄθλιον.
ἀλλ', ὦ παντοίας φιλότητος ἀμειβόμεναι χάριν,
ἐᾶτέ μ' ὧδ' ἀλύειν,
αἶ αἶ, ἱκνοῦμαι.

ΧΟ. ἀλλ' οὔ τοι τόν γ' ἐξ Ἀΐδα — ἀντιστρ. α'.
παγκοίνου λίμνας πατέρ' ἀν-
στάσεις, οὔτε γόοις, οὔτε λιταῖς.
ἀλλ' ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον
ἄλγος, ἀεὶ στενάχουσα διόλλυσαι.
ἐν οἷς ἀνάλυσίς ἐστιν οὐ-
δεμία κακῶν,
τί μοι τῶν δυσφόρων ἐφίῃ;

ΗΛ. νήπιος, ὅστις τῶν οἰκτρῶς
οἰχομένων γονέων ἐπιλάθεται.
ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε φρένας,
ἃ Ἴτυν, αἰὲν Ἴτυν γ' ὀλοφύρεται,
ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος.
ἰὼ παντλάμων Νιόβα, σέ, σ' ἔγωγε νέμω θεόν,

131. ξυνίημι. Unicum hoc esse credo apud Sophoclem exemplum correptæ ι in verbo ἵημι, aut quoquàm ejus composito. Sed idcirco suspecta non esse debet lectio, tum ob majorem in melicis licentiam, tum quia id alii Tragici sibi indulserunt etiam in senariis. Vide Æschylum S. Th. 495. Euripidem Iphig. T. 299. Hel. 1256. Sane proclive hic erat scribere: Οἶδα τε καὶ ξυνίημι τάδ'—

137. οὔ τοι τὸν πατέρ' ἀνστάσεις. Euripid. Alcest. 1007. Τόλμα δ'· οὐ γὰρ ἀνά- ξεις ποτ' ἔνερθεν Κλαίων τοὺς φθιμένους ἄνω. Ex Homero sumpsit uterque, apud quem Achilles Priamo dicit Il. ω'. 550. Οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος, Οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα. Tædiosus essem, si Triclinii ineptias omnes memorare et refellere vellem. Codd. omnes veteres in secundo post hunc versu habent, ut Aldus, οὔτε γόοις οὔτε λιταῖς.

147. ἄραρε est aoristus secundus: nam in præterito medio secunda semper producitur.

148. Ἴτυν γ' ὀλοφύρεται. Omissa est in veteribus codd. particula, quam Triclinius recte ob metrum inseruit. ἀτυζομένα. gl. ταρασσομένη.

150. σέ, σ' ἔγωγε νέμω θεόν. Sic optime in membr. scriptum. Perperam vulgo σὲ δ' ἔγωγε—

ἅς φίλος οὔ τις ἀνὴρ ὑπερίσταται.
ἀλλ', ἁπερεί τις ἔποικος ἀναξία,
οἰκονομῶ θαλάμους πατρὸς, ὧδε μὲν
ἀεικεῖ σὺν στολᾷ,
κεναῖς δ' ἐφίσταμαι τραπέζαις.

ΧΟ. οἰκτρὰ μὲν νόστοις αὐδὰ, στροφὴ γ'.
οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις,
ὅτε σοι παγχάλκων ἀνταία
γενύων ὡρμάθη πλαγά.
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφὰν, εἴτ' οὖν θεὸς, εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.

ΗΛ. ὦ πασᾶν κείνα πλέον ἁμέρα
ἐλθοῦσ' ἐχθίστα δή μοι·
ὦ νὺξ, ὦ δείπνων ἀῤῥήτων
ἔκπαγλ' ἄχθη·
τοὺς ἐμὸς ἴδε πατὴρ
θανάτους αἰκεῖς διδύμαιν χεροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον
πρόδοτον, αἵ μ' ἀπώλεσαν·
οἷς θεὸς ὁ μέγας Ὀλύμπιος
ποίνιμα πάθεα παθεῖν πόροι·
μηδέ ποτ' ἀγλαΐας ἀποναίατο,
τοιάδ' ἀνύσαντες ἔργα.

196. *γενύων*. Græcis *γένυς* dicitur cujusvis instrumenti ferrei acies. Hic et infra 485. ut Philoct. 1205. pro *securi* accipitur. Eadem tralatione *γνάθος* cuneo tribuitur ab Æschylo in Prom. 64. *σφηνὸς αὐθάδη γνάθον*. Quin etiam igni rerum omnium edaci, in Choëph, 321. *φρόνημα τοῦ θανόντος οὐ δαμάζει πυρὸς ἡ μαλερὰ γνάθος*.

205. *τοὺς ἐμὸς ἴδε πατήρ*. Sic legendum, ut versus antistrophico congruat, *ὄφρα με βίος ἔχῃ*. Perperam vulgo *εἶδε*, quod ex glossa in textum migravit.

206. *αἰκεῖς*. Sic scribi debuit ex metri lege. Perperam vulgo *ἀεικεῖς*. Tum *χεροῖν*, non *χειροῖν* legendum. Versus est anapæsticus.

210. *ποίνιμα*. gl. *ἀντίποινα ἔχοντα*.

ΧΟ. φράζου, μὴ πόρσω φωνεῖν. ἀντιστρ. γ'.
οὐ γνώμαν ἴσχεις, ἐξ οἵων
τὰ παρόντ' οἰκείας εἰς ἄτας
ἐμπίπτεις οὕτως ἀϊκῶς;
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ
ψυχᾷ πολέμους. τὰ δὲ, τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.
ΗΛ. δεινοῖς ἠναγκάσθην, δεινοῖς·
ἔξοιδ', οὐ λάθει μ' ὀργά.
ἀλλ', ἐν γὰρ δεινοῖς, οὐ σχήσω
ταύτας ἄτας,
ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ' ἂν, ὦ φιλία γενέθλα,

216. ἀϊκῶς. Perperam in libris ἀεικῶς, ut paulo ante ἀεικεῖς. Hesychius: ἀϊκῶς, αἰκιστικῶς, ὑβριστικῶς, χαλεπῶς. ἀπὸ τῆς αἰκίας.

220. οὐκ ἐριστὰ, id est οὐκ ἀξίαν ἔριν ἔχοντα. Sensus est igitur: ταῦτα δὲ οὐκ ἀξίαν ἔριν ἔχουσι, ὥστε τοῖς δυνατοῖς πλάθειν. οὐκ ἄξιόν ἐστι περὶ τούτων τοῖς δυνατοῖς ἐρίζοντα πελάζειν, seu ἐρίζειν. Ovum ovo similius non est, quam hic versus antithetico. Est uterque dimeter trochaicus brachycatal. Perinde falsi sunt Heathius et Parisinus editor: ille πελάθειν legendum censet: hic versus antispasticos esse ait. Nimirum credidit Heathius primam in πλάθειν corripi, quod et auctore Barnesio affirmat in nota ad Euripidis Rhesum 14. verum fallitur. In illo Rhesi versu, ut et in 347. 914. 923. prima producitur. Sic etiam in Antipatri Sid. Epig. xxix. Ἀπτολίμων τάδ' ἔοικεν ἐν οἰνοπλῆξι τιρέμενοις Πλάθειν, οὐ θρυγκῶν ἐντὸς Ἐνυαλίου.

221. In Aldina et in veteribus codd. legitur: ἐν δεινοῖς ἠναγκάσθην, ἐν δεινοῖς. Geminata præpositio a mala manu est: ea sublata concinnus fit versus tetrameter dactylicus, antithetico suo par. Inepta est Triclinii interpolatio, ἐν δεινοῖς ἠναγκάσθην δή.

225. ὄφρα με βίος ἔχῃ. Sic libri omnes veteres. Sane proclivius erat in strophico versu 205. ἴδε pro εἶδε reponere, quam lectionem hujusce immutare, ut fecit Triclinius, ὄφρα μ' ἔχῃ βίοτος.

226. τίνι γάρ ποτ' ἂν, ὦ φιλία γενέθλα. Sic edidit Aldus, ut scriptum est in membr. et aliis omnibus codd. veteribus. Versus est dimeter anapæsticus. Proinde in strophico 206. vere emendavimus Heathius et ego: Θανάτους ἀϊκεῖς διδύμαιν χειροῖν. Istis versiculis inauspicato medicam admovit manum Toupius ad Suidam ii. 85. qui eos indiligenter tractavit, non inspecta ulla veteri editione. Saltem pro eo, quo erat, acumine, vidit ἀϊκεῖς legendum esse. Videat jam Parisinus editor, num fallantur, qui lectionem

ϖρόσφορον ἀκούσαιμ' ἔπος;
τίνι φρονοῦντι καίρια;
ἄνετέ μ', ἄνετε ϖαράγοροι.
τάδε γὰρ ἄλυτα κεκλήσεται·
οὐδέποτ' ἐκ καμάτων ἀποπαύσομαι
ἀνάριθμος ὧδε θρήνων.
ΧΟ. ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ, ἰσῳδός.
μάτηρ ὡσεί τις ϖιστά,
μὴ τίκτειν σ' ἄταν ἄταις.
ΗΛ. καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
ϖῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
μήτ' εἴην ἔντιμος τούτοις,
μήτ', εἴ τῳ ϖρόσκειμαι χρηστῷ,
ξυνναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα ϖτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν θανὼν
γᾶ τε καὶ οὐδὲν ὢν
κείσεται τάλας,
οἱ δὲ μὴ ϖάλιν
δώσουσιν ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδὼς, ἁπάντων τ'

omnium probæ notæ librorum consensu nixam Triclinii næniis præferunt. Scripserat stolidus ille Græculus: Τίνι γάρ ποτ' ἄν, ὦ φίλα γενέθλα. et in strophico versu: Θανάτοις ἀικεῖς διδύμαιν χειροῖν. Novus noster Triclinius ista, tanquam si e tripode edictata fuissent, venerabundus amplectitur; nihil ex conjectura mutari vetat, et ἀικεῖς per synizesin disyllabum esse pronuntiat. En sane dignum magistro discipulum!

227. ϖρόσφορον ἀκούσαιμ' ἔπος. Sic recte scriptum in membr. nonnullisque aliis, inter quos etiam est cod. a Triclinio recensitus, ita ut mendosa impressorum lectio ne illi quidem tribuenda sit. Culpa omnis in Turnebum conferenda, qui ex Aldina in suam nihil fere nisi depravationes traduxit. Ediderat Aldus, ϖρόσφορον ἀκοῦσαί μ' ἔπος, omni structuræ violata lege: hoc Turnebus bonæ codicis sui lectioni ἀκούσαιμ' prætulit. Poterat illud reponi e Suida etiam in καίρια.

248. δώσουσιν ἀντιφόνους δίκας. Dimeter iambicus, sic scriptus et declaratus in D. Perperam Aldus δώσουσ'—

εὐσεβία θνατῶν.

ΧΟ. ἐγὼ μὲν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα,
καὶ τοὐμὸν αὐτῆς, ἦλθον· εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα. σοὶ γὰρ ἑψόμεσθ' ἅμα.

ΗΛ. αἰσχύνομαι μὲν, ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ', ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾷν,
ξύγγνωτε. πῶς γὰρ ἥ τις εὐγενὴς γυνὴ,
πατρῷ' ὁρῶσα πήματ', οὐ δρῴη τάδ' ἂν,
ἅγὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ;
ᾗ πρῶτα μὲν τὰ μητρὸς, ἥ μ' ἐγείνατο,
ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς, τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι, κἀκ τῶνδ' ἐμοὶ
λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
τοῖσιν πατρῴοις; εἰσίδω δ' ἐσθήματα
φοροῦντ' ἐκείνῳ ταυτὰ, καὶ παρεστίους
σπένδοντα λοιβὰς, ἔνθ' ἐκεῖνον ὤλεσεν;
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρὶ, μητέρ' εἰ χρεὼν
ταύτην προσαυδᾶν τῷδε συγκοιμωμένην;
ἥδ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι
ξύνεστ', Ἐρινὺν οὔ τιν' ἐκφοβουμένη·
ἀλλ', ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,

250. εὐσεβία θνατῶν. Versus dactylicus. Si cum Aldo legas εὐσέβεια, trochaicus erit. In præc. v. τ' ἂν valet τοι ἄν.

272. τὸν αὐτοέντην. Hæc lectio scholiastæ memorata, vulgatæ αὐτοφόντην præferri digna erat. Vide Lexicon in Αὐθέντης.

273. ξὺν τῇ ταλαίνῃ μητρί. Idem hic significat ταλαίνῃ, ac secundo abhinc versu τλήμων.

εὑροῦσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἀμὸν ἐκ δόλου κατέκτανε,
ταύτῃ χοροὺς ἵστησι, καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην' ἱερὰ τοῖς σωτηρίοις.
ἐγὼ δ' ὁρῶσ' ἡ δύσμορος κατὰ στέγας
κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ' ἐπωνομασμένην,
αὐτὴ πρὸς αὐτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ', ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα, τοιάδ' ἐξονειδίζει κακά·
  Ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν; ἄλλος δ' οὔ τις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο, μηδέ σ' ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.—
τάδ' ἐξυβρίζει. πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ' Ὀρέστην, τηνικαῦτα δ' ἐμμανὴς
βοᾷ παραστᾶσ'· Οὐ σύ μοι τῶνδ' αἰτία;
οὐ σὸν τόδ' ἐστὶ τοὔργον, ἥ τις ἐκ χερῶν
κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ' ἴσθι τοι τίσουσά γ' ἀξίαν δίκην.—
τοιαῦθ' ὑλακτεῖ· ξὺν δ' ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρών,
ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
ἐγὼ δ' Ὀρέστην τῶνδε προσμένουσ' ἀεὶ
παυστῆρ' ἐφήξειν, ἡ τάλαιν' ἀπόλλυμαι.
μέλλων γὰρ αἰεὶ δρᾶν τι, τὰς οὔσας τ' ἐμοῦ
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.

278. τότε, *olim*. Vide notam ad Comici Lysistr. 1023.

281. ἔμμην' ἱερὰ, sacra quæ singulis mensibus fiunt, κατὰ μῆνα, ut Suidas recte exponit. At perperam glossa ἐτήσια θύματα. Hesychius: ἐμμήνιοι, αἱ κατὰ μῆνα γινόμεναι θυσίαι.

301. ἡ πᾶσα βλάβη. Eadem locutio est in Philoct. 622. Sic ibidem 927. πᾶν δεῖμα.

ἐν οὖν τοιούτοις οὔτε σωφρονεῖν, φίλαι,
οὔτ' εὐσεβεῖν πάρεστιν· ἀλλ' ἐν τοῖς κακοῖς
πολλή γ' ἀνάγκη κἀπιτηδεύειν κακά.

ΧΟ. φέρ' εἰπὲ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;

ΗΛ. ἦ κάρτα. μὴ δόκει μ' ἂν, εἴπερ ἦν πέλας,
θυραῖον οἰχνεῖν· νῦν δ' ἀγροῖσι τυγχάνει.

ΧΟ. ἦ κἂν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.

ΗΛ. ὡς νῦν ἀπόντος, ἱστόρει τί σοι φίλον.

ΧΟ. καὶ δή σ' ἐρωτῶ, τοῦ κασιγνήτου τί φῄς·
ἥξοντος, ἢ μέλλοντος; εἰδέναι θέλω.

ΗΛ. φησίν γε· φάσκων δ', οὐδὲν ὧν λέγει ποιεῖ.

ΧΟ. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.

ΗΛ. καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.

ΧΟ. θάρσει· πέφυκεν ἐσθλὸς, ὥστ' ἀρκεῖν φίλοις.

ΗΛ. πέποιθ', ἐπεί τ' ἂν οὐ μακρὰν ἔζων ἐγώ.

ΧΟ. μὴ νῦν ἔτ' εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρὸς, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.

## ΧΡΥΣΟΘΕΜΙΣ.

τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν;
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά;
καί τοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι
ἀλγῶ 'πὶ τοῖς παροῦσιν· ὥστ' ἂν, εἰ σθένος

309. πολλή γ' ἀνάγκη. Sic in E. At in membr. in quatuor aliis veteribus, et in Triclinii recensione πολλή τ' ἀνάγκη, cum particulæ declaratione τοι.

322. ἀρκεῖν, ἐπαρκεῖν. Sic in Œd. Col. 262. Hesychius: ἀρκεῖ, προσαρκεῖ, βοηθεῖ.

λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ,
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
τοιαῦτα δ' ἄλλα καὶ σὲ βούλομαι ποιεῖν.
καί τοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω,
ἀλλ' ᾗ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.

**ΗΛ.** δεινόν γέ σ' οὖσαν πατρὸς, οὗ σὺ παῖς ἔφυς,
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα
κείνης διδακτὰ, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἐπεί θ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς,
ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν·
ἥ τις λέγεις μὲν ἀρτίως, ὡς εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης,
οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μὲν, οἶδ'· ἐπαρκούντως δ' ἐμοί.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ', ἡμὶν ἡ μισοῦσα, μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κείσθω, καὶ περιῤῥείτω βίος.

345. ἐπεί θ'—Id est ἐπεί τοι. Perperam in Aldina ἔπειθ', quod valet ἔπειτα.—θάτερ'. Sic Aldus et veteres libri, id est θάτερα, Attice, ut πότερα pro πότερον. Triclinius imperite supposuit θάτερον. Scilicet anapæstum in pari sede tragici senarii non reformidabat.

ἐμοὶ γὰρ ἔστω τοὐμέ νιν λυπεῖν μόνον
βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
οὐδ' ἂν σὺ, σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός. οὕτω γὰρ φανεῖ πλείστοις κακὴ,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
**ΧΟ.** μηδὲν πρὸς ὀργὴν, πρὸς θεῶν. ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.
**ΧΡ.** ἐγὼ μὲν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· κοὐδ' ἂν ἐμνήσθην ποτὲ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
**ΗΛ.** φέρ', εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδ' ἐμοὶ
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.
**ΧΡ.** ἀλλ' ἐξερῶ σοι πᾶν, ὅσον κάτοιδ' ἐγώ.

363. Vulgo legitur : Ἐμοὶ γὰρ ἴστω τοὐμὲ μὴ λυπεῖν μόνον Βόσκημα. Qua in lectione nullus inest sensus. Nam inde is elici non potest quem *percommodum* expressisse sibi videtur Heathius hac versione : *Id enim solum mihi pro cibo sit, ut ne me ipsa angam.* Sententia satis inepta Græce sic exprimi debuisset, ἐμοὶ γὰρ ἴστω μόνον βόσκημα, τὸ ἐμὲ μὴ λυπεῖσθαι, vel τὸ ἐμὲ μὴ λυπεῖν ἐμαυτήν. Verbo activo λυπεῖν subjici debet persona in quam cadit actio, quæ nisi expressa sit, tota phrasis nihil aliud quam griphus est. Heathio placet ἐμαυτὴν subintelligere : at secus videbatur auctori glossæ in codd. superscriptæ verbo λυπεῖν, τὸν θανόντα πατέρα. Quis dijudicabit, uter verius poëtæ mentem assecutus sit ? Perinde fallitur uterque. Haud temere eruditi viri lectionem hanc mendosam esse judicarunt, sed quod reponendum esse conjecerunt τοὐμὲ μὴ λιπεῖν, vel μὴ 'λλιπεῖν, nimis abjectum est, et ab Electræ magnanimitate alienum. Unica vocula mutata sententiam restituimus : Ἐμοὶ γὰρ ἴστω τοὐμέ νιν λυπεῖν μόνον Βόσκημα. *id enim solum mihi pro cibo sit, quod eos angam.* Dixerat paulo supra λυπῶ δὲ τούτους. nec quidquam aliud cupit, quam ut pergere possit eis molesta esse.

364. τιμῆς τυχεῖν. In C. E. August. λαχεῖν. Hæc verba sæpe commutantur. Sane λαχεῖν cum genitivo construitur, idque fere ellipsi nominis μέρος : rarius, ubi nec hoc nomen, nec ullum aliud subintelligi potest, ut Œd. Col. 450. Ἀλλ' οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου. Sed plerumque cum accusativo construitur hoc verbum. Proinde τυχεῖν hic prætuli, et ex hoc loco in Antig. 699. edidi : Οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς τυχεῖν ;

378. ἐξερῶ σοι. Sic bene Aldus, unico adstipulante codice. In aliis τοι cum superscripta glossa σοι. Si genuinum esset τοι, pro δὴ accipi de-

μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν, ἔνθα μή ποθ' ἡλίου
φέγγος προσόψει· ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ, χθονὸς τῆσδ' ἐκτὸς, ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου, κἀμὲ μή ποθ' ὕστερον
παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛ. ἦ ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν;
ΧΡ. μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.
ΗΛ. ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
ΧΡ. τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
ΗΛ. ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
ΧΡ. ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ΗΛ. ὅπως ἀφ' ὑμῶν ὡς προσωτάτ' ἐκφύγω.
ΧΡ. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛ. καλὸς γὰρ οὑμὸς βίοτος, ὥστε θαυμάσαι.
ΧΡ. ἀλλ' ἦν ἂν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ΗΛ. μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡ. ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκάθειν.
ΗΛ. σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.

beret: nam Doricum pronomen τοι Atticis poëtis inusitatum est. Hæ voculæ sæpissime permutantur, quod contigisse videbimus infra v. 871.

379. εἰ μὴ λήξεις. Sic codd. omnes, etiam Triclinianus; perperam in impressis λήξοις.

381. προσόψει. Eustathius p. 1839. ubi de adverbiis ἐνταυθοῖ, ἐνταῦθα disserit, hunc locum citans κατόψει legit.

382. ὑμνήσεις κακά. gl θρηνήσεις τὰς δυστυχίας. Eustathius p. 634. τὸ ὑμνεῖν φαύλως ἐκλαμβάνεται ποτὲ κατὰ βαρεῖαν ἀντίφρασιν. Σοφοκλῆς· ὑμνήσεις κακά· ἤγουν ὑβρίσεις. καὶ ἐν Οἰδίποδι τῷ τυράννῳ (1275.) τοιαῦτ' ἐφυμνῶν· ἤγουν δυσφημῶν. Αἰσχύλος (S. Th. 7.) ὑμνεῖται ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις. Εὐριπίδης (Med. 425.) τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν· ἤγουν κακολογοῦσαι. καὶ, ἐπεὶ ἀντάχησαν ὕμνον· αἱ κατὰ τῶν ἀῤῥένων ὕβρεις δηλαδή. Ultima χρῆσις ex eodem chorico cantico in Medea petita, ubi legitur ἐπεὶ ἀντάχησ' ἂν ὕμνον ἀρσένων γέννᾳ.

385. δή με. Sic codd. omnes veteres. In impressis μοι, ut est in Triclinii recensione. Imperite sane mutata fuit prior lectio, sublata Attica elegantia. Comicus Vesp. 696. Ταυτί με ποιοῦσ', οἴμοι τί λέγεις; Κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς. Pro δὴ in Triclinii recensione est γὰρ, quod in E. a secunda manu in locum alius particulæ erasæ substitutum.

ΧΡ. καλόν γε μέν τοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛ. πεσούμεθ', εἰ χρή, πατρὶ τιμωρούμενοι.
ΧΡ. πατὴρ δὲ τούτων, οἶδα, συγγνώμην ἔχει.
ΗΛ. ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡ. σὺ δ' οὐχὶ πείσει καὶ ξυναινέσεις ἐμοί;
ΗΛ. οὐ δῆτα. μή πω νοῦ τοσόνδ' εἴην κενή.
ΧΡ. χωρήσομαί τ' ἄρ', οἶπερ ἐστάλην ὁδοῦ.
ΗΛ. ποῖ δ' ἐμπορεύῃ; τῷ φέρεις τάδ' ἔμπυρα;
ΧΡ. μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ΗΛ. πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡ. ὃν ἔκταν' αὐτή. τοῦτο γὰρ λέξαι θέλεις.
ΗΛ. ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
ΧΡ. ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
ΗΛ. ὦ θεοὶ πατρῷοι, ξυγγένεσθέ γ' ἀλλὰ νῦν.
ΧΡ. ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ΗΛ. εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.
ΧΡ. ἀλλ' οὐ κάτοιδα, πλὴν ἐπὶ σμικρὸν φράσαι.
ΗΛ. λέγ' ἀλλὰ τοῦτο. πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη, καὶ κατώρθωσαν βροτούς.
ΧΡ. λόγος τις αὐτήν ἐστιν εἰσιδεῖν πατρὸς

399. πατρὶ τιμωρούμενοι. Sic Aldus et codd. omnes, etiam Triclinianus. Turnebus, quem deinceps alii secuti sunt editores, priorem lectionem mutavit, quam scilicet solœcam arbitratus est, et quia mulier loquitur, reposuit τιμωρούμεναι. Imperite. Mulier si de se loquens verbo plurali inducitur, pronomen vel participium plurale semper masculino genere ponitur. Vide notam ad Antig. 926.

405. ἐμπορεύῃ. Perperam Aldus, ut in codice meo scriptum est, ἐκπορεύῃ. Vide ad Œd. T. 456. ἔμπυρα. Suidas: τὰ καιόμενα ἱερεῖα. Nempe Chrysothemin sequebantur famuli omnia ad sacrificium necessaria ferentes, et inter alia victimas, quales defunctorum manibus mactari solebant, quasque moris erat ad tumulum cremare. Rogata Chrysothemis *cui victimas illas ferat*, respondet *a matre se missam ut patris tumulo infundat libamina*. Nempe libatio sine victima fieri non poterat, siquidem in inferiis sanguine libare mos erat. Virgilius Æn. iii. 66. Inferimus tepido spumantia cymbia lacte, Sanguinis et sacri pateras. Æn. v. 77. Hic duo rite mero libans carchesia Baccho Fundit humi, duo lacte novo, duo sanguine sacro. Inde liquet perperam in glossa τάδ' ἔμπυρα exponi φαύστας τὰς σπονδάς.

τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ᾽ ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον οὑφόρει ποτὲ
αὐτὸς, τανῦν δ᾽ Αἴγισθος· ἔκ τε τοῦδ᾽ ἄνω
βλαστεῖν βρύοντα θαλλὸν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος, ἡνίχ᾽ Ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει μ᾽ ἐκείνη τοῦδε τοῦ φόβου χάριν.
πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
ἐμοὶ πιθέσθαι, μηδ᾽ ἀβουλίᾳ πεσεῖν.
εἰ γάρ μ᾽ ἀπώσει, ξὺν κακῷ μέτει πάλιν.
ΗΛ. ἀλλ᾽, ὦ φίλη, τούτων μὲν, ὧν ἔχεις χεροῖν,
τύμβῳ προσάψῃς μηδέν. οὐ γάρ σοι θέμις,
οὐδ᾽ ὅσιον, ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ᾽, οὐδὲ λουτρὰ προσφέρειν πατρί.
ἀλλ᾽ ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει

424. ἡλίῳ δείκνυσι τοὔναρ. Iphigenia in Tauris apud Euripidem 43. Ἃ καινὰ δ᾽ ἥκει νὺξ φέρουσα φάσματα, Λέξω πρὸς αἰθέρ᾽, εἴ τι δὴ τόδ᾽ ἔστ᾽ ἄκος. Medeæ nutrix apud eumdem v. 56. Ὥσθ᾽ ἵμερός μ᾽ ὑπῆλθε γῇ τε κοὐρανῷ Λέξαι, μολοῦσαν δεῦρο, Μηδείας τύχας. Plautus Mercatoris initio : Non ego idem facio, ut alios in comœdiis Vidi facere amatores, qui aut nocti, aut dii, Aut soli, aut lunæ miserias narrant suas. Quos pol ego credo humanas querimonias Non tanti facere, quid velint, quod non velint.

427. πέμπει μ᾽ ἐκείνη. Sic liquido scriptum in C. D. T. meo. Minus bene ceteri et Aldus πέμπει με κείνη. Verum ista absque codicis auctoritate emendari debent.

428. Ab hoc versu incipit Electræ ῥῆσις in Aldina et codd. aliquot, librarii manifesto errore.

434. λουτρὰ, *libamina*, ut supra 84. ubi perspicuum est eadem significatione usurpari qua λοιβαὶ in v. 52. Huc pertinet Hesychii glossa : χθόνια λουτρὰ, τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. ἐνόμιζον γὰρ ἐπὶ τοὺς τάφους λουτρά. Proprie indigetantur hac appellatione aquæ libationes. Dioscorides Epigr. xxxvi. Ἀλλὰ περιστείλας με δίδου χθονί· μηδ᾽ ἐπὶ νεκρῷ Λουτρὰ χέῃς· στυγέω, δέσποτα, καὶ ποταμούς. Vide Meursii libellum de Funere cap. xiv.

435. ἀλλ᾽ ἢ πνοαῖσιν. Haud quidquam ineptius est Britannorum conjecturis ποαῖσιν, vel ῥοαῖσιν. Vide quæ notavimus ad Œd. T. 271. Aj. 1035. maxime vero Orvillium ad Charitonem p. 398. ubi egregie de hac structura disputat, qua binis substantivis verbum unum elegantissime

κρύψιον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
τούτων πρόσεισι μηδέν· ἀλλ', ὅταν θάνῃ,
κειμήλι' αὐτῇ ταῦτα σωζέσθων κάτω.
ἀρχὴν δ' ἄν, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ', ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε.
σκέψαι γάρ, εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὑν τάφοισι δέξασθαι νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος, ὥστε δυσμενής,
ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρᾳ
κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,

subjungitur, quod alterutri vix, ac ne vix quidem, seorsum applicari possit, multaque ex utriusque linguæ scriptoribus exempla profert, ab imperitis hominibus temere damnata vel solicitata. Duo tantum promam. Virgil. Æn. vii. 187. Ipse Quirinali lituo, parvaque sedebat Succinctus trabea. Lituo *succinctus* non erat; sed *instructus, insignis*. Formam de qua agimus ibi observarunt Burmannus et Heynius. Confer Davisium ad Ciceronem de Finibus ii. 27. Pindarus Pyth. iv. 184. *εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτοὺς, οὔτι ἔργον, οὔτ' ἔπος εὐτράπελον κείνοισιν εἰπών.* Ubi nomini *ἔργον* verbum *εἰπὼν* non aptatur, sed extrinsecus arcessitur commodum *ποιήσας*, vel simile.

438. *σωζέσθων.* Sic in meo. Ceteri omnes, ut impressi, *σωζέσθω*. Illud prætuli tum euphoniæ gratia, tum ob Atticam formam, de qua vide ad Aj. 100. Optimi scriptores quandoque neutra pluralia cum verbis pluralibus construunt.

442. *αὐτῇ* jungendum, non cum *σοὶ*, sed cum *δέξασθαι*, ut sit *δέξασθαι αὐτῇ* pro *δέξασθαι ἀπ' αὐτῆς*. Pronomini *σοὶ* superscripta glossa *τινί*. Bene. Secunda persona pro tertia incerta et indefinita. Vide not. ad Trach. 2. Neutiquam vero necesse est *δέξεσθαι* contra librorum omnium fidem legere. Vide quæ notavimus ad Æschyli Persas 738. et ad Euripidis Phœnissas 899.

443. *γέρα*, ultima longa, non ob metri necessitatem, ut falso tradit auctor glossæ in veteri cod. *μακρὸν, διὰ τὸ μέτρον*, verum ob contractionem ex *γέραα*. Vide quæ notavimus ad Euripidis Bacchas 921. Sic plurale *τέρα* apud Apollonium Argon. iv. 1410.

445. *ἐπὶ λουτροῖσιν.* gl. *ἐπὶ καθάρσει.—κάρᾳ* dativus est. *ὑφ' ἧς θανὼν ἐμασχαλίσθη, καὶ τῇ ἑαυτοῦ κεφαλῇ ἐξέμαξε τὰς κηλῖδας αὐτῆς.* Vel, si mavis, *κἀπὶ λουτροῖσιν ἐκείνη τὰς κηλῖδας τῇ κεφαλῇ αὐτοῦ ἐξέμαξεν.* Prior ratio magis placet, juxta quam utriusque verbi idem nominativus est.

κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ᾽, ἀλλ᾽ ὅμως
ἅ 'χω, δὸς αὐτῷ τήνδε λιπαρῆ τρίχα,
καὶ ζῶμα τοὐμὸν, οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπιτνοῦσα, γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν·
καὶ παῖδ᾽ Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ᾽ ἐπεμβῆναι ποδὶ,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν, ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ᾽ αὐτῇ δυσπρόσοπτ᾽ ὀνείρατα.
ὅμως δ᾽, ἀδελφὴ, σοί θ᾽ ὑπούργησον τάδε
ἐμοί τ᾽ ἀρωγὰ, τῷ τε φιλτάτῳ βροτῶν

451. τήνδε λιπαρῆ τρίχα, id est τήνδε ἱκέτιν τρίχα. Sic omnino legendum, ut ex veterum criticorum commentariis, quorum meminit Scholiastes, olim lectitatum fuisse constat. Hoc jam olim reposuissem nisi vulgatæ lectioni τήνδ᾽ ἀλιπαρῆ gravis Hesychii auctoritas patrocinari mihi visa fuisset, in glossa, ἀλιπαρῆ, αὐχμηρὰν, quæ procul dubio huc spectat; verum deceptus et ipse fuit Hesychius menda quæ antiquitus inolevit. τήνδ᾽ ἀλιπαρῆ per metrum stare non potest. Si τήνδε γ᾽ ἀλιπαρῆ scripsisset poëta, quæ Heathii conjectura est, id multo minus facile depravatum fuisset, quam proclive fuit ex τήνδε λιπαρῆ, facere τήνδ᾽ ἀλιπαρῆ. Causa autem mutationis fuit, quia imperitus librarius λιπαρῆ accepit pro λιπαρὰν, *nitidam*, cujus contrarium quum videret prorsus requiri, barbaram vocem excudit ἀλιπαρῆ. Nec λιπαρὴς, nec ἀλιπαρὴς pro *nitidus* et *sordidus*, Græca vocabula sunt. Græcum est λιπαρὸς, prima semper brevi: ἀλίπαρος caret auctoritate; nescio an exstet uspiam. ἀλιπαρὴς, ut dicebam, plane barbarum est, et e Græcis lexicis in posterum, me auctore, eximetur. In λιπαρὴς, λιπαρεῖν prima semper producitur. λιπαρὴς et λιπαρὸς, quæ forma parumper differunt, sed prosodia et significatione permultum, alibi confundi observavimus. Vide notam ad Comici Lys. 673. Similis menda sublata fuit in Luciani libello Ῥητόρων διδάσκαλος, cap. 9. ubi barbarum illud τὸ ἀλιπαρὲς inficete vertebatur *squalorem*: nunc vero legitur τὸ λιπαρὲς, quod ibi significat *assiduitatem*. λιπαρὴς θρὶξ, hic dicitur, ut infra, 1378. λιπαρὴς χεὶρ, *supplex manus*. λιπαρεῖν τινα, *supplicare*. Vide Æschylum Prom. 1012. cujus locum protulimus ad Comici Acharn. 452.

457. ἀφνεωτέραις. In D. ἀφνειωτέραις, mendose pro ἀφνειοτέραις. Librario obversabatur usitatior forma ἀφνειός. Sed et altera proba est, quod ex hoc loco Eustathius observat ad Homerum p. 623. Ὅτι δὲ ὁ ἀφνειὸς δύναται καὶ ἀφνεὸς λέγεσθαι, δῆλον ἐκ τοῦ Χερσὶν ἀφνεωτέραις παρὰ Σοφοκλεῖ. οὕτω δὲ καὶ ὁ θειότερος, θεώτερος ἐν τῇ περιηγητῇ.

462. ἐμοί τ᾽ ἀρωγά. Sic Aldus et codd. omnes veteres. Triclinius in-

πάντων, ἐν Ἅδου κειμένῳ κοινῷ πατρί.
ΧΟ. πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δὲ,
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.
ΧΡ. δράσω. τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾷν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ' ὑμῶν, πρὸς θεῶν, ἔστω, φίλαι·
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

## ΧΟΡΟΣ.

Εἰ μὴ 'γὼ παράφρων στροφή.
μάντις ἔφυν, καὶ γνώμας
λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα
χεροῖν κράτη· μέτεισιν, ὦ
τέκνον, οὐ μακροῦ χρόνου.
ὕπεστί μοι * θάρσος,

* θράσος edd. 1. 2.

epte κἀμοί τ', quod illi Turnebus relinquere debebat.

464. πρὸς εὐσέβειαν, *pie*. Sic Lucianus Toxaride πρὸς ἀχθηδόνα, *moleste*. Plutarchus in Coriolano πρὸς ὕβριν, *contumeliose*.

467. ἐπισπεύδειν. Sic Tragici exemplaria omnia. Apud Stobæum in sermone *de Veritate* legitur etiam in codd. ἐπισπεύδει perperam. Hunc locum Toupius ad Suidam ii. 133. ridicule vertit, constructione sic ordinata: τὸ γὰρ δυοῖν ἐρίζειν οὐκ ἔχει δίκαιον λόγον. Mira sane phrasis, longeque impeditior ea, unde Henr. Stephanus tam ægre se extricat in Philocteta v. 1140. Tales in senariis verborum trajectiones nuspiam occurrunt. Optime sensum et structuram declaravit Grammaticus antiquus: τὸ γὰρ δίκαιον οὐ παρέχει ἀπολογίαν δυοῖν ὥστε ἐρίζειν, ἀλλὰ παρέχει δηλονότι ὥστε σπεύδειν ἐπὶ τὸ δρᾷν.

479. ὕπεστί μοι θάρσος. Sic codd. omnes veteres et Aldus. Triclinius perperam θράσος supposuit, quod metri lex minime requirebat. Differunt θράσος et θάρσος, *audacia* et *confidentia*. Quæ nomina etsi perpaucis exemplis ostendi possit a Poëtis promiscue adhibita fuisse, quemadmodum in Philoct. 104. θράσος pro θάρσος accipiendum, nulla tamen hic erat causa cur vox signatior ejiceretur.

ἀδυπνόων κλύουσαν
ἀρτίως ὀνειράτων.
οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας
Ἑλλάνων ἄναξ,
οὐδ' ἁ παλαιὰ χαλκόπληκτος

480. *κλύουσαν.* Sic Aldus et codd. omnes, præter antiquissimum, in quo *κλυούσα* librarii errore. Si quis mala re magna mactari non reformidat, tædium subeat legendi Parisini editoris notam ad hunc locum, unde nihil aliud reportabit, quam Th. Johnsoni conjecturam, multis obrutam nugis, *κλυούσᾳ*. Illam in Tragicorum lectione multo tritior utroque flocci non existimat Heathius, nec ego pluris facio. Immo placet mihi, sic formas poëtici sermonis variari per *ἀκαταλληλίαν*, unde nulla oritur obscuritas. Schema est, quod vocant *σολοικοφανὲς*, quo constructio ad intellectum, non ad verba refertur. Hic verbale positum est pro verbo: *ὕπεστί μοι θαρσεῖν ἀδυπνόων κλύουσαν ἀρτίως ὀνειράτων*. Vel subintelligitur verbum e proximo nomine arcessendum: *ὕπεστί μοι θάρσος, ὥστε θαρσεῖν ἐμὲ κλύουσαν* —Simile est in Euripidis Medea, 813. —*σοὶ δὲ συγγνώμη λέγειν Τάδ' ἐστι, μὴ πάσχουσαν, ὡς ἐγὼ, κακῶς.* Ibi si legeretur, ut nihil vetabat poëtam scribere,—*σοὶ δὲ συγγνώμη λόγων Τῶνδ' ἐστι, μὴ πάσχουσαν, ὡς ἐγὼ, κακῶς.* geminum gemellum exemplum esset. Nihil frequentius ista casuum enallage, cujus venustas librariorum libidini sæpe fuit obnoxia; at multis in locis nullo pacto obliterari potuit. In Antig. 1001. legitur, *Ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων, κακῷ Κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ.* Quis illic offendere possit? usitata tamen syntaxis flagitat *κλαζόντων*, quod nullus dubito quin a quopiam librario suppositum fuisset, ni metri lex manifesto obstitisset. In Euripidis Iphig. T. 954. scripserat Tragicus: *Ἐλθὼν δ' ἐκεῖσε, πρῶτα μέν μ' οὐδεὶς ξένων Ἑκὼν ἐδέξαθ' ὡς θεοῖς στυγούμενον.* Imperitæ librarii curæ debetur vulgata lectio, *ἐλθόντα δ' ἐκεῖσε*. Variatur constructio, quæ frequentius per genitivum absolutum fieri solet: participiumque quod hoc casu ponendum erat, casu vel recto, vel quarto effertur. Ibi *ἐλθὼν δ' ἐκεῖσε* est pro *ἐλθόντος δ' ἐμοῦ ἐκεῖσε*. In Œd. Col. 1120. *τέκνα φανέντ' ἄελπτα*, est pro *τέκνων φανέντων ἀέλπτως*. Et sic facile expeditur difficultas in Æschyli loco Choëph. 408. quem post Pauwium temere solicitat, et pejus adhuc corrumpit idem Sophoclis Parisinus editor: *Πέπαλται δ' αὖτ' ἐμοὶ φίλον κέαρ Τόνδε κλύουσαν οἶκτον.* quem ad hunc modum resolvas: *κλυούσης δ' ἐμοῦ τόνδ' οἶκτον, πέπαλται αὖτέ μοι φίλον κέαρ.* Parum sibi constabat Heathius idem alio in loco damnans, in alio probans. *κλύουσαν* apud Sophoclem defendit, apud Æschylum mutari vult in *κλύουσα*; haud tamen ita absurda ratione, qua participium hoc femininum Parisinus Professor cum *φίλον κέαρ* connectit; sed id pro nominativo absoluto habet, hancque emendationem metrica lege confirmari arbitratur. Verum usquequaque falsus est. Nec structuræ, nec metri ratione quidquam mutandum est: versus est choriambicus, ut duo sequentes.

ἀμφάκης γένυς,
ἅ νιν κατέπεφνεν αἰ-
σχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους ἀντιστρ.
καὶ πολύχειρ, ἁ δεινοῖς
κρυπτομένα λόχοις,
χαλκόπους Ἐριννύς.
ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα
μιαιφόνων γάμων ἁμιλ-
λήμαθ', οἷσιν οὐ θέμις.
πρὸ τῶνδέ τοί μ' ἔχει,
μήποτε, μήποθ' ἡμῖν
ἀψεγὲς πελᾷν τέρας
τοῖς δρῶσι καὶ συνδρῶσιν. ἤ τοι
μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκ-
τὸς εὖ κατασχήσει.
ὦ Πέλοπος ἁ πρόσθεν ἐπῳδός.
πολύπονος ἱππεία,
ὡς ἔμολες αἰανὴ
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,
παγχρύσων δίφρων
δυστάνοις αἰκίαις

485. ἀμφάκη. Dorismum invitis libris restitui. Huc respexit Hesychius in mutila glossa Ἀμφακῆς, quæ sic scribi debuit: ἀμφάκης γένυς, ἀξίνη.

488. ἥξει καὶ πολύπους. Sic Aldus et codd. omnes veteres. Inepte Triclinius particulam δὲ infersit, quæ Heathio fraudi fuit, de hujus versiculi metro disputanti. Est revera, ut strophicus, choriambicus incipiens a spondeo.

495. πρὸ τῶνδε. Heathius legendum censet πρὸς τῶνδε. Miror eum ignorasse πρὸ sæpe idem valere ac ὑπέρ.

προῤῥιζος ἐκριφθεὶς,
οὔ τις πω
ἔλειπεν ἐκ τοῦδ' οἴκου
πολύπονος αἰκία.

## ΚΛΥΤΑΙΜΝΕΣΤΡΑ.

Ἀνειμένη μὲν, ὡς ἔοικας, αὖ στρέφῃ.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ', ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
ἐμοῦ γε. καί τοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας, ὡς θρασεῖα, καὶ πέρα δίκης
ἄρχω καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γὰρ, οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεὶ,
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη,
ᾗ χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες·

522. *ἄρχω καθυβρίζουσα.* Distinctio inter duas voces poni non debuit: est enim pro *ἄρχω ὕβρεως*. *ἄρχειν* hic valet *προκατάρχειν*, ut apud Homerum, *ἐγὼ δ' ἦρχον χαλεπαίνων*, id est Eustathio interprete p. 241. *προκατῆρξα τοῦ χαλεπαίνειν. τὸ δὲ τοιοῦτον ἄρχειν, καὶ κατάρχειν λέγεται παρὰ τοῖς ὕστερον καὶ ὑπάρχειν, ἐξ οὗ καὶ ἡ ὑπαρχή. καὶ Ὅμηρος μὲν μετοχῇ αὐτὸ συνέταξεν· οἱ δὲ μεθ' Ὅμηρον, καὶ γενικῇ αὐτὸ συντάσσουσιν, οἷον ἄρχω ἀπειλῆς ἢ μάχης. ἔτι δ' ὅτι παθητικῶς προφέροντες, καὶ αἰτιατικὴν ποιοῦσιν ἐν αὐτῷ σύνταξιν, οἷον καὶ τὸ Κατάρχομαι νόμον βακχεῖον.* Hæc *χρῆσις* sumpta ex Euripidis Hec. 681. Sic infra, 552. *ἄρξασά τι λυπηρόν.*

525. *πατὴρ γὰρ*—*Hæc longe a vulgatis diverso sensu accipio,* ait Parisinus editor, et ideo accipit pessimum in modum, quem non fert sermonis indoles. Ex præcedentibus quædam repetenda sunt: *καὶ γὰρ πρὸς σοῦ κλύω, ὡς πατὴρ τέθνηκεν ἐξ ἐμοῦ. ἐξ ἐμοῦ· καλῶς ἔξοιδα.* In parenthesi sunt verba *οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεί.*

528. Scatet ineptissimis interpolationibus Triclinii recensio. Hic legere ei placuit *εἷλε, κοὐκ ἐγὼ*—Quinto post versu pro *ὁ τίκτουσ'*, quæ codd. omnium lectio est, supposuit *ὁ τεκοῦσ'*, spreta temporum ratione. *ὥσπερ ὁ τίκτουσ' ἐγὼ* valet *ὥσπερ ἐγὼ, ὅτε ἔτικτον.*

ἐπεὶ πατὴρ οὗτος σὸς, ὃν θρηνεῖς ἀεὶ,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης, ὅτ' ἔσπειρ', ὥσπερ ἡ τίκτουσ' ἐγώ.
εἶεν· δίδαξον δή με τοῦ χάριν τίνων
ἔθυσεν αὐτήν. πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω; κτανὼν
τἄμ', οὐκ ἔμελλε τῶνδ' ἐμοὶ δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν;
ἢ τῶν ἐμῶν Ἅδης τιν' ἵμερον τέκνων,
ἢ τῶν ἐκείνης, ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.

ΗΛ. ἐρεῖς μὲν οὐχὶ νῦν γ' ἔμ', ὡς ἄρξασά τι
λυπηρὸν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
ἀλλ' ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος γ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς, τῆς κασιγνήτης θ' ὁμοῦ.

534. Perperam in Aldina τοῦ, χάριν τίνος—In Triclinii recensione τοῦ, χάριν τίνων. Turnebus absque ullo commodo distinctionem mutavit, τοῦ χάριν, τίνων—Perperam uterque τίνων accepit pro genitivo plurali, quum sit participium.

537. ἀντ' ἀδελφοῦ. Sic libri omnes recte, *fratris vice*. Temere Heathius mutat in αὐταδέλφου.

546. κακοῦ γνώμην. Sic libri omnes. Glossa in plurimis codd. κακοτρόπου, quod olim perperam in textum intuli.

554. τοῦ τεθνηκότος γ' ὕπερ. Sic Aldina et plerique veteres codd. In meo neutra particula comparet. Pro γε in Triclinii recensione est τε.

ΚΛ. καὶ μὴν ἐφίημ'· εἰ δ' ἔμ' ὧδ' ἀεὶ λόγοις
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.
ΗΛ. καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἰσχίων ἔτι,
εἴτ' οὖν δικαίως, εἴτε μή; λέξω δέ σοι
ὡς οὐ δίκῃ γ' ἔκτεινας· ἀλλά σ' ἔσπασε
πειθὼ κακοῦ πρὸς ἀνδρὸς, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
ποινῆς τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·
ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ' οὑμὸς, ὡς ἐγὼ κλύω, θεᾶς
παίζων κατ' ἄλσος, ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς
ἐκκομπάσας, ἔπος τι τυγχάνει βαλών.
κᾀκ τοῦδε μηνίσασα Λητῴα κόρη
κατεῖχ' Ἀχαιοὺς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον, οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλὰ, κᾀντιβὰς, μόλις
ἔθυσεν αὐτὴν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σὸν, κεῖνον θέλων
ἐπωφελῆσαι, ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα, τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς,

557. λυπηρὰ κλύειν. Eadem structura ac οἰκτρὰ βόσκειν in Philoct. 1167.

567. ἐξεκίνησεν. Heathius legendum censet ἐξεvίκησεν, quod quidem August. cod. solus exhibet, sed librarii errore. Ceteri omnes codd. et Scholiastes vulgatum tuentur, quod probum est.

571. ὡς perperam Johnsonus vertit *donec*, qua potestate hæc particula ab Atticis nunquam adhibetur.

575. μόλις. In D. μόγις. - Significatione differre hæc adverbia tradunt cum alii Grammatici, tum Thomas Mag. Sed nugantur. Promiscue adhibentur et confunduntur passim. Vide ad Thucydidem p. 470. n. 85.

μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἂν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα, μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς· τοὺς δὲ πρόσθεν εὐσεβεῖς
κἀξ εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ τοῦτ' ἐρεῖς,
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς δ', ἐάν περ καὶ λέγῃς. οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι, τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἱεῖς γλῶσσαν, ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν,
ἢ μητέρ' οὐκ ἔλασσον, εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρὸν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα, τοῦ τε συννόμου.
ὁ δ' ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγὼν,
τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον·
ὃν πολλὰ δή με σοὶ τρέφειν μιάστορα
ἐπῃτιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
ἔδρων ἂν, εὖ τοῦτ' ἴσθι. τοῦδέ γ' οὕνεκα

581. In Aldina hîc et tertio post versu excusum τίθῃς. In aliquot veteribus libris scriptum τίθεις, quod neutiquam solœcum est. Nam μὴ cum indicativo construitur. Exemplis quæ protuli ad Comici Nubes 493. adde Euripidem Iphig. A. 1545. Ione, 1545. In D. subjunctivus est τιθῇς, quod ob usitatiorem structuram præferri debet.

583. εἰ δίκης γε τυγχάνεις. Sic recte Turnebus edidit. Codd. omnes et Aldus habent τυγχάνεις, solœce: vide quæ notavimus ad Comici Plutum 1037. Aberravit librarii oculus ad finem tertii exinde versus, ubi rectum est τυγχάνεις.

596. ἱεῖς. Aldus et plerique veteres codd. ἵεις. Ceteri ἵης. Vide ad Œd. T. 628.

600. τοῦ τε συννόμου. In duobus codd. notæ non melioris ξυννόμου.

κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακὴν,
εἴτε στόμαργον, εἴτ' ἀναιδείας πλέαν.
εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.

ΧΟ. ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκ ἔτ' εἰσορῶ.

ΚΛ. ποίας δ' ἐμοὶ δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε,
καὶ ταῦτα τηλικοῦτος; ἆρ' οὔ σοι δοκεῖ
χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;

ΗΛ. εὖ νῦν ἐπίστω τῶνδ' ἐμ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὅθ' οὕνεκα
ἔξωρα πράσσω, κοὐκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια, καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾷν βίᾳ.
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.

ΚΛ. ὦ θρέμμ' ἀναιδὲς, ἦ σ' ἐγὼ, καὶ τἄμ' ἔπη,
καὶ τἄργα τἀμὰ πόλλ' ἄγαν λέγειν ποιεῖ;

ΗΛ. σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποιεῖς
τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

ΚΛ. ἀλλ', οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.

ΗΛ. ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ'· οὐδ' ἐπίστασαι κλύειν.

ΚΛ. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς

609. Homerus in Odysseæ fine: *μή τι καταισχύνειν πατέρων γένος*. ubi hæc observat Eustathius: *Ὅτι καταισχύνει τις γένος, ὅτι κατ' ἀρετὴν ἀνόμοιος τοῖς προγόνοις ἐκβαίνει. ἐντεῦθεν τὸ τραγικὸν ἐῤῥέθη ἀντιστρόφως κατά τι σχῆμα, Εἰ γὰρ πέφυκα τῶνδε τῶν κακῶν ἴδρις, Σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν. ὡς γὰρ παῖς ἐκβὰς ἀγαθὸς οὐ καταισχύνει ἀγαθοὺς γονεῖς, οὕτως οὐδὲ τοὺς φαύλους, παῖς κακῶν ἴδρις κατ' ἐκείνους γινόμενος.*

614. *καὶ ταῦτα τηλικοῦτος*. Johnsonus vertit, *idque tantula ætate*. Inepte, si quid recte judico. Electra xxv. annos ad minimum nata erat. *τηλικοῦτος* vox media est, et tam de majore, quam de minore ætate dicitur.

628. *μεθεῖσα*. In C. *παρεῖσα*. gl. *ἐνδοῦσα*.

θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ΗΛ. ἐῶ, κελεύω, θῦε· μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
ΚΛ. ἔπαιρε δὴ σὺ θύμαθ', ἡ παροῦσά μοι,
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ὧν νῦν ἔχω.
κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
κεκρυμμένην μοῦ βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς, παρούσης τῆσδε πλησίας ἐμοί·
μὴ ξὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε· τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα
δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλὰ, δὸς τελεσφόρα·
εἰ δ' ἐχθρὰ, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
καὶ μή, με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς.
ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,
δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν,
εὐημεροῦσαν, καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν, ἢ λύπη πικρά.
ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων,
δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα·
τὰ δ' ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ,

636. δειμάτων ὧν νῦν ἔχω. Sic Aldus et codd. omnes veteres præter C. in quo ἃ pro ὧν, quod et Triclinius prætulit. Supra, 431. ὧν ἔχεις. 763. ὧν ὅπωπ', metri lex ne mutarentur obstitit. Vide quæ notavimus ad Comici Vespas 907.

645. δισσῶν, *duplicium*, id est *ambiguorum*. Sic Lucianus in Alexandro p. 218. διττούς τινας καὶ ἀμφιβόλους καὶ λοξοὺς χρησμοὺς συγγράφων.

646. πέφηνεν. Scholiastes minus bene legit πέφυκεν. Glossema est genuinæ vocis, cujus locum etiam invaserat in Æschyli Prom. 111.

ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι.
τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.
ΠΑΙ. ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς,
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
ΧΟ. τάδ' ἐστὶν, ὦ ξέν'. αὐτὸς ᾔκασας καλῶς.
ΠΑΙ. ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
ΧΟ. μάλιστα πάντων. ἥδε σοι κείνη πάρα.
ΠΑΙ. ὦ χαῖρ' ἄνασσα. σοι φέρων ἥκω λόγους
ἡδεῖς, φίλου παρ' ἀνδρὸς, Αἰγίσθῳ θ' ὁμοῦ.
ΚΛ. ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου
πρώτιστα χρῄζω, τίς σ' ἀπέστειλε βροτῶν.
ΠΑΙ. Φανοτεὺς ὁ Φωκεὺς, πρᾶγμα πορσύνων μέγα.
ΚΛ. τὸ ποῖον, ὦ ξέν'; εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
ΠΑΙ. τέθνηκ' Ὀρέστης. ἐν βραχεῖ ξυνθεὶς λέγω.
ΗΛ. οἲ ἐγὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛ. τί φῄς, τί φῄς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.
ΠΑΙ. θανόντ' Ὀρέστην νῦν τε καὶ τότ' ἐννέπω.
ΗΛ. ἀπωλόμην δύστηνος. οὐδέν εἰμ' ἔτι.
ΚΛ. σὺ μὲν τὰ σαύτης πράσσ'· ἐμοὶ δὲ σὺ, ξένε,
τἀληθὲς εἰπὲ, τῷ τρόπῳ διόλλυται;
ΠΑΙ. κἀπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω.

662. ᾔκασας. Vulgo εἴκασας. Atticam formam reposui. Vide notam ad Comici Nubes 350.

664. πρέπει ὡς τύραννος εἰσορᾶν, *decora est videri ut regina:* id est *reginæ similis est.* Hoc significatu frequentatur verbum πρέπω. Pindarus Pyth. ii. 69. Εἶδος γὰρ ὑπεροχωτάτα Πρέπεν οὐρανίᾳ Θυγατέρι Κρόνου. Euripides Bacchis, 905. Μορφῇ δὲ Κάδμου θυγατέρων πρέπεις μιᾷ. Ibidem 1177. Πρέπει γὰρ, ὥστε θηρὸς ἀγραύλου φόβη. ut hic πρέπει εἰσορᾶν, sic apud Æschylum Suppl. 727. Πρέπουσι δ' ἄνδρες νήιοι μελαγχίμοις γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν. ubi πρέπουσιν ἰδεῖν, *conspicui sunt.*

674. οἲ ἐγώ. Sic præstantissimi e veteribus codd. absque elisione, ut Aj. 803. et passim. Eadem est ratio, quæ in τί ἐστι; τί εἶπας; de quibus vide ad Philoct. 733. 917. et quæ notavimus ad Æschyli Persas 515.

676. τότε, *dudum.* In Tricliniii recensione scriptum νῦν τε καὶ πάλαι λέγω. altera superscripta lectione. Illa in August. quoque nostro superscripta.

κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν,
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας·
δρόμου δ' ἰσώσας τῇ 'φέσει τὰ τέρματα,
νίκης ἔχων ἐξῆλθε, πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιάδ' ἀνδρὸς ἔργα καὶ κράτη.
ἓν δ' ἴσθ'. ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς,

682. *πρόσχημα*, inquit Budæus, *decus* significat *et rem visendam*. Herodot. l. v. 28 καὶ δὴ καὶ τῆς Ἰωνίης ἦν πρόσχημα Μίλητος. Plutarchus in Camillo de Veiis: ἦν δὲ πρόσχημα τῆς Τυῤῥηνίας ἡ πόλις: quod ab interprete male acceptum. Apud eumdem in Fabio, Magister equitum, æquato sibi cum Dictatore imperio, gaudet ἐπὶ τῷ τὸ πρόσχημα τῆς ἀκρατάτης καὶ μεγίστης ἀρχῆς ὑφεῖσθαι καὶ προπηλακίσθαι δι' αὐτόν. Eadem significatione simplex σχῆμα adhibet Euripides Andromachæ initio: Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις. Ἑλλὰς ἀγὼν, *conventus Græcorum*. ἀγὼν *certamen* hîc non significat, quod non animadvertens Oudendorpius ad Thomam M. in πρόσχημα, ἀγῶνος cum sequentibus jungit, ἀγῶνος Δελφικῶν ἄθλων χάριν. Adjective sumitur Ἑλλάδος, ut Philoct. 223.

686. Vulgo legitur, δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα. Quod quid sit, nemo adhuc diserte potuit exponere. Quæ in scholiis afferuntur explicationes sunt futilissimæ. Cursus qui δολιχὸς appellabatur, diu post heroïca tempora in usu fuit. Hujus de mensura non convenit inter criticos. Probabile est fuisse xxiv. stadiorum. Verum utut fuerit, quis credat poëtam tam obscuro ænigmate significare voluisse, tot stadia Orestem cucurrisse, quot annos tum esset natus? Quid ostendit φύσιν hîc *ætatem* significare? glossa ἤγουν δραμὼν ἁρμοδίως τῇ αὐτοῦ φύσει nihil expedit. Unius literæ mutatione sententiam restituit Musgravius felici conjectura ad Euripidis Phœn. 1135. proposita: Δρόμου δ' ἰσώσας τῇ ἀφέσει τὰ τέρματα. Eadem laus Oresti tribuitur, quam cursori Ariæ impertit Antipater Sidonius Epigr. xxxix. Ἢ γὰρ ἐφ' ὑσπλήγγων ἢ τέρματος εἶδέ τις ἄκρου Ἠΐθεον, μέσσῳ δ' οὔποτ' ἐνὶ σταδίῳ. Is sane sciebat, quid esset τὰ τέρματα τοῦ δρόμου ἰσοῦν τῇ ἀφέσει, *metam carceribus cursu jungere*. Librario fraudi fuit elisio τῇ 'φέσει, quod quum non caperet, notius substituit φύσει.

689. τοιάδ' ἀνδρὸς ἔργα. Hæc est codicis mei lectio, quam vulgatæ τοιοῦδ' præfero. In T. superscripta varia lectio ἔργ' οὐδὲ κράτη, quam D. in contextu exhibet. Glossa, τοιαῦτα ἔργα καὶ κράτη ἀνδρὸς, τοιαύτας ἀνδραγαθίας, ἢ τοιαύτην ἰσχύν. quæ explicatio ad nostram lectionem refertur. Eam descripsi e cod. C. qui tamen in textu habet τοιοῦδ'.

690. βραβῆς. Vulgo βραβεῖς. Vide ad Œd. T. 18. Quæ sequuntur

δρόμων διαύλων πένταθλ', ἃ νομίζεται,
τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν, ἡλίου τέλλοντος, ὠκύπους ἀγών,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν Ἀχαιός, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
κἀκεῖνος ἐν τούτοισι, Θεσσαλὰς ἔχων
ἵππους, ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος, λεύκιππος, Αἰνιὰν γένος·

verba δρόμων διαύλων πένταθλ' non carent difficultate. Intelligenda sunt, tanquam si scriptum esset, ὅσων γὰρ ἀγώνων νενομισμένα πένταθλα οἱ βραβεῖς εἰσεκήρυξαν, τούτων — Pro ἀγώνων posuit δρόμων διαύλων, quia *cursus* certaminum est nobilissimum; quamobrem in omnibus ludis primum hoc committebatur, et signabantur singulæ Olympiades athletæ nomine, qui stadio vicerat: itidem *Quinquertii* pars erat nobilissima *cursus duplicati stadii*, hujusque certaminis nomine ceteræ quatuor *Quinquertii* partes synecdochice continentur: ἀπὸ μέρους, ut aiunt, τὸ ὅλον. Orestes hìc fingitur primum vicisse *stadio*, postea eodem die *pentathlo* certasse, qua in commissione quinque conjunctorum certaminum, victor omnium renuntiatus est. Idem contigit Xenophonti Corinthio, cujus laudes cecinit Pindarus Olympion. xiii. Exstat vetus Epigramma εἰς τὸ πένταθλον apud Eustathium p. 1320. et in Analectis nostris, tom. iii. p. 247. Ἅλμα ποδῶν, δίσκου τε βολὴ, καὶ ἄκοντος ἱερὴ, Καὶ δρόμος, ἠδὲ πάλη· μία δ' ἔπλετο πᾶσι τελευτή. Verti debuit: *Quorumcunque enim certaminum a ludorum arbitris indicta fuere pro more quinquertia, horum* etc.

699. τέλλοντος. gl. ἀνατέλλοντος.

703. Θεσσαλὰς ἔχων. In D. ἄγων, quæ lectio in T. alteri superscripta.

706. Αἰνιάν. et infra, 724. Αἰνιᾶνος. Perperam Aldus et plerique codd. habent Αἰνιὰν et Αἰνιᾶνος, ut scriptum est etiam in Triclinii recensione. In meo emendate Αἰνιάν, Αἰνιᾶνος, quod asserit Eustathius ad Homeri catalogum p. 335. Vide Stephanum Byzant. in Αἰνία—λεύκιππος perperam ab editoribus acceptum fuisse videtur pro nomine proprio. Epitheton est, quo Stesichorum usum fuisse docet Eustathius p. 524.

ἔνατος, Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ', ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλήροις ἔπηλαν, καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ᾖξαν· οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
'φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι
'φείδοντο κέντρων οὐδὲν, ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν, καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων,
ἔχριμπτ' ἀεὶ σύριγγα, δεξιόν τ' ἀνεὶς
σειραῖον ἵππον, εἶργε τὸν προσκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς,
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις·
κἀντεῦθεν ἄλλος ἄλλον, ἐξ ἑνὸς κακοῦ,
ἔθραυε, κἀνέπιπτε· πᾶν δ' ἐπίμπλατο
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον.

719. ἤφριζον. — Hinc Virgilius Georg. iii. 111. Humescunt spumis, flatuque sequentum.

726. τελοῦντες, non ad solum Æni-anem, sed etiam ad Barcæum refertur. Nam Ænian non agebat simul sextum et septimum cursum; sed quum is septimum ageret, sexies jam circumacta meta, tum Barcæus sextum cursum agebat, sicque adversis frontibus in se invicem impegere. Est itaque τελοῦντες nominativus pendens, vice genitivi absoluti. ἐκ δ' ὑποστροφῆς μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις, τελούντων αὐτῶν ἤδη ἕκτον καὶ ἕβδομον δρόμον. In curulibus certaminibus duodecies circa metam flectebantur equi. Inde curules victorias Pindarus appellat ἄνθεα τεθρίππων δυωδεκαδρόμων: et metam, δωδεκάγναμπτον τέρμα δρόμου ἵππων.

727. συμπαίουσι. Mendose Aldus συμπταίουσι.

πταίσας· ἔθραυσε δ' ἄξονος μέσας χνόας,
κἀξ ἀντύγων ὤλισθε· σὺν δ' ἑλίσσεται
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ
πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον.
στρατὸς δ', ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
οἷ' ἔργα δράσας οἷα λαγχάνει κακά,
φορούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων· ἔς τε νιν διφρηλάται,
μόλις κατασχέθοντες ἱππικὸν δρόμον,
ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κήαντες εὐθὺς, ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
τοιαῦτά τοι ταῦτ' ἐστὶν, ὡς μὲν ἐν λόγοις,
ἀλγεινὰ, τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν,
μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν.

**ΧΟ.** φεῦ, φεῦ· τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
πρόῤῥιζον, ὡς ἔοικεν, ἔφθαρται γένος.

**ΚΛ.** ὦ Ζεῦ, τί ταῦτα; πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.

**ΠΑΙ.** τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;

**ΚΛ.** δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ καὶ μακῶς

757. κήαντες. Sic Aldus et veteres codd. omnes, partim ut edidimus, partim cum ι subscripto. κῄαντες. In C. a prima manu scriptum fuerat καίαντες. In Triclinii recensione est κείαντες. Homerica forma est ἔκηα, unde participium κήας. Magis Atticum videri possit κέαντες, quod in Euripidis Rheso ex codd. auctoritate restituit Musgravius: 'Αλλ' ἐκκέαντες πύρσ' ἐπ' εὐσέλμων νεῶν. Vide Piersonum ad Mœridem p. 231.

770. δεινὸν τὸ τίκτειν ἐστίν. Comicus in Lysistr. 884. οἷον τὸ τεκεῖν. Vulgo legitur οὐδὲ γὰρ κακῶς πάσχοντι. Nimis languidum est istud γάρ. Pro τίκτειν Triclinius habet τίκτει, quod in D. superscriptum. Vide not. ad Œd. Col. 393.

πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται.
ΠΑΙ. μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
ΚΛ. οὔ τοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις;
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς,
μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς, φυγὰς
ἀπεξενοῦτο· κἄμ', ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκ ἔτ' εἶδεν· ἐγκαλῶν δ' ἐμοὶ
φόνους πατρῴους, δείν' ἐπηπείλει τελεῖν·
ὥστ' οὔτε νυκτὸς ὕπνον, οὔτ' ἐξ ἡμέρας,
ἐμὲ στεγάζειν ἡδύν· ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ', (ἡμέρᾳ γὰρ τῇδ' ἀπήλλαγμαι φόβου
πρὸς τῆσδ', ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα.) νῦν ἕκηλά που,
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ', ἡμερεύσομεν.
ΗΛ. οἴ μοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφορὰν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζῃ μητρός. ἆρ' ἔχει καλῶς;
ΚΛ. οὔ τοι σύ· κεῖνος δ', ὡς ἔχει, καλῶς ἔχει.
ΗΛ. ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως.
ΚΛ. ἤκουσεν ὧν δεῖ, κἀπεκύρωσεν καλῶς.
ΗΛ. ὕβριζε. νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
ΚΛ. οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε.
ΗΛ. πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
ΚΛ. πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,

783. νῦν δὲ—νῦν ἕκηλά που. Intermedia in parenthesi sunt. Eleganter repetitur, ut sæpe, adverbium νῦν: sed addita posteriore loco particula δὲ venustatem omnem sustulerat. In D. scriptum νῦν δὴ ἕκηλά που, quod vulgato melius non est.

792. Νέμεσι. Sic Aldus et præstantissimi e veteribus codd. In aliis Νέμεσις. τοῦ θανόντος jungendum cum Νέμεσι, non cum ἄκουε. Ineptum scholion quod ad hunc versum vulgavit Johnsonus, consulto omisimus.

797. πολλῶν ἂν ἥκοις. Perperam

εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
ΠΑΙ. οὐκοῦν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ.
ΚΛ. ἥκιστ'· ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πράξειας, οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοσθεν βοᾶν
ἔα τά θ' αὐτῆς, καὶ τὰ τῶν φίλων κακά.
ΗΛ. ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ' ἐγγελῶσα φροῦδος. ὦ τάλαιν' ἐγώ·
Ὀρέστα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενός,
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε,
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη,
καὶ πατρός. ἢ δὴ δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοί,
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος ἔσσομ'· ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτήν, ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα, καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μέν, ἢν θάνω,
λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.
ποῦ ποτε κεραυνοὶ Διός, ἢ    στροφὴ α΄.

in August. et in Triclinii recensione ἥκεις. In E. εἴης, quod e glossa quam edidimus, ortum.

814. Perperam vulgo distinctum καὶ πατρὸς ἤδη. Particulæ ἢ δὴ in unam vocem librarii errore coaluerant.

821. ἂν θάνω. Sic optime legebat Scholiastes, quem vide ad v. 975. Tragici exemplaria habent ἂν κτάνῃ. Quanto præstantior sit nostra lectio ex membrorum diserta oppositione apparet: χάρις ἂν θάνω, λύπη ἐὰν ζῶ.

823. Hic versus et tres sequentes vulgo tribuuntur Choro, manifesto errore. Ab Electra eos proferri debuisse liquet ex Chori subjecta admonitione μηδὲν μέγ' ἀΰσῃς, quæ ad ista

|  |  |
|---|---|
|  | πού φαέθων |
|  | Ἅλιος, εἰ ταῦτ' ἐφορῶντες |
|  | κρύπτουσιν ἕκηλοι; |
|  | ἒ, ἕ· αἶ, αἶ. |
| ΧΟ. | ὦ παῖ, τί δακρύεις; |
| ΗΛ. | φεῦ. |
| ΧΟ. | μηδὲν μέγ' ἀΰσῃς. |
| ΗΛ. | ἀπολεῖς. |
| ΧΟ. | πῶς; |
| ΗΛ. | εἰ τῶν φανερῶς οἰχομένων εἰς |
|  | Ἀΐδαν ἐλπίδ' ὑποίσεις, κατ' ἐμοῦ |
|  | τακομένας μᾶλλον ἐπεμβάσει. |
| ΧΟ. | οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων  ἀντιστρ. α'. |
|  | χρυσοδέτοις |
|  | ἕρκεσι κρυφθέντα γυναικῶν· |
|  | καὶ νῦν ὑπὸ γαίας --- |
| ΗΛ. | ἒ, ἕ. ἰώ. |
| ΧΟ. | πάμψυχος ἀνάσσει. |
| ΗΛ. | φεῦ. |
| ΧΟ. | φεῦ δῆτ'· ὀλοὰ γάρ. |
| ΗΛ. | ἐδάμη --- |
| ΧΟ. | ναί. |
| ΗΛ. | οἶδ', οἶδ'· ἐφάνη γὰρ μελέτωρ ἀμ- |
|  | φὶ τὸν ἐν πένθει· ἐμοὶ δ' οὔ τις ἔτ' ἔσθ'· |

Electræ verba refertur. Inepte Johnsonus vertit, *ne altum nimis clamaveris.* Recte glossa: *μηδὲν ἀπρεπὲς εἰς τοὺς θεοὺς εἴπῃς.* Vide scholia ad Aj. 386.

838. *ἕρκεσι κρυφθέντα γυναικῶν*, *mulierum laqueis irretitum, captum obrutum.* Allusio esse possit ad monile Eriphylæ datum. Addita in Aldina et in codd. vox *ἀπάταις* a mala manu est et ejici debuit: tam sententiæ inutilis est quam metro.

841. *πάμψυχος ἀνάσσει.* Cicero de Divinatione i. 40. Amphiaraum autem sic honoravit fama Græciæ, Deus ut haberetur, atque ut ab ejus solo, in quo est humatus, oracula peterentur. *πάμψυχος* glossa exponit *ζῶν*, recte. *ὁ κατὰ πάντα τρόπον ζῶν.* Nempe quia, ut Homerus ait de Tiresia, *Τῷ καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια Οἴῳ πεπνύσθαι· τοὶ δὲ, σκιαὶ ἀΐσσουσιν.*

ὃς γὰρ ἔτ' ἦν, φροῦδος ἀναρπασθείς.
ΧΟ. δειλαία δειλαίων κυρεῖς. στροφὴ β'.
ΗΛ. κἀγὼ τοῦδ' ἴστωρ, ὑπερίστωρ,
πανσύρτῳ παμμήνῳ πολλῶν
δεινῶν τε στυγνῶν τ' ἀχέων.
ΧΟ. εἴδομεν ἃ θροεῖς.
ΗΛ. μή μέ νυν μηκέτι
παραγάγῃς ἵν' οὐ ---
ΧΟ. τί φῄς;
ΗΛ. πάρεισιν ἐλπίδων
ἔτι κοινοτόκων
εὐπατριδᾶν τ' ἀρωγοί.
ΧΟ. πᾶσι θνατοῖς ἔφυ μόρος. ἀντιστρ. β'.
ΗΛ. ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις
οὕτως, ὡς κείνῳ δυστάνῳ,
τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
ΧΟ. ἄσκοπος ἁ λώβα.
ΗΛ. πῶς γὰρ οὔκ; εἰ ξένος
ἄτερ ἐμᾶν χερῶν ---
ΧΟ. παπαί.

849. δειλαία δειλαίων κυρεῖς. *Misera miserarum*, id est, *miserrima es.* Perperam Johnsonus vertit: *misera, miserias sustines.* Geminatio ejusdem adjectivi pro superlativo est. Vide ad Œd. T. 465.

852. In Aldina δεινῶν στυγνῶν τ' ἀχέων. et sic codd. metro claudicante. Oportuit δεινῶν τε, quod jam vidit Heathius. In membr. librarii errore frequentissimo, quo αι et ε confunduntur, scriptum ἀχαίων. Reliqui omnes veteres habent, ut Aldus, ἀχέων. Glossa in E. ἀλγῶν. In mendosum codicem incidit Triclinius nec adeo catus fuit ut mendam animadverteret: inde fecit Ἀχαιῶν, variamque lectionem, nescio unde enotatam, apposuit: γρ. ἀρχαίων. Hoc *metro convenire, et ad sententiam non ineptum esse* dicit Heathius. Ineptissimus itaque sim ego, qui non videam quo pacto ἀρχαίων stare possit, id est quid sibi velint quatuor adjectiva sine substantivo. ἀρχαίων e Triclinii cerebello prodiisse affirmo, nec unquam in ullo Tragici probo exemplari exstitisse. πανσύρτῳ παμμήνῳ accipe pro διὰ τὸ πάνσυρτον καὶ τὸ πάμμηνον.

856. τί φῄς; additum in Aldina et in veteribus codd. αὐδᾷς δὲ ποῖον; ineptum centonem a mala manu assutum fuisse nemo non videt.

866. ἄτερ ἐμᾶν χερῶν. Sic bene codd. ut metrum flagitat. Mendose Aldus χειρῶν.

ΗΛ. κἄκευθεν, οὔτε του
τάφου ἀντιάσας,
οὔτε γόων παρ' ἡμῶν.

ΧΡ. Ὑφ' ἡδονῆς σοι, φιλτάτη, διώκομαι,
τὸ κόσμιον μεθεῖσα, σὺν τάχει μολεῖν.
φέρω γὰρ ἡδονάς τε, κἀνάπαυλαν ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.

ΗΛ. πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;

ΧΡ. πάρεστ' Ὀρέστης ἡμῖν, ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ' ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.

ΗΛ. ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς;

ΧΡ. μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.

ΗΛ. οἴ μοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ', ὧδε πιστεύεις ἄγαν;

ΧΡ. ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου, σαφῆ
σημεῖ' ἰδοῦσα, τῷδε πιστεύω λόγῳ.

ΗΛ. τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν; ἐς τί μοι
βλέψασα, θάλπῃ τῷδ' ἀνηκέστῳ πυρί;

ΧΡ. πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσ' ἐμοῦ,
τὸ λοιπὸν ἢ φρονοῦσαν, ἢ μώραν λέγῃς.

871. ὑφ' ἡδονῆς σοι. Aldus et codd. σου male. Vide supra ad v. 378. Eleganter abundat σοὶ, ut sæpe. Accipi etiam potest pro σοῦ χάριν, vel pro πρὸς σέ.

878. ἐναργῶς cum πάρεστι jungendum, non cum κλύουσα. gl. πάρεστι φανερῶς, ὥσπερ ὁρᾷς ἐμὲ ἐναργῶς παροῦσαν.

879. ἀλλ' ἦ. Sic codices alii. In membr. ἀλλ' ἢ cum signo tamen interrogationis in fine sententiæ. Ista quid differant, docebit te Valckenarius ad Hippol. 932.

888. ἀνηκέστῳ. δεινῷ, μανιώδει. In Aj. 52. ἀνήκεστον χαράν. Homericum est epitheton. Il. ο'. 217. Ἴστω τοῦθ' ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται. ad quem locum Eustathius: Ὅρα καὶ τὸ ἀνήκεστος. ὡς ἐπὶ νόσου γὰρ δεινῆς, τοῦ χόλου, ἐῤῥέθη αὐτό. et E. 394. Τόντε κέν μιν ἀνήκεστον λάβεν ἄλγος. In Œd. T. 98. propria significatione adhibetur: ἀνήκεστον μίασμα, id est ἀθεράπευτον.

ΗΛ. σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
ΧΡ. καὶ δὴ λέγω σοι πᾶν, ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεοῤῥύτους
πηγὰς γάλακτος, καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ,
μή που τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεωρῆ βόστρυχον τετμημένον·
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ ξύνηθες ὄμμα, φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·
καὶ χερσὶ βαστάσασα, δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι,
μή του τόδ' ἀγλάϊσμα, πλὴν κείνου, μολεῖν.
τῷ γὰρ προσήκει, πλήν γ' ἐμοῦ καὶ σοῦ, τόδε;
κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,
οὐδ' αὖ σύ. πῶς γάρ; ᾗ γε μηδὲ πρὸς θεοὺς
ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν, οὔτε δρῶσ' ἐλάνθαν' ἄν·

896. πάντων. Glossa omissam præpositionem supplet ἀπὸ, et κύκλῳ abundare docet. Superscriptum περισσόν. θήκην exponit τὸν τάφον.

901. νεωρῆ nihil aliud significat quam νέον, ut Œd. Col. 730. Hic vice adverbii νεωστὶ adhibetur. νεωρὸν apud Hesychium perperam scriptum pro νεαρόν.

914. οὔτε δρῶσ' ἐλάνθαν' ἄν. Sic ex indole linguæ omnino legendum. Solœce vel inepte vulgo οὔτε δρῶσ' ἐλάνθανεν, quod significaret Clytæmnestram fecisse id, quod plane fecisse neganda est. Ex vi sententiæ vertit Johnsonus, *neque, si fecisset, latuisset*, quem quidem sensum Græca ab Heathio dudum emendata fundunt. Nihil verius hac lectione, quidquid ogganniat Parisinus editor. Quam sæpe imperiti librarii potentialem ἂν omiserint, indices nostri ostendunt in Aristophanem et Sophoclem.

ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια.
ἄγ', ὦ φίλη, θάρσυνε. τοῖς αὐτοῖσί τοι
οὐχ ὡὑτὸς αἰεὶ δαιμόνων παραστατεῖ.
νῷν δ' ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.

ΗΛ. φεῦ τῆς ἀνοίας. ὥς σ' ἐποικτείρω πάλαι.
ΧΡ. τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;
ΗΛ. οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρῃ.
ΧΡ. πῶς δ' οὐκ ἐγὼ κάτοιδ', ἅ γ' εἶδον ἐμφανῶς;
ΗΛ. τέθνηκεν, ὦ τάλαινα· τἀκείνου δέ σοι
σωτήρι' ἔῤῥει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.
ΧΡ. οἴ μοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;
ΗΛ. τοῦ πλησίον παρόντος, ἡνίκ' ὤλλυτο.
ΧΡ. καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοι μ' ὑπέρχεται.
ΗΛ. κατ' οἶκον, ἡδὺς, οὐδὲ μητρὶ δυσχερής.
ΧΡ. οἴ μοι τάλαινα. τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν
τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
ΗΛ. οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινά.

916. ἄγ', ὦ φίλη. Male vulgo legitur ἀλλ' ὦ φίλη. Istud ἀλλ' ab oscitante librario e præcedenti versu repetitum fuit. Valckenario obsecutus sum bene monenti ad Hippol. 288. θάρσυνε. Verbum hoc quod transitive solet adhiberi, hic neutrum est, et passive significat. Vide Musgravium ad Euripidis Rhesum 639. Heracl. 16. et quæ notavimus ad Or. 269. Bacchas 1041.

917. οὐχ ὡὑτὸς αἰεί. Perperam in libris οὐκ αὐτός. Vide ad Philoct. 521. Ut αὐτοῖσι, absque articulo τοῖς, nihil aliud significaret quam *illis, ipsis,* nequaquam vero accipi posset pro *iisdem*; ita αὐτὸς sine articulo nihil aliud esset quam *ille, ipse*, non vero, quod sententia flagitat, *idem*.

919. κῦρος. gl. βεβαίωσις.

921. πρὸς ἡδονήν. gl. ἡδέως καὶ τερπνῶς. Sic supra, 369. πρὸς ὀργήν. Cum variis substantivis πρὸς adverbii vicem fungitur. Vide supra ad v. 464.

923. κάτοιδα. gl. ἀκριβῶς γιγνώσκω.

924. τἀκείνου, id est τὰ ἐκείνου, ut ob crasin prima longa sit. Sic accurate scriptum est in codd. Perperam in impressis τὰ κείνου, metro ruente. Facillimam emendandi rationem Canterum fugisse miror, qui Var. Lect. iv. 29. τἀκ κείνου legendum decernit.

933. τινά. gl. ἀνθρώπων φίλον δηλαδή.

ΧΡ. ὦ δυστυχής. ἐγὼ δὲ σὺν χαρᾷ λόγους
τοιούσδ᾽ ἔχουσ᾽ ἔσπευδον, οὐκ εἰδυῖ᾽ ἄρα
ἵν᾽ ἦμεν ἄτης· ἀλλὰ νῦν, ὅθ᾽ ἱκόμην,
τά τ᾽ ὄντα πρόσθεν, ἄλλα θ᾽ εὑρίσκω κακά.
ΗΛ. οὕτως ἔχει σοι ταῦτ᾽· ἐὰν δ᾽ ἐμοὶ πίθῃ,
τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
ΧΡ. ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
ΗΛ. οὐκ ἔσθ᾽ ὅ γ᾽ εἶπον· οὐ γὰρ ὧδ᾽ ἄφρων ἔφυν.
ΧΡ. τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;
ΗΛ. τλῆναί σε δρῶσαν ἃ ᾽ν ἐγὼ παραινέσω.
ΧΡ. ἀλλ᾽ εἴ τις ὠφέλειά γ᾽, οὐκ ἀπώσομαι.
ΗΛ. ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.
ΧΡ. ὁρῶ. ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένω.
ΗΛ. ἄκουε δὴ νῦν, ᾗ βεβούλευμαι τελεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων
ὡς οὔ τις ἡμῖν ἐστιν, ἀλλ᾽ ᾍδης λαβὼν
ἀπεστέρηκε, καὶ μόνα λελείμμεθον.
ἔγωγ᾽, ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντά γ᾽ εἰσήκουον, εἶχον ἐλπίδας,
φόνου ποτ᾽ αὐτὸν πράκτορ᾽ ἵξεσθαι πατρός·
νῦν δ᾽ ἡνίκ᾽ οὐκ ἔτ᾽ ἐστὶν, εἰς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
ξὺν τῇδ᾽ ἀδελφῇ μὴ κατοκνήσεις κτανεῖν,

943. ἃ ᾽ν, id est ἃ ἄν. In codd. sic fere scribi solet, ἅ᾽ν, quæ quidem scriptura melior. Quippe quum duæ voculæ per crasin in unam coalescant, geminato accentu usus non est. In codd. autem omnibus, etiam in Tricliniano, scriptum est, ut edidimus, ἅ᾽ν ἐγὼ παραινέσω, ut nesciam unde in Aldinam irrepserit pronomen σ᾽, quod a male feriato homine insertum fuit sustentando versui, qui hoc fulcro non indiget.

951. ἔγωγ᾽—Vulgo minus bene ἐγὼ δ᾽—Mox legitur in impressis, et plerisque codd. βίῳ θάλλοντά τ᾽ εἰσήκουον. Copulæ non est locus, nisi post βίῳ distinguatur, hocque nude positum censeatur per ellipsin præpositionis ἐν, ut sit: ἕως εἰσήκουον τὸν κασίγνητον ἐν τῷ βίῳ, καὶ θάλλοντα. Et sic quidem glossa exponit. In Trach. 235. καὶ ζῶντα, καὶ θάλλοντα. Sed duriuscula videtur phrasis; idcirco prætuli lectionem cod. D. βίῳ θάλλοντά γ᾽ εἰσήκουον.

953. πράκτορα. gl. ἀπαιτητὴν, ἐκδικητήν.

956. ὅπως μὴ κατοκνήσεις. Sic li-

Αἴγισθον. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
ποῖ γὰρ μενεῖς ῥάθυμος; ἐς τίν' ἐλπίδων
βλέψασ' ἔτ' ὀρθήν; ᾗ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,
πάρεστι δ' ἀλγεῖν, ἐς τοσόνδε τοῦ χρόνου
ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.
καὶ τῶνδε μέν τοι μηκέτ' ἐλπίσῃς ὅπως
τεύξει ποτ'. οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ
Αἴγισθος, ὥστε σόν ποτ' ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὐτῷ σαφῆ.
ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσει, τοῦ κασιγνήτου θ' ἅμα·
ἔπειτα δ', ὥσπερ ἐξέφυς, ἐλευθέρα
καλεῖ τὸ λοιπὸν, καὶ γάμων ἐπαξίων
τεύξει. φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾷν.
λόγῳ γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν
τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται;
Ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,

quido in membr. et in E. ad Attici sermonis normam. Solœce vulgo κατακτήσῃς. Legitimam particularum ὅπως μὴ cum futuro indicativi constructionem, sæpius a nobis adstructam, ignorarunt homines plerique, qui Græcos auctores notis onerarunt magis quam illustrarunt. Vide quas nugas agat Reitzius ad Luciani Anacharsidem p. 896. ubi legitur optime: καὶ ὅπως μὴ, καθάπερ νόμοις, προσέξεις οἷς ἂν λέγω πρὸς σέ.

962. ἄλεκτρα, ἀνυμέναια. Neutra pluralia pro adverbiis.

977. τώδε τὼ κασιγνήτω. Nihil notius hoc schemate. Vide Indicem in ΤΩ ΧΕΙΡΕ. Multus est ad Homeri versum in scholiis laudatum Clarkius, cujus in longiori nota vix quidquam est sani. Diversas loquendi formas confundit in quibus nihil est simile. Masculinus articulus cum feminino substantivo jungitur tantum in duali. τούτους de duabus feminis nemo Græce dixit. Pausaniæ locus qui laudatur in mendo cubat, et a Clarkio male fuit intellectus. De duobus Niobes liberis, quibus Latonæ pepercit ira, ibi agitur, Melibœa puella, cui Chloris inditum postmodo nomen, et Amycla, qui mas fuit, non femina. Hoc cum

ὢ τὸν πατρῷον οἶκον ἐξεσωσάτην,
ὣ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ,
ψυχῆς ἀφειδήσαντε, προὐστήτην φόνου.
τούτω φιλεῖν χρὴ, τώδε χρὴ πάντας σέβειν·
τώδ' ἔν θ' ἑορταῖς, ἔν τε πανδήμῳ πόλει
τιμᾶν ἅπαντες, οὕνεκ' ἀνδρείας, χρεών. —
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρὶ,
ξύγκαμν' ἀδελφῷ, παῦσον ἐκ κακῶν ἐμὲ,

aliunde colligi potest, tum ex ipsius Pausaniæ loco p. 417. Χλωρὶς Ἀμφίονος θυγάτηρ μόνη λειφθεῖσα τοῦ οἴκου σὺν δὲ αὐτῇ καὶ ἵνα περιγίνεσθαί φασι τῶν ἀρσένων. Itaque de mare et puella agens rite dixit l. ii. cap. 21. ΤΟΥΤΟΥΣ δέ φασιν Ἀργεῖοι τὸ ἐξαρχῆς οἰκοδομῆσαι τῇ Λητοῖ τὸν ναὸν, quemadmodum paulo ante dicere debuit περιγενέσθαι δὲ ΕΥΞΑΜΕΝΟΥΣ τῇ Λητοῖ, ubi mendose ex librarii errore legitur εὐξαμένας. Diversum est schema, quum mulier de se ipsa loquens numero plurali, pronomine, vel adjectivo, vel participio masculino utitur, nunquam, apud Atticos saltem, feminino. De hoc schemate egimus ad Antig. 926. cujus exemplum est supra, 399. Πεσούμεθ', εἰ χρὴ, πατρὶ τιμωρούμενοι. De se sola Electra loquitur. Hecuba apud Euripidem in cognomine fabula v. 511. quum ait οὐκ ἄρ' ὡς θανουμένους μετῆλθες ἡμᾶς; non *de se ipsa et filia* loquitur, ut falso tradit Clarkius, sed de se sola. Dicere non posset, nisi solœce admodum θανούμενον ἐμέ; et invenuste prorsus diceret θανουμένας ἡμᾶς. Exempla ubi ad νέκυς et νεκρὸς structura refertur, ἀπροσδιόνυσα sunt, quia *cadaver* sive maris sive feminæ, nihil unquam aliud est quam *cadaver*. Nec saniori judicio exemplum e Comici Concionantibus petitum, ubi mulieres viros se esse assimulantes e virorum persona loqui debent. Plautus *Quis ea est* bene dixit ætatis suæ more. Nam veteribus Latinis *quis* utriusque generis est, ut ablativus *qui*. θεὸς Græcis utriusque generis est, quorum ex imitatione Virgilius dixit de Venere, *ducente Deo*: et hoc tamen nihil ad rem facit, siquidem ibi nulla est structuræ varietas, nec generis enallage, qualis in τώδε κασιγνήτω. Nam sive *deo*, sive *dea* scripserit Virgilius, semper manserit *ducente*. Quam aliena ista omnia sint a schemate de quo hic agitur, ostendere volui, quia ista Clarkii nota sæpe doctos viros abusos fuisse animadverti, quo insulsissimas conjecturas, seu vitii manifestas lectiones tuerentur. Vide quæ notavi ad Antig. 986.

979. εὖ βεβηκόσιν. Hesychius: εὖ βεβηκότι, εὐσταθεῖ.

983. οὕνεκ' ἀνδρείας. Sic scriptum est etiam in Triclinii recensione. Turnebus tamen dedit ἀνδρίας.

985. μὴ 'κλιπεῖν. Perperam in veteribus codd. μὴ λιπεῖν, vera lectione glossæ loco superscripta ἐκλιπεῖν.

παῦσον δὲ σαυτὴν, τοῦτο γιγνώσκουσ', ὅτι
ΖΗΝ ΑΙΣΧΡΟΝ ΑΙΣΧΡΩΣ ΤΟΙΣ ΚΑΛΩΣ ΠΕΦΥΚΟΣΙΝ.

ΧΟ. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία
καὶ τῷ λέγοντι, καὶ κλύοντι σύμμαχος.

ΧΡ. καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὐτὴ μὴ κακῶν, ἐσώζετ' ἂν
τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σώζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα, τοιοῦτον θράσος
αὐτή θ' ὁπλίζῃ, κἄμ' ὑπηρετεῖν καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ μὲν, οὐκ ἀνὴρ ἔφυς·
σθένεις δ' ἔλασσον τῶν ἐναντίων χερί.
δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀποῤῥεῖ, κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν, τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν,
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
ὅρα, κακῶς πράσσοντε μὴ μείζω κακὰ
κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει γὰρ ἡμᾶς οὐδὲν, οὐδ' ἐπωφελεῖ,
βάξιν καλὴν λαβόντε, δυσκλεῶς θανεῖν.
οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις, εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι, κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
ἄῤῥητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι·

994. τὴν εὐλάβειαν. gl. τὴν αἰδῶ τὴν ἑαυτῆς.

997. οὐκ ἀνήρ. Sic bene in D. ut et in Triclinii recensione. In ceteris, ut apud Aldum, οὐδ' ἀνήρ. Mox χερὶ codd. omnium, præter Triclinii, lectio est. Perperam in libris ἔλαττον.

1005. λύει, subaudito τέλη, λυσιτελεῖ. Plene dixit in Œdipo T. 316. ἔνθα μὴ τέλη λύει. Nude sic posito λύει utitur Euripides Medea, 571. 1112. 1362. Alcestide, 639.

1007. ὅταν θανεῖν χρῄζων τις. Ex vi sententiæ intelligitur supplendum esse adverbium εὐκλεῶς.

αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτὲ,
σθένουσα μηδὲν, τοῖς κρατοῦσιν εἰκάθειν.
ΧΟ. * πιθοῦ. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.
ΗΛ. ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς δ'
ἤδη σ' ἀποῤῥίψουσαν ἀπηγγελλόμην.
ἀλλ' αὐτοχειρί μοι, μόνῃ τε δραστέον
τοὖργον τόδ'· οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.
ΧΡ. φεῦ·
εἴθ' ὤφελες τοιάδε τὴν γνώμην, πατρὸς
θνήσκοντος, εἶναι· πᾶν γὰρ ἂν κατειργάσω.
ΗΛ. ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νοῦν ἥσσων τότε.
ΧΡ. ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
ΗΛ. ὡς οὐχὶ συνδράσουσά νουθετεῖς τάδε.
ΧΡ. εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς.
ΗΛ. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
ΧΡ. ἀνέξομαι κλύουσα, χὤταν εὖ λέγῃς.
ΗΛ. ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.

* πίθου edd. 1. 2.

1015. πιθοῦ. Sic recte in C. In aliis libris πίθου minus Attice.

1018. ἤδη. Perperam in codd. et in impressis ἤδειν. Vide ad Œd. T. 433. Librorum veterum auctoritas hic si desideraretur, confirmari posset nostra lectio scriptura codicis Eclogarum nominum Atticorum Thomæ Mag. in quo legitur ἤδη. Idem Grammaticus ἐπαγγέλλεσθαι hic αἰτεῖν significare declarat, quo sensu verbum illud adhibuit Xenophon Memorab. Socratis i. 2. 8. Σωκράτης δ' ἐπηγγείλατο μὲν οὐδενὶ πώποτε τοιοῦτον οὐδέν. ubi a sensu plane aberravit interpres.

1022. πᾶν γὰρ ἂν κατειργάσω. Aldus πάντα γὰρ κατειργάσω, et sic codd. ad unum omnes. In solo C. sinceræ lectionis remansit vestigium: πάντα γὰρ ἂν κατειργάσω. Perperam πάντα scriptum fuit pro πᾶν, qui admissus error alteri ortum dedit, nempe ut extruderetur metro officiens, particula ἂν, quæ, salvo sensu, per linguæ indolem abesse non potest. Nam πάντα κατειργάσω nihil aliud valet, quam *omnia confecisti*: neutiquam vero *omnia confecisses*. Vide supra ad v. 914. et quæ notavi ad Æschyli Prom. 622.

1026. πράσσειν. Sic emendate scriptum in membr. E. et meo. Perperam Aldus πράττειν.

1029. μὴ πάθῃς. Sic optime membr. et E. estque in D. etiam hæc lectio alteri inde depravatæ μάθῃς superscripta. Sic apud Comicum sæpe scriptum τί μαθών; ubi oportuit τί παθών;

ΧΡ. μακρὸς τὸ κρῖναι ταῦτα χῶ λοιπὸς χρόνος.
ΗΛ. ἄπελθε. σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
ΧΡ. ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.
ΗΛ. ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
ΧΡ. οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ΗΛ. ἀλλ' οὖν ἐπίστω γ' οἷ μ' ἀτιμίας ἄγεις.
ΧΡ. ἀτιμίας μὲν οὔ, προμηθείας δέ σου.
ΗΛ. τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
ΧΡ. ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν.
ΗΛ. ἦ δεινὸν, εὖ λέγουσαν ἐξαμαρτάνειν.
ΧΡ. εἴρηκας ὀρθῶς, ᾧ σὺ πρόσκεισαι κακῷ.
ΗΛ. τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
ΧΡ. ἀλλ' ἔστιν, ἔνθα χ' ἡ δίκη βλάβην φέρει.
ΗΛ. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
ΧΡ. ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛ. καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε.
ΧΡ. καὶ τοῦτ' ἀληθὲς, οὐδὲ βουλεύσει πάλιν;
ΗΛ. βουλῆς γάρ ἐστιν οὐδὲν ἔχθιον κακῆς.
ΧΡ. φρονεῖν ἔοικας οὐδὲν, ὧν ἐγὼ λέγω.
ΗΛ. πάλαι δέδοκται ταῦτα, κοὐ νεωστί μοι.
ΧΡ. ἄπειμι τοίνυν. οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
ΗΛ. ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς· ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
ΧΡ. ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.

## ΧΟΡΟΣ.

Τί τοὺς ἄνωθεν φρονιμωτάτους στροφὴ α'.

1047. ἐστιν οὐδὲν—Hoc ordine collocatæ voces in D. concinnius quam in aliis οὐδέν ἐστιν.

1053. ἢν τυγχάνῃς. Sic Aldus et codd. veteres recte. In Triclinii recensione scriptum εἰ τυγχάνεις.

οἰωνοὺς ἐσορώμενοι
τροφᾶς κηδομένους, ἀφ' ὧν τε
βλαστῶσιν, ἀφ' ὧν τ' ὄνασιν εὕρω-
σι, τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν;
ἀλλ', οὐ τὰν Διὸς ἀστραπὰν
καὶ τὰν οὐρανίαν Θέμιν,
δαρὸν οὐκ ἀποίνητοι.
ὦ χθονία βροτοῖσι φάμα,
κατά μοι βόασον οἰκτρὰν
ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις,
ἀχόρευτα φέρουσ' ὀνείδη·
ὅτι σφίσ' ἤδη τὰ μὲν ἐκ δόμων ἀντιστρ. α'.
νοσεῖ· τὰ δὲ πρὸς τέκνων
διπλῆ φύλοπις οὐκ ἔτ' ἐξι-
σοῦται φιλοτασίῳ διαίτᾳ.

1060. τροφᾶς κηδομένους, ἀφ' ὧν—Id est τῆς τροφῆς ἐκείνων, ἀφ' ὧν—In meo scriptum τροφὰς, et in margine τροφούς. Unde olim non male conjecisse mihi videbar τροφῶν, *parentum*. Postmodo nihil mutandum esse vidi.

1061. ὄνασιν. Dorismum in hac voce usitatam restitui. Minus bene in libris ὄνησιν.

1063. In Aldina et in veteribus codd. οὐ μὰ τὰν—Verum μὰ non admittit metrum, et salva phrasi abesse potest. Vide ad Œd. T. 660.

1065. δαρὸν οὐκ ἀποίνητοι. Aldus et codd. omnes ad unum habent δαρὸν οὐκ ἀπόνητοι. In D. ἀποίνητοι, cum glossa, ἀτιμώρητοι. Triclinii interpolatio est, quam Turnebus repræsentavit, δαρὸν γὰρ οὐκ ἀπόνητοι. Superscripta in cod. glossa: ἄλυποι, ἀτιμώρητοι. ἔσονται δηλονότι οἱ τοιοῦτοι. Nec particulam γὰρ, nec ἄρ', quam illi substituit Canterus, liber ullus antiquus agnoscit. ἀποίνητοι primum comparuit in editione Juntina, unde hanc lectionem revocavit H. Stephanus, et merito quidem: est enim altera probabilior. Sed sive ἀπόνητοι, sive ἀποίνητοι legatur, nunquam hic versus alieni mangonii expers cum antistrophico congruet, qui trimeter est dactylicus: Ἁ πανόδυρτος ἀηδών. Nugatur enim cum magistro suo, qui Heathii notam in pauciora verba contraxit Parisinus editor, primam in ἀηδὼν produci affirmans. Metra sibi invicem respondere non possunt, nisi legatur: Δαρὸν ἄρ' οὐκ ἀπόνητοι. Nec sane video quî hac scriptura corrumpatur sententia: *haud longe aberit, quum laboribus et molestiis exercebuntur.*

1067. κατά μοι βόασον. Abundat μοι, ut sæpe, eleganter.

1070. σφίσ' ἤδη. Perperam in Aldina et veteribus codd. σφίσιν. In D. σφίσι γ'.

1071. νοσεῖ. Sic libri veteres omnes. Triclinius æquandi metrorum studio νοσεῖ δή.

προδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ, πατρὸς
δειλαία, στενάχουσ', ὅπως
ἁ πανόδυρτος ἀηδὼν,
οὔτε τι τοῦ θανεῖν προμηθής,
τό τε μὴ βλέπειν ἑτοίμα,
διδύμαν ἑλοῦσ' ἐρινύν.
τίς ἂν εὔπατρις ὧδε βλάστοι;
οὐδεὶς τῶν ἀγαθῶν, ζῶν κακῶν, στροφὴ β'.
εὔκλειαν αἰσχύναι θέλει
νώνυμος, ὦ παῖ, παῖ,
ὡς καὶ σὺ πάγκλαυστον αἰ-
ῶνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα,
δύο φέρειν ἐν ἑνὶ λόγῳ,
σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.
ζώης μοι καθύπερθεν χερὶ, ἀντιστρ. β'.
πλούτῳ τε, τῶν ἐχθρῶν, ὅσον
νῦν ὑπὸ χεῖρα ναίεις·
ἐπεὶ σ' ἐφεύρηκα μοί-

1075. τὸν ἀεὶ, subauditur χρόνον. Genitivus πατρὸς non ab ullo snbstantivo librariorum errore omisso, vel extrinsecus arcessendo, pendet, verum ab adjectivo δειλαία, vel, si mavis, a suppresso ἕνεκα. Sic infra, 1209. ὦ τάλαιν' ἐγὼ σέθεν. Nimis stolide futilem Heathii conjecturam olim receperam, Ἠλέκτρα, οἶτον ἀεὶ πατρὸς δειλαία στενάχουσ'. Glossæ in codd. τὸν ἀεί. χρόνον δηλονότι. δειλαία ἕνεκεν πατρός.

1078. τοῦ θανεῖν. Perperam Eustathius, cujus locum protuli ad Œd. T. 58. legit τοῦ μὴ θανεῖν.

1081. τίς ἂν εὔπατρις. Aldus et veteres codd. male τίς ἂν οὖν.

1087. τὸ μὴ καλὸν καθοπλίσασα, id est καταπολιμήσασα, ut recte Scholiastes exponit. Ea est librorum omnium lectio, cujus loco Heathius legendum censet καθοπλισαμένα, quia supra v. 996. θράσος ὁπλίζεσθαι dicta fuit Electra. Verum ibi vi reciproca verbi medii ὁπλίζῃ significat induis, quod ab hujus loci sententia quantum potest maxime alienum est. Verbo activo et transitivo opus est. Pudet me tam insulsis conjecturis Tragicum olim adulterasse. Paulo ante πάγκλαυστον Aldus et codd. habent veteres. Vide ad Trach. 6-2.

1088. δύο φέρειν ἐν ἑνὶ λόγῳ. Aldus et codd. veteres præpositionem ἐν omittunt, quam metro flagitante reposui. Absorpta fuerat a sequenti voce, quod confirmat glossa ἐν μιᾷ φάσει. Triclinius inficete ἑνί γε λόγῳ.

1091. πλούτῳ τε. Perperam Aldus

ρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν· ἃ δὲ μέγιστ' ἔβλαστε-
νόμιμα, τῶνδε φερομέναν
ἄριστα τᾷ Διὸς εὐσεβείᾳ.

ΟΡ. Ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν,
ὀρθῶς θ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;
ΧΟ. τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;
ΟΡ. Αἴγισθον, ἔνθ' ᾤκηκεν, ἱστορῶ πάλαι.
ΧΟ. ἀλλ' εὖ θ' ἱκάνεις, χῶ φράσας ἀζήμιος.
ΟΡ. τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
ΧΟ. ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡ. ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
ΗΛ. οἴ μοι τάλαιν'. οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;
ΟΡ. οὐκ οἶδα τὴν σὴν κληδόν'· ἀλλ' ἐμοὶ γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛ. τί δ' ἔστιν, ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος.
ΟΡ. φέροντες αὐτοῦ μικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.
ΗΛ. οἳ ἐγὼ τάλαινα, τοῦτ' ἐκεῖν' ἤδη σαφές.
πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
ΟΡ. εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
ΗΛ. ὦ ξεῖνε, δός νυν, πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, ἐς χεῖρας λαβεῖν,

et plerique veteres libri καὶ πλεύτῳ.

1094. ἐν ἐσθλᾷ. Sic Aldus et codd. plerique: in aliis ἐπ' ἐσθλᾷ: quidam neutram præpositionem habent. Supra, 1056. ὅταν ἐν κακοῖς ἤδη βεβήκῃς.

1097. τᾷ Διός. Sic libri omnes veteres. Triclinii imperita audacia Ζηνὸς substituit, pessum dato metro.

1102. εὖ θ' ἱκάνεις. Sic codd. omnes, etiam Triclinii recensio. Turnebus tamen edidit εὖ γ'—

1107. Φωκῆς. Vulgo Φωκεῖς. Illud reposuimus etiam infra v. 1442.

1111. ἐφεῖτο. gl. ἐνετείλατο. Vide ad Philoct. 619.

πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ, πατρὸς
δειλαία, στενάχουσ᾽, ὅπως
ἁ πανόδυρτος ἀηδὼν,
οὔτε τι τοῦ θανεῖν προμηθὴς,
τό τε μὴ βλέπειν ἑτοίμα,
διδύμαν ἑλοῦσ᾽ ἐριννύν.
τίς ἂν εὔπατρις ὧδε βλάστοι;
οὐδεὶς τῶν ἀγαθῶν, ζῶν κακῶν, στροφὴ β'.
εὔκλειαν αἰσχύναι θέλει
νώνυμος, ὦ παῖ, παῖ,
ὡς καὶ σὺ πάγκλαυστον αἰ-
ῶνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα,
δύο φέρειν ἐν ἑνὶ λόγῳ,
σοφά τ᾽ ἀρίστα τε παῖς κεκλῆσθαι.
ζώης μοι καθύπερθεν χερὶ, ἀντιστρ. β'.
πλούτῳ τε, τῶν ἐχθρῶν, ὅσον
νῦν ὑπὸ χεῖρα ναίεις·
ἐπεὶ σ᾽ ἐφεύρηκα μοί-

1075. τὸν ἀεὶ, subauditur χρόνον. Genitivus πατρὸς non ab ullo substantivo librariorum errore omisso, vel extrinsecus arcessendo, pendet, verum ab adjectivo δειλαία, vel, si mavis, a suppresso ἕνεκα. Sic infra, 1209. ὦ τάλαιν᾽ ἐγὼ σέθεν. Nimis stolide futilem Heathii conjecturam olim receperam, Ἠλέκτρα, οἶτον ἀεὶ πατρὸς δειλαία στενάχουσ᾽. Glossæ in codd. τὸν ἀεί. χρόνον δηλονότι. δειλαία ἕνεκεν πατρός.

1078. τοῦ θανεῖν. Perperam Eustathius, cujus locum protuli ad Œd. T. 58. legit τοῦ μὴ θανεῖν.

1081. τίς ἂν εὔπατρις. Aldus et veteres codd. male τίς ἂν εὖν.

1087. τὸ μὴ καλὸν καθοπλίσασα, id est καταπολεμήσασα, ut recte Scholiastes exponit. Ea est librorum omnium lectio, cujus loco Heathius legendum censet καθοπλισαμένα, quia supra v. 996. θράσος ὁπλίζεσθαι dicta fuit Electra. Verum ibi vi reciproca verbi medii ὁπλίζῃ significat induis, quod ab hujus loci sententia quantum potest maxime alienum est. Verbo activo et transitivo opus est. Pudet me tam insulsis conjecturis Tragicum olim adulterasse. Paulo ante πάγκλαυστον Aldus et codd. habent veteres. Vide ad Trach. 6.2.

1088. δύο φέρειν ἐν ἑνὶ λόγῳ. Aldus et codd. veteres præpositionem ἐν omittunt, quam metro flagitante reposui. Absorpta fuerat a sequenti voce, quod confirmat glossa ἐν μιᾷ φήμῃ. Triclinius inficete ἑνί γε λόγῳ.

1091. πλούτῳ τε. Perperam Aldus

ρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν· ἃ δὲ μέγιστ' ἔβλαστε-
νόμιμα, τῶνδε φερομέναν
ἄριστα τᾷ Διὸς εὐσεβείᾳ.

ΟΡ. Ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν,
ὀρθῶς θ' ὁδοιποροῦμεν ἔνθα χρήζομεν;
ΧΟ. τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;
ΟΡ. Αἴγισθον, ἔνθ' ᾤκηκεν, ἱστορῶ πάλαι.
ΧΟ. ἀλλ' εὖ θ' ἱκάνεις, χὠ φράσας ἀζήμιος.
ΟΡ. τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
ΧΟ. ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡ. ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
ΗΛ. οἴ μοι τάλαιν'. οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;
ΟΡ. οὐκ οἶδα τὴν σὴν κληδόν'· ἀλλ' ἐμοὶ γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛ. τί δ' ἔστιν, ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος.
ΟΡ. φέροντες αὐτοῦ μικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.
ΗΛ. οἲ ἐγὼ τάλαινα, τοῦτ' ἐκεῖν' ἤδη σαφές.
πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
ΟΡ. εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
ΗΛ. ὦ ξεῖνε, δός νυν, πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, ἐς χεῖρας λαβεῖν,

et plerique veteres libri καὶ πλούτῳ.

1094. ἐν ἐσθλᾷ. Sic Aldus et codd. plerique: in aliis ἐπ' ἐσθλᾷ: quidam neutram præpositionem habent. Supra, 1056. ὅταν ἐν κακοῖς ἤδη βεβήκῃς.

1097. τᾷ Διός. Sic libri omnes veteres. Triclinii imperita audacia Ζηνὸς substituit, pessum dato metro.

1102. εὖ θ' ἱκάνεις. Sic codd. omnes, etiam Triclinii recensio. Turnebus tamen edidit εὖ γ'—

1107. Φωκῆς. Vulgo Φωκεῖς. Illud reposuimus etiam infra v. 1442.

1111. ἐφεῖτο. gl. ἐνετείλατο. Vide ad Philoct. 619.

ὅπως ἐμαυτην καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.

**ΟΡ.** δόθ', ἥ τις ἐστὶ, προσφέροντες. οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τάδε·
ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.

**ΗΛ.** ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ,
ψυχῆς Ὀρέστου λοιπὸν, ὥς σ' ἀπ' ἐλπίδων,
οὐχ ὥνπερ ἐξέπεμπον, εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν·
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι, χεροῖν
κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγὰς,
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·
κοὔτ' ἐν φίλῃσι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ', οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκὸς, ἄθλιον βάρος.
ἀλλ' ἐν ξένῃσι χερσὶ κηδευθεὶς τάλας,
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴ μοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος·
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·

1124. [illegible]. Sic Aldus et veteres codd. Triclinius substituit [illegible].

1127. ὥς σ' ἀπ' ἐλπίδων. Omissum librariorum errore, ut videtur, pronomen restitui.

1134. ὅπως ἔκεισο, ut jaceres. Vide quæ notavimus ad Œd. T. 1392.

1138. φίλῃσι. Sic procul dubio scribi debuit, ut paulo infra ξένῃσι. In codd. φίλαισι. August. tamen φίλοισι, quod ex forma a nobis reposita depravatum videri possit. Vide notam ad Comici Ranas 1211.

ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντα σὺν σοί. πάντα γὰρ ξυναρπάσας,
θύελλ' ὅπως, βέβηκας. οἴχεται πατήρ·
τέθνηκ' ἐγώ σοι. φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ' ἐχθροί· μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες, ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ' ὧδ' ἐμοὶ προὔπεμψεν, ἀντὶ φιλτάτης
μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴ μοι μοι.
ὦ δέμας οἰκτρόν. φεῦ, φεῦ.
ὦ δεινοτάτας, οἴ μοι μοι,
πεμφθεὶς κελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσας·
ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν, εἰς τὸ μηδὲν, ὡς ξὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων· καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου.
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.

1148. *ἀδελφὴ σοὶ προσηυδώμην.* Sic membr. et alii codd. veteres. Glossa, *ὑπὸ σοῦ.* Mendose Aldus edidit *ἀδελφὴ σή.*

1150. *θανόντα σὺν σοί.* Aldus et plerique codd. *θανόντι.* Alterum habet meus: et a prima manu D. præter Triclinii recensionem, quod præfero. Euripides Herc. Fur. 69. *Καὶ νῦν ἐκεῖνα μὲν θανόντ' ἀνίπτατο.* Idem Temenidis:—*κακοῖσι δὲ Ἅπαντα φροῦδα συνθανόντ' ὑπὸ χθονός.*

1160. In digerendis tribus his versiculis Aldinam secutus sum, cui concinunt codd. veteres plerique. In D. aliter digesti sunt, ut videtur quidem, haud deterius, Οἴ *μοι μοι· δέμας, οἰκτρόν· φεῦ, φεῦ. Ὦ δεινοτάτας, οἴ μοι μοι,* Dimetri anapæstici sunt, quorum alter parœmiacus.

1168. *ξὺν σοί.* Sic Aldus et codd. omnes, etiam Triclinii recensio. Turnebus tamen edidit *ξὺν τοὶ*, quem errorem nullus subsequentium editorum correxit. Vide supra ad v. 378.

ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.

ΟΡ. δόθ', ἥ τις ἐστὶ, προσφέροντες. οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τάδε·
ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.

ΗΛ. ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ,
ψυχῆς Ὀρέστου λοιπὸν, ὥς σ' ἀπ' ἐλπίδων,
οὐχ ὧνπερ ἐξέπεμπον, εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν·
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι, χεροῖν
κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγὰς,
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·
κοὔτ' ἐν φίλῃσι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ', οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκὸς, ἄθλιον βάρος.
ἀλλ' ἐν ξένῃσι χερσὶ κηδευθεὶς τάλας,
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴ μοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος·
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·

1124. τάδε. Sic Aldus et veteres codd. Triclinius substituit τῷδε.

1127. ὥς σ' ἀπ' ἐλπίδων. Omissum librariorum errore, ut videtur, pronomen restitui.

1134. ὅπως ἔκεισο, *ut jaceres*. Vide quæ notavimus ad Œd. T. 1392.

1138. φίλῃσι. Sic procul dubio scribi debuit, ut paulo infra ξένῃσι. In codd. φίλαισι. August. tamen φίλεσι, quod ex forma a nobis reposita depravatum videri possit.. Vide notam ad Comici Ranas 1211.

ἐγὼ δ᾽ ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ᾽ ἐκλέλοιπε ταῦτ᾽ ἐν ἡμέρᾳ μιᾷ
θανόντα σὺν σοί. πάντα γὰρ ξυναρπάσας,
θύελλ᾽ ὅπως, βέβηκας. οἴχεται πατήρ·
τέθνηκ᾽ ἐγώ σοι. φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ᾽ ἐχθροί· μαίνεται δ᾽ ὑφ᾽ ἡδονῆς
μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες, ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ᾽ ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ᾽ ὧδ᾽ ἐμοὶ προὔπεμψεν, ἀντὶ φιλτάτης
μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴ μοι μοι.
ὦ δέμας οἰκτρόν. φεῦ, φεῦ.
ὦ δεινοτάτας, οἴ μοι μοι,
πεμφθεὶς κελεύθους, φίλταθ᾽, ὥς μ᾽ ἀπώλεσας·
ἀπώλεσας δῆτ᾽, ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ᾽ ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν, εἰς τὸ μηδὲν, ὡς ξὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ᾽ ἦσθ᾽ ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων· καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ ᾽πολείπεσθαι τάφου.
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.

1148. *ἀδελφὴ σοὶ προσηυδώμην.* Sic membr. et alii codd. veteres. Glossa, *ὑπὸ σοῦ.* Mendose Aldus edidit *ἀδελφὴ σή.*

1150. *θανόντα σὺν σοί.* Aldus et plerique codd. *θανόντι.* Alterum habet meus: et a prima manu D. præter Triclinii recensionem, quod præfero. Euripides Herc. Fur. 69. *Καὶ νῦν ἐκεῖνα μὲν θανόντ᾽ ἀνέπτατο.* Idem Temenidis:—*κακοῖσι δὲ Ἅπαντα φροῦδα συνθανόντ᾽ ὑπὸ χθονός.*

1160. In digerendis tribus his versiculis Aldinam secutus sum, cui concinunt codd. veteres plerique. In D. aliter digesti sunt, ut videtur quidem, haud deterius, *Οἴ μοι μοι· δέμας, οἰκτρόν· φεῦ, φεῦ. Ὦ δεινοτάτας, οἴ μοι μοι,* Dimetri anapæstici sunt, quorum alter parœmiacus.

1168. *ξὺν σοί.* Sic Aldus et codd. omnes, etiam Triclinii recensio. Turnebus tamen edidit *ξὺν τοί*, quem errorem nullus subsequentium editorum correxit. Vide supra ad v. 378.

ΧΟ. θνητοῦ πέφυκας πατρὸς, Ἠλέκτρα, φρόνει·
θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.
ΟΡ. φεῦ, φεῦ. τί λέξω; ποῖ, λόγων ἀμηχανῶν,
ἔλθω; κρατεῖν γὰρ οὐκ ἔτι γλώσσης σθένω.
ΗΛ. τί δ' ἔσχες ἄλγος; πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
ΟΡ. ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ΗΛ. τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ΟΡ. οἴ μοι ταλαίνης ἄρα τῆσδε συμφορᾶς.
ΗΛ. τί δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;
ΟΡ. ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.
ΗΛ. οὔ τοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς ξένε.
ΟΡ. φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ΗΛ. τί δή ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;
ΟΡ. ὡς οὐκ ἄρ' ᾔδη τῶν ἐμῶν οὐδὲν κακῶν.
ΗΛ. ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
ΟΡ. ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσι.
ΗΛ. καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡ. καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ΗΛ. ὁθ' οὕνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡ. τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ΗΛ. τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡ. τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;
ΗΛ. μήτηρ καλεῖται· μητρὶ δ' οὐδὲν ἐξισοῖ.
ΟΡ. τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βίου;
ΗΛ. καὶ χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
ΟΡ. οὐδ' οὑπαρήξων, οὐδ' ὁ κωλύσων πάρα;
ΗΛ. οὐ δῆθ'. ὃς ἦν γάρ μοι, σὺ προὔθηκας σποδόν.

1174. ἀμηχανῶν participium est. Perperam pro nomine acceptum fuit, accentu secus ac oportuerat notato. In C. recte scriptum ἀμηχανῶν.

1185. ᾔδη. Perperam vulgo ᾔδειν.

1186. ἐν abundat, ut supra, 1141. et passim.

1189. τῶνδ' ἔτ' ἐχθίω. Sic liquido scriptum in meo codice, ut scribi debuisse monuit Canterus, quod nemo non videre poterat. Male vulgo τῶνδέ σ' ἐχθίω.

1194. ἐξισοῖ neutrum significatione passiva, ut Œd. T. 425.

ΟΡ. ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
ΗΛ. μόνος βροτῶν νυν ἴσθ' ἐποικτείρας ποτέ.
ΟΡ. μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
ΗΛ. οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡ. ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
ΗΛ. ἀλλ' ἔστιν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
ΟΡ. μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛ. μὴ δῆτα, πρὸς θεῶν, τοῦτό μ' ἐργάσῃ, ξένε.
ΟΡ. πιθοῦ λέγοντι, κοὐχ ἁμαρτήσει ποτέ.
ΗΛ. μή, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
ΟΡ. οὔ φημ' ἐάσειν.
ΗΛ. ὢ τάλαιν' ἐγὼ σέθεν,
'Ορέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ΟΡ. εὔφημα φώνει. πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛ. πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
ΟΡ. οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛ. οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡ. ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.
ΗΛ. εἴπερ γ' 'Ορέστου σῶμα βαστάζω τόδε.
ΟΡ. ἀλλ' οὐκ 'Ορέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛ. ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
ΟΡ. οὐκ ἔστι. τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.
ΗΛ. πῶς εἶπας, ὦ παῖ;
ΟΡ. ψεῦδος οὐδὲν ὧν λέγω.
ΗΛ. ἦ ζῇ γὰρ ὡνήρ;
ΟΡ. εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛ. ἦ γὰρ σὺ κεῖνος;
ΟΡ. τήνδε προσβλέψασ' ἐμοῦ
σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.

1200. ἐποικτείρας ποτέ. In D. ἐμέ.

1206. τοῦτό μ' ἐργάσῃ. gl. μὴ ποιήσῃς τοῦτο ἐμέ. Vide supra ad v. 385.

1207. πιθοῦ. Vulgo πείθου. Vide supra ad v. 1015.

1221. ἦ ζῇ γὰρ ὡνήρ; Perperam vulgo ἀνήρ. In D. liquido scriptum ὠ̓νήρ.

ΗΛ. ὦ φίλτατον φῶς.
ΟΡ. φίλτατον, ξυμμαρτυρῶ.
ΗΛ. ὦ φθέγμ', ἀφίκου;
ΟΡ. μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛ. ἔχω σε χερσίν;
ΟΡ. ὡς τὰ λοίπ' ἔχοις ἀεί.
ΗΛ. ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.
ΧΟ. ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.
ΗΛ. ἰὼ γοναί, στροφὴ α'.
γοναὶ σωμάτων ἐμοὶ φιλτάτων,
ἐμόλετ' ἀρτίως,
ἐφεύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.
ΟΡ. πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ΗΛ. τί δ' ἔστι;
ΟΡ. σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.
ΗΛ. ἀλλ', οὐ μὰ τάν γ' ἀδμήταν αἰὲν Ἄρτεμιν, στροφὴ β'.
τόδε μὲν οὔ ποτ' ἀξιώσω τρέσαι,
περισσὸν ἄχθος ἔνδον

1226. ὡς τὰ λοίπ' ἔχοις ἀεί. Perperam Aldus ἔχεις, ut codd. plerique: in quibusdam ἔχῃς. Votum hoc est, et optativus omnino requiritur.

1230. συμφορὰ vox est media, quæ in utramque partem accipitur. Eustathius ad Homerum p. 647. συμφορὰ, οὐ μόνον ἀποτρόπαιος, ἀλλὰ καὶ ἀγαθὴ, ὡς δηλοῖ σὺν ἄλλοις καὶ ὁ εἰπὼν ἐπ' ἀγαθῷ τὸ, Ἐπὶ συμφοραῖς γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο. Alibi ξυμφορὰ absque ullo ad bonam seu malam fortunam respectu, nihil aliud quam ἀπόβασιν significat, ut Œd. Tyr. 44. ubi sententia est non multum absimilis hujus apud Thucydidem i. 140. ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου.

1233. Vox γοναὶ in membr. E. meo, geminata, in aliis, ut in Aldina, semel tantum posita est.

1239. In Aldina legitur, ut in plerisque codd. ἀλλ' οὐ τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν. In aliis ἀλλ' οὐ μὰ τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν. Luxati pedes versus, qui debet esse trimeter iambicus, cujusque in fine ἀδμήταν stare non potest. Proinde legendum: Ἀλλ' οὐ μὰ τάν γ' ἀδμήταν αἰὲν Ἄρτεμιν. αν accusativi nominum primæ declinationis corripiunt Dores, quorum dialecto utuntur in melicis Tragici.

γυναικῶν ὂν αἰεί.

ΟΡ. ὅρα γε μὲν δὴ, κἀν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν· εὖ δ' ἔξοισθα πειραθεῖσά που.

ΗΛ. ὀτοττοτοί. στροφὴ γ'.
ἀνέφελον ἐπέβαλες
οὔ ποτε καταλύσιμον,
οὐδέποτε λησόμενον
. . . . . . . .
ἁμέτερον
οἷον ἔφυ κακόν.

ΟΡ. ἔξοιδα καὶ ταῦτ'· ἀλλ' ὅταν παρουσία
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.

ΗΛ. ὁ πᾶς ἐμοὶ ἀντιστρ. α'.
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν
τάδε δίκᾳ χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

ΟΡ. ξύμφημι κἀγώ. τοιγαροῦν σώζου τόδε.

ΗΛ. τί δρῶσα;

ΟΡ. οὗ μή 'στι καιρὸς, μὴ μακρὰν βούλου λέγειν.

ΗΛ. τίς οὖν ἂν ἀξίαν γε, σοῦ πεφηνότος, ἀντιστρ. β'.
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως
ἀέλπτως τ' ἐσεῖδον.

ΟΡ. τότ' εἶδες, ὅτε θεοί μ' ἐπώτρυναν μολεῖν.
. . . . . . . . . . . . . . .

ΗΛ. . . . . . . . ἀντιστρ. γ'.
ἔφρασας ὑπερτέραν

1252. ἔργων τῶνδε. Sic etiam Triclinii recensio. Operarum errore in Turnebi editione excusum ἔργον. Manifestam mendam propagavit Stephanus.

1260. τίς οὖν ἂν ἀξίαν γε σοῦ πεφηνότος. Sic Aldus et codd. veteres omnes. Fœdum in modum impudens Triclinii audacia hunc versum corrupit.

1264. θεοί μ' ἐπώτρυναν. Aldus et veteres codd. θεοί μ' ὤτρυναν, syllaba deficiente ad versus integritatem. Metrum suffulsit Triclinius putri tibicine, θεοί γέ μ' ὤτρυναν. Excidit, quod toties contigisse vidimus, præpositio verbi compositi. Scripserat Tragicus ἐπώτρυναν, ut paulo infra ἐπῶρσεν.

1265. Tertiam hanc antistrophen

τᾶς πάρος ἔτι χάριτος,
εἴ σε θεὸς ἐπῶρσεν
ἁμέτερα πρὸς μέλαθρα·
δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ.

ΟΡ. τὰ μέν, σ' ὀκνῶ χαίρουσαν εἰργάθειν· τὰ δὲ,
δέδοικα λίαν ἡδονῇ νικωμένην.

ΗΛ. ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν
ἐπαξιώσας ὧδ' ἐμοὶ φανῆναι,
μή τοι, πολύστονον ὧδ' ἰδών, - - -

ΟΡ. τί μὴ ποιήσω;

ΗΛ. μή μ' ἀποστερήσῃς
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.

ΟΡ. ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.

ΗΛ. ξυναινεῖς;

ΟΡ. τί μὴ οὔ;

ΗΛ. ὦ φίλαι, ἔκλυον ἂν
ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.
ἔσχον ὀργὰν ἄναυδον,
οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
νῦν δ' ἔχω σε· προὐφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,

plane exhibeo, ut in Aldina et in veteribus codd. legitur: impudentissime hic grassata est Triclinii stoliditas: ejus ineptiis bonam chartam commaculare nolo. Excidit versiculus qui primæ strophæ respondet, ut quintus excidit versiculus strophæ.

1272. δέδοικα λίαν. Sic libri veteres omnes. Triclinius infersit σε, ratus scilicet primam in λίαν necessario corripi, quæ apud Tragicos passim producitur, et apud Comicos etiam. Antiphanes apud Stobæum Floril. Grotii p. 321. Τί φής; λαθεῖν ζητῶν τι, πρὸς γυναῖκ' ἐρεῖς Τὸ πρᾶγμα; καὶ τί τοῦτο λίαν διαφέρει. Ἢ τοῖσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι; Sic legendi hi versus. In sequenti v. Triclinius infersit γε post μακρῷ, invitis veteribus libris.

1275. In D. μή τι πολύστονον. Scriptum oportuit μή τοι. In ceteris libris μή τι με πολύστονον. Haud satis assequor, quænam sit diversa illa lectio, cujus hic scholiastes meminit. In codd. omnibus scriptum ὧδ' ἰδών. Gl. οὕτως. Si forte quopiam in exemplari scriptum reperit ὧδ' 'δὼν, pro ὧδ' ἰδὼν, vitium id fuit scripturæ, quod animadverti dignum non erat.

ἅς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.
ΟΡ. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκ' ἐμὲ,
μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ, τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
σήμαιν', ὅπου φανέντες, ἢ κεκρυμμένοι,
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
οὕτως δ', ὅπως μήτηρ σε μὴ 'πιγνώσεται
φαιδρῷ προσώπῳ, νῷν ἐπελθόντοιν δόμους·
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ
στέναζ'. ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται, καὶ γελᾶν ἐλευθέρως.
ΗΛ. ἀλλ', ὦ κασίγνηθ', ὧδ' ὅπως καὶ σοὶ φίλον,
καὶ τοὐμὸν ἔσται τῇδ'· ἐπεὶ τὰς ἡδονὰς,
πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς, ἐκτησάμην.
κοὐδ' ἄν σε λυπήσασα βουλοίμην βραχὺ
αὐτὴ μέγ' εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίμην τῷ παρόντι δαίμονι.
ἀλλ' οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλύων
ὅθ' οὕνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ' ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς ποθ', ὡς
γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκ' ἐμοί·

1292. ἐξείργοι. Sic codd. omnes nostri. Suidas in Χρόνου πόδα legit ἐξαίρει. E scholiastæ expositione suspicari quis possit eum legisse: Ἔργον γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

1294. φανέντες, ἢ κεκρυμμένοι. In D. φανέντες οἱ κεκρυμμένοι.

1296. οὕτως δ'—Glossa, σκόπει, ποίει.

1310. γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα. Sic Aldus et codd. veteres. In C. inverso vocum ordine, τοὐμὸν φαιδρόν. Triclinius inepte dedit φαιδρῷ.

1311. μῖσος ἐντέτηκ' ἐμοί. Elegans metaphora, qua odium aut cupido, tanquam infusa cera, animo adhærere dicitur. Lucianus in morte Peregrini p. 346. τοσοῦτος ἔρως τῆς δόξης ἐντέτηκεν αὐτῷ. Est hæc forma passim usi-

τᾶς πάρος ἔτι χάριτος,
εἴ σε θεὸς ἐπῶρσεν
ἁμέτερα πρὸς μέλαθρα·
δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ.

ΟΡ. τὰ μέν, σ' ὀκνῶ χαίρουσαν εἰργάθειν· τὰ δέ,
δέδοικα λίαν ἡδονῇ νικωμένην.

ΗΛ. ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν
ἐπαξιώσας ὧδ' ἐμοὶ φανῆναι,
μή τοι, πολύστονον ὧδ' ἰδών, ---

ΟΡ. τί μὴ ποιήσω;

ΗΛ. μή μ' ἀποστερήσῃς
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.

ΟΡ. ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.

ΗΛ. ξυναινεῖς;

ΟΡ. τί μὴ οὔ;

ΗΛ. ὦ φίλαι, ἔκλυον ἂν
ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.
ἔσχον ὀργὰν ἄναυδον,
οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
νῦν δ' ἔχω σε· προὐφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,

plane exhibeo, ut in Aldina et in veteribus codd. legitur: impudentissime hic grassata est Triclinii stoliditas: ejus ineptiis bonam chartam commaculare nolo. Excidit versiculus qui primæ strophæ respondet, ut quintus excidit versiculus strophæ.

1272. δέδοικα λίαν. Sic libri veteres omnes. Triclinius infersit σε, ratus scilicet primam in λίαν necessario corripi, quæ apud Tragicos passim producitur, et apud Comicos etiam. Antiphanes apud Stobæum Floril. Grotii p. 321. Τί φής; λαθεῖν ζητῶν τι, πρὸς γυναῖκ' ἐρεῖς Τὸ πρᾶγμα; καὶ τί τοῦτο λίαν διαφέρει. Ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι; Sic legendi hi versus. In sequenti v. Triclinius infersit γε post μακρῷ, invitis veteribus libris.

1275. In D. μή τι πολύστονον. Scriptum oportuit μή τοι. In ceteris libris μή τί με πολύστονον. Haud satis assequor, quænam sit diversa illa lectio, cujus hic scholiastes meminit. In codd. omnibus scriptum ὧδ' ἰδών. Gl. οὕτως. Si forte quopiam in exemplari scriptum reperit οὐδ' ἰδὼν, pro οὐδ' ἰδὼν, vitium id fuit scripturæ, quod animadverti dignum non erat.

ἃς ἐγὼ οὐδ᾽ ἂν ἐν κακοῖς λαθοίμαν.
ΟΡ. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκ᾽ ἐμὲ,
μήθ᾽ ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ, τὰ δ᾽ ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ᾽ ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
σήμαιν᾽, ὅπου φανέντες, ἢ κεκρυμμένοι,
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
οὕτως δ᾽, ὅπως μήτηρ σε μὴ ᾽πιγνώσεται
φαιδρῷ προσώπῳ, νῷν ἐπελθόντοιν δόμους·
ἀλλ᾽ ὡς ἐπ᾽ ἄτῃ τῇ μάτην λελεγμένῃ
στέναζ᾽. ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται, καὶ γελᾶν ἐλευθέρως.
ΗΛ. ἀλλ᾽, ὦ κασίγνηθ᾽, ὧδ᾽ ὅπως καὶ σοὶ φίλον,
καὶ τοὐμὸν ἔσται τῇδ᾽· ἐπεὶ τὰς ἡδονὰς,
πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς, ἐκτησάμην.
κοὐδ᾽ ἄν σε λυπήσασα βουλοίμην βραχὺ
αὐτὴ μέγ᾽ εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίμην τῷ παρόντι δαίμονι.
ἀλλ᾽ οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλύων
ὁθ᾽ οὕνεκ᾽ Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ᾽ ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς ποθ᾽, ὡς
γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκ᾽ ἐμοί·

1292. ἐξείργοι. Sic codd. omnes nostri. Suidas in Χρόνου πόδα legit ἐξαίροι. E scholiastæ expositione suspicari quis possit eum legisse: Ἔργου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

1294. φανέντες, ἢ κεκρυμμένοι. In D. φανέντες οἱ κεκρυμμένοι.

1296. οὕτως δ᾽—Glossa, σκόπει, ποίει.

1310. γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα. Sic Aldus et codd. veteres. In C. inverso vocum ordine, τοὐμὸν φαιδρόν. Triclinius inepte dedit φαιδρῷ.

1311. μῖσος ἐντέτηκ᾽ ἐμοί. Elegans metaphora, qua odium aut cupido, tanquam infusa cera, animo adhærere dicitur. Lucianus in morte Peregrini p. 346. τοσοῦτος ἔρως τῆς δόξης ἐντέτηκεν αὐτῷ. Est hæc forma passim usi-

κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾶς
δακρυῤῥοοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγὼ,
ἥ τις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δ' ἔμ' ἄσκοπα·
ὥστ', εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτὸ, πιστεύειν δ' ὁρᾶν.
ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδὸν,
ἄρχ' αὐτὸς, ὥς σοι θυμός. ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον. ἢ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην.
ΟΡ. σιγᾶν ἐπῄνεσ'· ὡς ἐπ' ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος.
ΗΛ. εἴσιτ', ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες οἷ' ἂν οὔτε τις
δόμων ἀπώσαιτ', οὔτ' ἂν ἡσθείη λαβών.
ΠΑΙ. ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι,
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔ τις ὑμῖν ἐγγενὴς,
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες οὐ γιγνώσκετε;
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε τὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὑμῖν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων,
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς,
εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν, κακὸν
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.
ΟΡ. πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
ΠΑΙ. καλῶς. ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
ΟΡ. ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.
ΠΑΙ. εἷς τῶν ἐν Ἅιδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.

tata: rarior vero inversa, qua animus rei *infundi*, id est, *intabescere* dicitur, ut Trach. 463. *εἰ κάρτ' ἐντακείη τῷ φιλεῖν.*

ΟΡ. χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;
ΠΑΙ. τελουμένων, εἴποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.
ΗΛ. τίς οὗτος ἔστ', ἀδελφέ; πρὸς θεῶν, φράσον.
ΟΡ. οὐχὶ ξυνιεῖς;
ΗΛ. οὐδέ γ' ἐς θυμὸν φέρω.
ΟΡ. οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας ἐς χεῖρας ποτέ;
ΗΛ. ποίῳ; τί φωνεῖς;
ΟΡ. οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην, σῇ προμηθείᾳ χεροῖν.
ΗΛ. ἦ κεῖνος οὗτος, ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσεῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ΟΡ. ὅδ' ἐστί. μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛ. ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
'Αγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων
ποδῶν ὑπηρέτημα· πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες, οὐδ' ἔφαινες; ἀλλ' ἐμὲ
λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί.
χαῖρ', ὦ πάτερ· πατέρα γὰρ εἰσορᾶν δοκῶ·
χαῖρ'. ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα, κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
ΠΑΙ. ἀρκεῖν δοκεῖ μοι. τοὺς γὰρ ἐν μέσῳ λόγους
πολλαὶ κυκλοῦσι νύκτες ἡμέραι τ' ἴσαι,
αἳ ταῦτά σοι δείξουσιν, 'Ηλέκτρα, σαφῆ.
σφῷν δ' ἐννέπω γε τοῖν παρεστώτοιν, ὅτι
νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη·
νῦν οὔ τις ἀνδρῶν ἔνδον· εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις

1347. ξυνιεῖς. In duobus codd. ξυνίης. in ceteris ξυνίεις.

1365. κυκλοῦσι. Sic Aldus et codd. veteres. Activum verbum neutraliter adhibetur, ut Trach. 130. Triclinius imperite glossam pro genuina voce substituit, κυκλοῦνται.

ἄλλοισι τούτων πλείοσιν μαχούμενοι.
ΟΡ. οὐκ ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂν λόγων,
Πυλάδη, τόδ' εἴη τοὔργον· ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.
ΗΛ. ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ,
ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔστην χερί.
νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω,
αἰτῶ, προπιτνῶ, λίσσομαι· γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων,
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.
ΧΟ. Ἴδεθ' ὅπη προνέμεται στροφή.
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων
ἄφυκτοι κύνες,
ὥστ' οὐ μακρὰν ἔτ' ἀμμένει
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.
παράγεται γὰρ ἐνέρων ἀντιστ.
δολιόπους ἀρωγὸς εἴσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια,
νεακόνητον αἷμα χειροῖν ἔχων·

1384. ὅπη προνέμεται. Sic bene scriptum in D. Vulgo ὅπου.

1388. κύνες μετάδρομοι πανουργημάτων sunt Erinnyes, quas Euripides etiam in Electra, 1349. κύνας appellat. Vide notam ad Œd. T. 391.

1389. Ignoravit Triclinius ultimam in μακρὰν longam esse: alioqui non infersisset suum γε. Languidas particulas amabat frutex ille. Supra ubi libri omnes veteres habent βεβᾶσιν ἄρτι, dedit βεβᾶσι δ' ἄρτι.

1393. πατρὸς εἰς ἑδώλια. Antiqua hæc est et genuina lectio a Scholiasta servata, cujus in codd. veteribus locum invasit glossa ἱδρύσματα. Vide Suidam in Ἑδώλια, et Toupii Epist. Crit. p. 132. Triclinius veterem lectionem amplexus fuerat: ejus recensio habet ἑδώλια: verum id Turnebus in margine solum adnotavit, servata in contextu Aldi lectione.

1394. νεακόνητον αἷμα χειροῖν ἔχων. Aldus et codd. veteres χειρῶν recta-

ὁ Μαίας δὲ παῖς
Ἑρμῆς σφ᾽ ἄγει, δόλον σκότῳ
κρύψας, πρὸς αὐτὸ τέρμα, κοὐκ ἔτ᾽ ἀμμένει.

mante metro, cui consultum voluit Triclinius, sed prava est ejus emendatio χειρῶν. Dativus est χειροῖν, quem casum structuræ lex flagitat. Ante nuperum Sophoclis editorem Parisinum nemini ex omni eruditorum numero adhuc observatum fuerat, probis scriptoribus Græcis displicuisse formam χειροῖν, quæ, si fidem illi habeamus, aut reperitur nuspiam, aut, sicubi occurrit, commutanda est cum χειρῶν vel χερσὶν, quotiescunque metri lex priorem productam requirit. Sed ego tali magistro non ita sum credulus, et χειροῖν Græcæ linguæ non eximam, dum analogiæ ratio potiori auctoritati non cedet. αἷμα hic *gladium* significare agnoscunt critici veteres omnes, quorum consensus Johnsonum non deterruit, quin locum corruptum esse pronuntiaret, hac emendatione persanandum: νεακόνητον τοῦ μάχαιραν ἔχων. Hoc illum voluisse ex ejus versione perspicuum est. ἐν pro τοῦ operarum errore excusum fuisse Heathius facile animum advertere poterat, et suam interjectionem αἶ ad compendium ponere. Nihil futilius istis conjecturis, quæ audaci metaphoræ, ab indole chorici cantici, et Sophoclis ingenio neutiquam alienæ, plebeium putidumque sermonem substituunt. At *sermonem* tamen. Verum quo nomine appellabimus versum quem Tragico largitur Parisini editoris solertia? Νεακονῆ τὰν τοῦ μάχαιραν ἔχων. Nemo adeo lippus est, quin videat νεακονῆ τὰν τοῦ μάχαιραν esse pro τὰν μάχαιραν τοῦ νεακονῆ. Similis est structuræ illius apud Comicum nostratem: *d'amour mourir me font, belle marquise, vos beaux yeux.* Illa articuli trajectio huic viro tantum placuit, ut eadem ratione versum restituerit in Aristophanis Acharn. 318. Ὑπὲρ ἐπιξήνου θελήσω τὴν ἔχων κεφαλὴν λέγειν. Scilicet decebat ut hominis Britanni invento aliquid novi superinduceret, quod aliter facere non poterat, nisi νεακόνητον haud magis Græcum esse decerneret, quam χειρῶν. Quis risum teneat, quum hujusmodi homunciones Sophoclem Græce loqui docent? Legi digna sunt quæ de hoc loco scripsit Vir doctus in Miscell. Observ. tom. i. p. 416. Græce dicitur νεηκονὴς et νεηκόνητος, eadem analogia, qua ἀταρβὴς, ἀτάρβητος: ἀδμὴς, ἄδμητος: ἀνωφιλὴς, ἀνωφίλητος: ἀμφινεικὴς, ἀμφινείκητος: ἀναλγὴς, ἀνάλγητος: et alia geminæ formæ vocabula, quæ apud hunc Tragicum et passim occurrunt. Metonymia est, similis illi in Phil. 1125. χερὶ πάλλων τὰν ἐμὰν μελέου τροφὰν, τὰν οὐδείς ποτ᾽ ἐβάστασεν. Utroque in loco is qui efficit, *gladius, arcus*, ex eo quid efficitur, *sanguine*, id est, cæde; *alimento*, id est, confixis feris, avibus, quorum carne vescebatur Philocteta, declaratur. Non alius in hoc dramate pulchrior est versus, nec qualiscunque mendæ magis purus. Qui ei alium substituere non veriti sunt, cogitare saltem debebant, ut subdititius genuinæ indolis præ se ferret quidpiam. Verum si quis Sophoclem interrogaret, an pro suo versum hunc agnoscat, Νεακόνητον τοῦ μάχαιραν ἔχων, vel, si Diis placet, istum, Νεακονῆ τὰν τοῦ μάχαιραν ἔχων, exclamaret procul dubio: *Aliter catuli longe olent, aliter sues.*

ΗΛ. Ὦ φίλταται γυναῖκες, ᾥνδρες αὐτίκα
τελοῦσι τοὔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟ. πῶς δή; τί νῦν πράσσουσιν;
ΗΛ. ἡ μὲν ἐς τάφον
λέβητα κοσμεῖ, τὼ δ' ἐφέστατον πέλας.
ΧΟ. σὺ δ' ἐκτὸς ἦξας πρὸς τί;
ΗΛ. φρουρήσουσ' ὅπως
Αἴγισθος ἡμᾶς μὴ λάθῃ μολὼν ἔσω.
ΚΛ. αἶ αἶ αἶ αἶ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέαι.
ΗΛ. βοᾷ τις ἔνδον. οὐκ ἀκούετ', ὦ φίλαι;
ΧΟ. ἤκουσ' ἀνήκουστα στροφὴ α'.
δύστανος, ὥστε φρίξαι.
ΚΛ. οἴ μοι τάλαιν'. Αἴγισθε, ποῦ ποτ' ὢν κυρεῖς;
ΗΛ. ἰδοὺ μάλ' αὖ θροεῖ τις.
ΚΛ. ὦ τέκνον, τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν.
ΗΛ. ἀλλ' οὐκ ἐκ σέθεν
ᾠκτείρεθ' οὗτος, οὔθ' ὁ γεννήσας πατήρ.
ΧΟ. ὦ πόλις, ὦ γενεὰ τάλαινα· νῦν σε στροφὴ β'.
μοῖρα καθημερία φθίνει, φθίνει.
ΚΛ. ᾤ μοι πέπληγμαι.
ΗΛ. παῖσον, εἰ σθένεις, διπλῆν.
ΚΛ. ᾤ μοι μάλ' αὖθις.
ΗΛ. εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.
ΧΟ. τελοῦσ' ἀραί· ζῶσιν οἱ στροφὴ γ'.

1398. ᾥνδρες, id est οἱ ἄνδρες. Perperam vulgo indefinite ἄνδρες.

1403. In codd. omnibus veteribus, ut in Aldina, pede mancus est hic versus: Αἴγισθος μὴ λάθῃ μολὼν ἔσω. Triclinius ex conjectura αὐτὸς supplevit; melius, ut opinor, ego, ἡμᾶς.

1414. καθαμερία. gl. κατὰ τὴν παροῦσαν ἡμέραν. In Triclinii recensione Dorica est forma καθαμερία.—φθίνει, φθίνει. Vox repetenda, in Aldina et codd. aliquot semel tantum posita est.

1416. εἰ γάρ, utinam. εἰ in hac formula valet εἴθε. Vide ad Œd. T. 80. εἰ etiam sine γὰρ eamdem significationem habet, ut Œd. Col. 644. εἴ μοι θέμις γ' ἦν, utinam mihi liceret!

1417. τελοῦσ' ἀραί. Aldus et veteres codd. τελοῦσιν contra metri ra-

γᾶς ὕπαι κείμενοι.
πολύῤῥυτον γὰρ αἷμ᾽ ὑπεξ-
αιροῦσι τῶν κτανόντων
οἱ πάλαι θανόντες.

**ΗΛ.** καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
στάζει θυηλῆς Ἄρεος. οὐδ᾽ ἔχω λέγειν,
Ὀρέστα, πῶς κυρεῖ.

**ΟΡ.** τά γ᾽ ἐν δόμοισι μὲν,
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε.
τέθνηκεν ἡ τάλαινα. μηκέτ᾽ ἐκφοβοῦ
μητρῷον ὥς σε λῆμ᾽ ἀτιμάσει ποτέ.

**ΧΟ.** παύσασθε. λεύσσω γὰρ ἀντιστρ. α΄.
Αἴγισθον ἐκ προδήλου.

**ΗΛ.** ὦ παῖδες, οὐκ ἄψοῤῥον;

**ΟΡ.** εἰσορᾶτέ που
τὸν ἄνδρ᾽ ἐφ᾽ ἡμῖν;

**ΗΛ.** οὗτος ἐκ προαστίου

tionem. Iidem in seq. vers. dant γᾶς ὑποκείμενοι, quod metro itidem repugnat. Vide infra ad v. 1438.

1424. In Aldina et in veteribus codd. sic scriptus est hic versus: Ὀρέστα, πῶς κυρεῖ. τὰν δόμοισι μέν. Deficientem syllabam Triclinius haud magno labore supplevit, πῶς κυρεῖ γε. Verum inficete prorsus particulam posuit in fine sententiæ. Commodiori sede eam locavi: τά γ᾽ ἐν δόμοισι μὲν—

1427. ὡς ἀτιμάσει. Sic membr. D. E. August. meus, et Triclinii etiam recensio recte. In impressis perperam ut in C. ἀτιμάσῃ. ὡς hic cum futuro indicativi construi debet, ut supra, 1310.—ἣν σὺ μὴ δείσῃς ποθ᾽, ὡς Γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα. Utroque in loco glossa ὡς exponit per ὅτι, unde intelligitur sequens verbum non alius modi esse posse, quam indicativi.

1430. In Aldina hic versus totus et sequentes duo Electræ partibus contribuuntur. Personarum distinctionem restitui, quam liquido exhibent quinque codd. C. D. E. meus et Triclinianus. Consentit August. nisi quod errore librarii Electræ persona omissa est quæ versui 1430. præfigi debuit. In omnibus scriptum ἐφ᾽ ἡμῖν, ut manifestum est Orestem dicere debere; et sic etiam scriptum est in membr. tametsi Orestis persona suo loco omissa est. Aldus ex mera conjectura ἐφ᾽ ὑμῖν dedisse videtur, quod Turnebus, deteriora quæque probare suetus, bonæ codicis sui scripturæ prætulit. Parisino quoque editori ὑμῖν melius videtur, quod profecto non miror.

1431. ἐκ προαστίου. Sic bene Aldus. In codd. perperam scriptum

χωρεῖ γεγηθὼς . . . . . . . . . .
. . . . . . . . . . . . . . . . . . .

ΧΟ. βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα. ἀντιστρ. β'.
νῦν τὰ πρὶν εὖ θέμενοι, τάδ' ὡς πάλιν—

ΟΡ. θάρσει· τελοῦμεν, ᾗ νοεῖς.

ΗΛ. ἔπειγέ νυν.

ΟΡ. καὶ δὴ βέβηκα.

ΗΛ. τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.

ΧΟ. δι' ὠτὸς ἂν παῦρά γ' ὡς ἀντιστρ. γ'.
ἠπίως ἐννέπειν
πρὸς ἄνδρα τόνδε συμφέροι,
λαθραῖον ὡς ὀρούσῃ
πρὸς δίκας ἀγῶνα.

## ΑΙΓΙΣΘΟΣ.

τίς οἶδεν ὑμῶν, ποῦ ποθ' οἱ Φωκῆς ξένοι,
οὕς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
σέ τοι, σὲ κρίνω, ναὶ σὲ, τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν

προαστείου, quod Heathius reponi vult: at ostendere oblitus est qui in fine senarii stare hoc possit. In membr. sincera lectio mendosæ superscripta. Vide Suidam in Προάστειον. Euripides Alcest. 848. Τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.

1436. μέλοιτ' ἐμοί. Sic Aldus et codd. omnes veteres. Glossa, διὰ φροντίδος ἂν εἴη ἐμοί. Triclinius novavit μέλοι γ' ἐμοί.

1438. ὡς ἠπίως. Sic Aldus et codd. omnes veteres recte. Gl. λίαν πρᾴως. Versus dimeter est pæonicus duobus constans creticis, ad cujus normam antitheticum in stropha reconcinnavimus, Γᾶς ὕπερ κείμενοι. in quo ex librarii libidine legebatur γᾶς ὑποκείμενοι: quod Triclinius quum sincerum esse arbitraretur, ut metra congruerent, hujus versiculi lectionem interpolavit, et pro suo more corrupit, sensumque plane subvertit. Nempe ἤπιον veteri lectioni substituit. Hujus ἠπίως aliam depravationem in libris exstitisse testatur Scholiastes, νηπίῳ, quod vitiosa nuce nemo emerit, nisi νήπιος ipse sit.

1445. σέ τοι, σὲ κρίνω, ναὶ σὲ—Libri omnes καὶ σὲ, menda manifesta. Unicam Electram percontatur; proinde copulæ non est locus. Acute Reiskius vidit ναὶ legendum esse.

οἶμαι, μάλιστα δ' ἂν κατειδυῖαν φράσαι.
ΗΛ. ἔξοιδα. πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.
ΑΙ. ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκ' ἐμέ.
ΗΛ. ἔνδον. φίλης γὰρ προξένου κατήνυσαν.
ΑΙ. ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛ. οὔκ· ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον.
ΑΙ. πάρεστ' ἄρ' ἡμῖν, ὥστε κἀμφανῆ μαθεῖν.
ΗΛ. πάρεστι δῆτα, καὶ μάλ' ἄζηλος θέα.
ΑΙ. ἦ πολλὰ χαίρειν μ' εἶπας, οὐκ εἰωθότως.
ΗΛ. χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.
ΑΙ. σιγᾶν ἄνωγα, κἀναδεικνύναι πύλας
πᾶσιν Μυκηναίοισιν Ἀργείοις θ' ὁρᾶν,
ὡς, εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξῆρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν,
στόμια δέχηται τἀμὰ, μηδὲ πρὸς βίαν,
ἐμοῦ κολαστοῦ προστυχὼν, φύσῃ φρένας.
ΗΛ. καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ. τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείσσοσιν.
ΑΙ. ὦ Ζεῦ, δέδορκα φάσμ', ἄνευ φθόνου μὲν, εὖ

1451. φίλης προξένου κατήνυσαν. Elliptica locutio, pro κατήνυσαν τὴν ὁδὸν εἰς φίλης προξένου οἶκον. Vide ad Œd. Col. 1562.

1456. χαίρειν μ' εἶπας. In plerisque veteribus libris pronomen omissum.

1461. ἀνδρὸς τοῦδε, *Orestis*. Jungendi hi genitivi cum ἐλπίσιν, non vero cum νεκρόν. Perperam in impressis hic locus distinctus est. Quæ sequuntur, μηδὲ πρὸς βίαν φύσῃ φρένας, προστυχὼν ἐμοῦ κολαστοῦ significant: *neque ingratiis sapere discat, castigatorem me nactus.* Ista Latine et Gallice vertit Parisinus editor, et in utraque lingua a sensu aberravit, πρὸς βίαν, quod ad φύσῃ pertinet, cum κολαστοῦ jungens. Vide quæ notavimus ad Comici Ranas 1457.

1465. Perperam in impressis τοῖς κρείττοσιν.

1466. Absurde vulgo legitur: δέδορκα φάσμ' ἄνευ φθόνου μὲν οὐ πεπτωκός. Levissima mutatione sententiam restituit acutissimi Tyrwhitti certa conjectura. Vide Emendationes in Euripidem, Musgravii Exercitationibus subjunctas p. 145. vel, quod perinde est, Musgravii notas ad Rhesi v. 456. φθόνος et Νέμεσις idem significant, ut in simili formula τὴν Νέμεσιν προσκυνῶ, de qua vide Berglerum ad Alciphronem p. 139. et τὸν φθόνον

πεπτωκός· εἰ δ' ἔπεστι Νέμεσις, οὐ λέγω.
χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
τὸ συγγενές τοι κἀπ' ἐμοῦ θρήνων τύχῃ.
ΟΡ. αὐτὸς σὺ βάσταζ'. οὐκ ἐμὸν τόδ', ἀλλὰ σόν,
τὸ ταῦθ' ὁρᾶν τε, καὶ προσηγορεῖν φίλως.
ΑΙ. ἀλλ' εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δέ,
εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
ΟΡ. αὕτη πέλας σοῦ. μηκέτ' ἄλλοσε σκόπει.
ΑΙ. οἴ μοι, τί λεύσσω;
ΟΡ. τίνα φοβῇ; τίν' ἀγνοεῖς;
ΑΙ. τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ' ὁ τλήμων;
ΟΡ. οὐ γὰρ αἰσθάνῃ πάλαι
ζῶντας θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;
ΑΙ. οἴ μοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ' ὅπως
ὅδ' οὐκ Ὀρέστης ἔσθ', ὁ προσφωνῶν ἐμέ.
ΟΡ. καὶ μάντις ὢν ἄριστος, ἐσφάλλου πάλαι.
ΑΙ. ὄλωλα δὴ δείλαιος. ἀλλ' ἐμοὶ πάρες
κἂν σμικρὸν εἰπεῖν.
ΗΛ. μὴ πέρα λέγειν ἔα,

δὲ πρόσκυσον apud Nostrum Philoct. 776. Perinde est igitur ac si dixisset: δέδορκα φάσμα εὖ πεπτωκός. λέγω μὲν ἄνευ φθόνου· εἰ δ' ἔπεστι φθόνος, οὐ λέγω. Egregia hac emendatione nihil verius.

1469. τὸ συγγενές τοι. Sic meus et D. recte. In aliis, ut apud Aldum mendose τι, cujus loco Triclinius supposuit γε.

1471. προσηγορεῖν φίλως, *compellare amice, ut cognatum decet.* Aldus et veteres codd. habent φίλος. In plerisque vocandi adverbium ὦ superscriptum glossæ loco. Sane quidem φίλος sæpissime Attici in vocativo adhibent, ut Euripides in Med. 1133. ἀλλὰ μὴ σπέρχου, φίλος. Verum hic mendosum est. Præstat Triclinii lectio φίλως, ut in Œd. Col. 758. τὴν πόλιν φίλως εἰπών.

1478. Vulgo ζῶν τοῖς θανοῦσιν absque ullo sensu. Rursus hic Tragico egregiam operam navavit Tyrwhitti acumen, cui debetur emendatio, quam merito suo recepimus. *Non sentis te dudum cum viventibus quasi mortuis confabulari?* id est, *cum Oreste vivente, quem mortuum opinaris.*

1481. ἐσφάλλου. Sic emendate scriptum in membr. ut in Triclinii recensione. In ceteris libris perperam ἐσφάλου.

πρὸς θεῶν, ἀδελφὲ, μηδὲ μηκύνειν λόγους.
τί γὰρ βροτῶν ἂν ξὺν κακοῖς μεμιγμένων
θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;
ἀλλ' ὡς τάχιστα κτεῖνε, καὶ κτανὼν πρόθες
ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν. ὡς ἐμοὶ τόδ' ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον.
ΟΡ. χωροῖς ἂν εἴσω ξὺν τάχει. λόγων γὰρ οὐ
νῦν ἐστὶν ὠ'γὼν, ἀλλὰ σῆς ψυχῆς πέρι.
ΑΙ. τί δ' ἐς δόμους ἄγεις με; πῶς, τόδ' εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;
ΟΡ. μὴ τάσσε· χώρει δ' ἔνθαπερ κατέκτανες
πατέρα τὸν ἁμὸν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.
ΑΙ. ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά;
ΟΡ. τὰ γοῦν σ'· ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.
ΑΙ. ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.

1485. Haud dissimilis sententia in Aj. v. 475. In Aldina et codd. omnibus legitur *μεμιγμένων*, ita postulante sententia. Nescio quo casu, aut qua imperitia Triclinius dederit *μεμιγμένον*, quod quidem *melius putat* Parisinus editor: verum eo certius videri possit mendosum id esse. Genitivus *βροτῶν* pendet a suppresso *τις*. *ὁ μέλλων τις θνήσκειν τῶν σὺν κακοῖς μεμιγμένων βροτῶν*. Nihil planius.

1488. *ταφεῦσιν*. Ironice. Id facere jubet Electra, quod facturum fuisse Menelaum Nestor apud Homerum dicit Odyss. *γ'*. 255. si domum reversus Ægisthum in vivis adhuc reperisset. *Ἤτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι, ὥς κεν ἐτύχθη, Εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν Ἀτρείδης, Τροίηθεν ἰὼν, ξανθὸς Μενέλαος· Τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν, Ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν Κείμενον ἐν πεδίῳ ἑκὰς ἄστεος· οὐδέ κέ τίς μιν Κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.*

1491. *χωροῖς ἂν* idem valet ac *χώρει*. Optativus cum particula *ἂν* sæpe vim futuri habet, ut Œd. T. 95. 282. Œd. Col. 507. Antig. 1108. Sæpe imperativi. Hic non magis huic formulæ *χωροῖς ἂν εἴσω* indignationis inest affectus, quam quum iisdem verbis Neoptolemus blande Philoctetæ dicit v. 674. *ingredere, χωροῖς ἂν εἴσω*, et quum in Trach. 624. amice Deianira dicit Lichæ, *στείχοις ἂν ἤδη*.

1492. *νῦν ἐστὶν ὠ'γών*. Libri omnes mendose *ἀγὼν*, cujus vocis quum prior syllaba semper corripiatur, crurifragio versus laboraret, si ita legeretur. Vide quæ notavimus ad Comici Ranas 867.

ΟΡ. πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
ἀλλ' ἕρφ'.
ΑΙ. ὑφηγοῦ.
ΟΡ. σοὶ βαδιστέον πάρος.
ΑΙ. ἦ μὴ φύγω σε;
ΟΡ. μὴ μὲν οὖν καθ' ἡδονὴν
θάνῃς· φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
κτείνειν. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.
ΧΟ. ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες,
τῇ νῦν ὁρμῇ τελεωθέν.

1507. κτείνειν. gl. λέγω τὸ κτείνειν. Nimirum apponitur ad præcedens τήνδε δίκην. De ὅστις ad nomen plurale τοῖς πᾶσιν relato, vide ad Aj. 760.

## NOTÆ Edd. 1. 2. quæ ed. ult. aut omissæ aut mutatæ erant: Ad quas referunt literæ *a, b, c, &c.* suo loco.

---

### IN ŒDIPUM REGEM.

(*a*) 467. Quintus hic strophæ versus, qui cum quinto antistrophæ ejusdem moduli esse debet, ei, uti vulgo leguntur, neutiquam par est. Sic eos exhibet Aldina editio: Ὥρα νιν ἀελλοπόδων ἵππων. Φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν. In prioris versiculi proposita scriptura consentiunt codd. omnes: in altero solus T. diversi quid habet: φοιτᾷ γὰρ ὑπαὶ ἀγρίαν ὕλαν. Voci ὑπαὶ superscripta Triclinii nota, διὰ τὸ μέτρον. Quid Turnebus dedit, ὑπὲρ ἀγρίαν, id unde habeat nescio. Sane deterius est. Vitii expertem versiculum præpostera cura contaminavi, mendosumque intactum reliqui. Parum me movet Hesychii interpretum censura: certo certius est Sophoclem reliquisse: Ὥρα νιν ἀελλάδων ἵππων. Φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν. Et sic oratio longe fit nitidior. Quem enim non offendat ἀελλοπόδων πόδα? Si quis tamen me invito prioris versiculi lectionem vulgatam retinere velit, is ut antistrophicum ex emendatione mea legat, omnino necesse erit.

(*b*) 583. Versus hic recte expositus est in scholiis quæ sub Triclinii nomine feruntur: ineptissime eum verterat Johnsonus. Eurip. Med. 871. Ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην.

(*c*) 893. ἔρξει. Aldus et codd. plerique ἔρξεται: quidam ἔρξεται. Utrumque contra sermonis proprietatem et metri rationem. Supra habuimus futurum medium ἔρξεται, *cohibebit se, abstinebit;* statimque ἔξεται potestate itidem media, *applicabit se:* unde liquet hîc activum ἔρξει poni debuisse, hoc sensu: τίς ἀνὴρ ἔρξει ψυχᾶς βέλη ὥστε ἀμύνειν θυμῷ. Sed, ut dixi, habent alii codd. ἔξεται. Manifesto deprehenditur librariorum error, ex vicinis vocibus ortus, quarum alii aliam repetierunt. Heathii emendationem recepi: at nunc video scribi debuisse ἕξει, quod valet δυνήσεται, structura

## IN ANTIGONAM.

(*k*) 956. *κερτομίαις ὀργαῖς*. Sic in E. In August. *κερτομίης ὀργῆς*. In aliis *κερτομίοις ὀργαῖς*.

---

## IN TRACHINIAS.

(*l*) 358. ὃν, gl. τὸν ἔρωτα—παρώσας, ἀπωσάμενος. Sic etiam accepit Scholiastes. Hesychius apposite ad hunc locum: παρώσας, ἐάσας. Haud tamen deterior mihi videtur sensus, quem in versione expressi, ὃν ad proxime præcedentem referens Ἰφίτου μόρον, quem Lichas modo in sermonem suum intrusit.

(*m*) 418. κάτοισθα δή που; Φημί. Sic libri omnes, nec est cur in suspicionem vocetur hæc lectio. Nuntius rogat, non, ut ante Deianira, quænam sit illa captiva, quibusve parentibus orta: sed aditum sibi parans ad ulteriorem sermonem ait: *Nosti scilicet captivam illam, quam domum adduxti modo?* Tanquam si diceret, *haud negas te captivam puellam domum adduxisse modo*. cui Lichas arroganter respondet: *Sane eam novi: tu vero cur hoc me rogas?* Nulla igitur causa est, cur Parisini editoris conjectura probetur, Κάτοισθα δῆτ'; Οὔ φημι.

(*n*) 636. *μέσσαν*. Sic T. In aliis, ut apud Aldum, *μέσαν—παρὰ* tuentur membr. B. et Aldus. Versus est trochaicus, cui tamen antistrophicus 643. congruere nequit, nisi pro *ἀντίλυρον* legatur *ἀντίμολπον*. Alias metricam rationem bene observavit Triclinius, quem hîc deseruisse nollem: Οἵτε *μέσσαν* Μηλίδα πὰρ λίμναν. et in antistrophe: Ἀλλὰ θείας Ἀντίλυρον μούσας.

(*o*) 1221. σ' ἐπισκήπτω. Id est, ἐπισκήπτω σοι. Nam hoc verbum cum tertio casu semper construitur. Falsum est proinde quod Bentleius in Menandreis statuit p. 81. voculam σοὶ nunquam in syllaba brevi elidi.

---

## IN PHILOCTETAM.

(*p*) 212. In Tragici exemplaribus sic legitur hic versus: Ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ. Manifestum est lectionis vitium, quod metri ratio ostendit: quippe versus esse debet dimeter anapæsticus, qualem quidem eum concinnavi pro ἔντοπος substituendo ἐγγύς. Sed usquequaque falsa est

hæc emendatio. Fefellit me opinio confusas hic fuisse lectionem et glossam. Sane si ἐγγὺς in textu lectum olim fuisset, nulli magistro venisset in mentem, adverbium hoc declarare per nomen ἔντοπος; verum hoc bene declaratur per hanc glossam ἐγγύς ἐστι τοῦ τόπου τούτου. Tum venusta oppositio est nominum ἔξεδρος et ἔντοπος. Denique indefinitum ἀνὴρ indoli linguæ repugnat. Vera lectio est, quam me piget serius deprehendisse: Οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἁνήρ. Particula ὡς initio versus a mala manu est: absque ea versum hunc citat Scholiastes Comici ad Aves 276.

(q) 711. εἴ ποτε τόξων πτανῶν πτανοῖς. Versus est dimeter anapæsticus, vel, si mavis, tetrameter dactylicus. Hac sola observatione cohiberi poterat Parisinus editor a futili conjectura κτανὼν πτανούς. Ne hoc quidem postremum contra librorum fidem admittendum, suadente erudito Britanno apud Heathium. Nam dativus πτανοῖς idem est ac διὰ πτανούς.

(r) 782. In Aldina et in veteribus codd. sic scriptus est hic versus: ἀλλὰ (in B. ἀλλ' οὐ) δέδοιχ' ὦ παῖ μή μ' ἀτελὴς εὐχή. Triclinius vel ex antiquo exemplari, vel ex conjectura dedit: 'Αλλ' οὖν δέδοικα μή μ' ἀτελὴς εὐχὴ, τέκνον. varia lectio superscripta μή σ' ἀτελής. Id est μή μοι, vel μή σοι ἀτελής. Pronomen melius abest plurimis de causis. Ac primo quidem ex eo quod incertum sit, utrum ab auctoris manu sit, colligi potest neutrum necessarium esse, quod satis liquet. Deinde sic vitatur anapæstus in quarta sede: denique non placet μοι ante vocalem brevem elisum, quod vereor ut recte fieri posse vere dixerim in nota ad Trach. 1221. Ibi σ' ἐπισκήπτω accipi potest et debet pro ἐπισκήπτω σε. Construitur enim cum accusativo personæ hoc verbum. Eurip. Iphig. T. 701. Πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε. sic rursus in Alcestide 372. ἐπισκήψω τούσδε, *hisce mandam*. μὴ ante vocalem longam aut diphthongum cum ea coalescit: si sequatur vocalis brevis, ea eliditur, seu raptim pronuntiatur, ita ut in metri scansione pro nulla habeatur. Nihil interest scribaturne μὴ ἀτελὴς an μὴ 'τελὴς, siquidem certum est olim vocales omnes pronuntiari solitas fuisse, et in scriptura pingi. Sic apud Stobæum Floril. Grotii p. 17. 'Αλλ' ἡ φρόνησις ἡ ἀγαθὴ, θεὸς μέγας. pag. 61. 'Ανὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν. Tam bona est ea scriptura, quam illa cujus mos invaluit ἡ 'γαθὴ, ὁ μὴ 'δικῶν. Quin postrema quandoque moram lectori creare potest.

(s) 830. Scholion in membr. ἐναντιωθεὶς τοῖς ὄμμασι τοῦ ἥτου, μὴ ἐάσῃς αὐτὸν βλέψαι τανῦν. In scholiorum edi-

tione Romana perperam insertum fuit καὶ, quod deletum volueram.

(*t*) 863. Τόδ' ἁλώσιμον ἐμᾷ φροντίδι, παῖ. Πόνος ὁ μὴ φοβῶν κράτιστος. Sic distingui debuit: male excusum divisim τὸ δ'. oportuit τόδ', quod valet *hocce*, *hoc negotium*, *res quam agimus*: ἁλώσιμόν ἐστι, id est ἁλῶναι δύναται, *capi*, *confici potest*: ἐμᾷ φροντίδι, *solertiæ meæ*, *per meam solertiam*. Non patitur linguæ indoles, nec usus ut τὸ ἁλώσιμον accipiatur pro ἡ ἅλωσις, *modus quo capiatur*. Proinde nec ἀνάκειται, nec προσήκει aut μέλει subauditur: verum quod simplicissimum est, et ellipsi omnium frequentissima, ἐστὶ, hoc sensu: *Negotium hoc, ô fili, mea solertia confici potest: labor absque metu optimus.* Sic vertere debui ex Græcis bene scriptis et distinctis in apographo meo, quod ante oculos non habui, quum versionem describerem: quod in ea dedi, nauci non est. His verbis innuit Chorus, se Philoctetam minimo labore in navem translaturum, si Neoptolemus jubeat, idque maxime expedire, quum vacet periculo. Hesych. ἁλώσιμον, ληφθῆναι δυνάμενον. Idem quod ἁλωτὸν in Œd. T. 111. τὸ δὲ ζητούμενον, ἁλωτόν. Canticum hoc interpretes misere solicitos habuit: at nullus se magis contorsit, quam auctor Observationum in Philoctetæ versiones, Historiæ Academiæ nostræ insertarum T. xxxi. p. 156. Multa movendo nihil promovet vir optimus, qui Divam Criticam tristem semper expertus est, quoties Græcos Poëtas emendare aut interpretari in animum induxit.

---

## IN ELECTRAM.

(*u*) 123. ἀκόρετον. Aldus, metro reclamante, ἀκόρεστον. Illud est in membr. D. E. meo. Negat vocem esse Græcam Heathius, pertenditque ἀκόρεστον legi debere penultima vel brevi, vel pro brevi habita; utrumque falsissime. Nam ἀκόρετος, non minus quam ἀκόρητος et ἀκόρεστος dici, similium vocum analogia ostendit: tum certum est, si quid aliud in re metrica et critica, vocalem ante literas στ nullum poëtam Atticum corripuisse. Verum in hoc loco facile est litem dirimere, admissa alia lectione, eaque sane quam eleganti, quam suppeditat cod. T. ubi sic in contextu liquido scriptum est, nullo diversæ lectionis apposito indicio: Τάκεις ὧδ' ἀκόρεστ' οἰμωγάν. Esset ἀκόρεστα neutrum

plurale, vice adverbii, ut infra, 164. ἀκάματα, in Œd. Col. 1560. ἐπίπονα, et in Aj. 197. ἀτάρβητα. Eligant eruditi utra lectio magis placeat. Ego plurium præstantiorumque codicum fidem haud invitus sequor.

---

FINIS.

---

Excudebant Bliss & Co. Londini.

